summo Deo similem reddidit. Ego igitur spe bona sum, imperium huius viri Christianis ad pacem, Ismaëlitis ad repulsam, atque ad iustitiam et misericordiam toti populo ei subiecto futurum, (ut scriptum est centesimo vicesimo capite proverbiorum,) misericordia et veritas custodiunt regem, et firmabitur in iustitia thronus eius." Haec ille etiam ad Imbertum: quae non frustra aut intempestive inseruimus, sed ut per huiusmodi laudationem imperatoris marchionem a Romanis magna classe invadendis repressum doceremus. Siquidem papa et principes Italiae, cum multa et indigna de illo ad eos perferrentur, marchioni expeditionem commiserant. At vero missis huiusmodi litteris ab homine, cui fidem accommodandam iudicabant, cum ceterorum consilium eius invadendi ad nihilum venit, tum marchionis impetus elanguit, qui non solum virtutem imperatoris revereretur, sed etiam quippiam egregium felici successu iam se facturum desperaret: quandoquidem imperator nunc ex asse potitus imperio, insuper ut dux probatissimus sibi ab omnibus praedicaretur. His de causis ille coepta intermisit et exercitui missionem dedit.

3. Imperator autem, quoniam Ioannes patriarcha adhuc in palatio morabatur eratque vacuus, ipsum adit, placide salutat, in memoriam redigit, quae post imperatoris obitum ante belli exordia

σιλέως τελευτὴν πρὶν τὸν πόλεμον κινεῖσθαι διειλέχθη πρὸς A.C. 1347 αὐτὸν, ὡς μέλλουσί τινες κατ' αὐτοῦ διαβολὰς συῤῥάπτειν, καὶ ὡς ἐδεῖτο αὐτὸν ὑπὲρ τοῦ δικαίου καὶ τοῦ κοινῇ λυσιτελοῦντος πᾶσαν ἐπιδείκνυσθαι σπουδὴν καὶ μὴ ἐᾷν τοὺς συκοφάντας παραπείθειν βασιλίδα καὶ πόλεμον ἐμφύλιον κινεῖν, ἀλλ' ἀπελαύνειν ὥσπερ κῆρας καὶ κοινὴν τῆς Ῥωμαίων εὐτυχίας λύμην, καὶ ἐμέμφετο οὐ μόνον, ὅτι μηδὲν ἐνδείξαιτο φρόνημα πρὸς τὰς διαβολὰς αὐτῷ προσῆκον, ἀλλὰ καὶ συνέπραττε, τοῖς συκοφαντοῦσι, καὶ τῶν ἄλλων μᾶλλον τὸν πόλεμον αὐτὸς ἐκίνει, σαφέστατα εἰδὼς, ὡς καταψεύδεται καὶ C συκοφαντεῖ· τὸ δὲ μέγιστον, ὅτι καὶ μετὰ τὴν τοσαύτην ἐπακολουθήσασαν ἐκ τοῦ πολέμου συμφορὰν καὶ τῶν μυρίων αἱμάτων τὰς ἐκχύσεις καὶ τοὺς ἀνδραποδισμοὺς καὶ τὰς δημεύσεις καὶ τὰ δεσμωτήρια καὶ τὴν κοινὴν πανωλεθρίαν οἶκτον οὐδένα τῶν ἀπολλυμένων ἐποιεῖτο, οὐδὲ ὑφῆκέ τι τῆς πρὸς αὐτὸν πικρίας ἄχρι τέλους, ἀλλὰ πολλὰ πολλάκις γράφοντος αὐτοῦ καὶ δεομένου παρὰ πάντα τὸν τοῦ πολέμου χρόνον περὶ εἰρήνης, οὐχ ὅτι γε οὐκ ἐπείθετο αὐτὸς ἢ τῶν λεγομένων ἤθελεν ἀκούειν, ἀλλὰ καὶ πάντα κάλων ἐκίνει καὶ τοὺς ἄλλους ἔπειθε μὴ κατατίθεσθαι τὸν πόλεμον. ἔπειτα ἔφασκεν, ὅτι, ταῦτα μὲν ὡς μὴ προσήκοντα τῷ χρόνῳ νῦν ἐ- D ῶμεν· οὐ γὰρ ὀνειδίζειν αὐτῷ τὴν ἀγνωμοσύνην προῃρημένος νῦν εἰπεῖν, ἀλλ' ἵν' εἰδεῖεν πάντες, ὡς καὶ πρὶν γενέ-

1. πρὸς τὸν P. 3. αὐτοῦ fortasse.

cum eo collocutus sit: futuros nimirum, qui calumnias contra se comminiscerentur: et quomodo eum rogaverit, uti pro iustitia communique bono nullo labori parceret nec ab obtrectatoribus imperatricem corrumpi bellumque civile excitari pateretur, sed eos tamquam pestem Romanaeque felicitatis perniciosissimos inimicos abigeret: dabatque crimini, quod non solum excelso animo, quemadmodum decuisset, calumniatoribus non restitisset, sed cum minime nesciret, se mentiri et calumniari, tamen eos insuper adiuvisset et classicum bello movendo ipse prae aliis cecinisset. Illud vero esse horribile, quod post tantam calamitatem e bello profectam, post caedes innumerabiles, post tot mortales in servitutem abreptos, post bonorum publicationes, carceres, commune extremumque exitium nulla pereuntium miseratione captus sit neque de acerbitate in ipsum usque ad finem quidquam remiserit; sed quamvis toties ipse multumque scripserit, et quamdiu bellum fuit, pacem oraverit, non modo adduci eo non potuerit, aut quae dicerentur audire voluerit, verum omnibus nervis contenderit, et alios ad idem impulerit, ne bello finis adderetur. „Sed haec, ut tempori aliena, omittamus," inquit; „non enim ista dixi, ut tibi scelus tuum exprobrarem, verum ut omnes scirent, me futura omnia, antequam fierent, rerum usu

A.C. 1347 σθαι, πάντων ἀκριβῶς κατεστοχάζετο τῶν ἐσομένων ἐκ τῆς
τῶν πραγμάτων ἐμπειρίας. νυνὶ δὲ εἰ μὲν μὴ πρὶν αὐτὸν
εἴσω γενέσθαι Βυζαντίου, ὑπὸ τῶν ἀρχιερέων τοῦ θρόνου κα-
θῃρεῖτο, περὶ τοιούτων μὲν οὐδεὶς ἂν ἠνώχλει μὴ μένειν
ἐπὶ τοῦ προσχήματος. ἀλλὰ περὶ δογμάτων τῆς διαστροφῆς,
ἃ παρὰ τῶν ἀρχιερέων ἐγκαλοῖτο, ἔκρινεν ἂν καὶ κατεψηφί-
ζετο, εἰ ταῖς κατηγορίαις ἁλισκόμενος ἐφαίνετο. εἰ δ' αὖ
P.714 ἀπέφευγε τὴν δίκην, οὐδὲν ἂν ἐκώλυε πάλιν ἐπὶ τῶν θρόνων
εἶναι. ἐπεὶ δὲ οὕτω συνηνέχθη, αὐτὸν μὲν μὴ δύνασθαι, τῶν
ἀρχιερέων καταψηφισαμένων, αὖθις ἀνάγειν πρὸς τὸν θρόνον,
ἔφεσιν δὲ διδόναι πρὸς αὐτὸν, ὡς, εἰ βούλοιτο, ποιησόμενον
ἀπολογίαν ἐπ' αὐτοῦ τῶν κατηγορουμένων. ὁ δὲ τὸ τοῦ βα-
σιλέως προσηνὲς καὶ τὴν εὐμένειαν τὴν πρὸς αὐτὸν ὁρῶν, μι-
κροῦ μὲν ἐδόκει ὀνειρώττειν διὰ τὴν παρ' ἐλπίδας τῶν πρα-
γμάτων ἔκβασιν. καινόν τινα γὰρ ὑπενόει θανάτου τρόπον
ὑποστήσεσθαι καὶ πᾶσαν ἐρεσχελίαν καὶ ὕβρεως ὑπερβολὴν
ὑπομενεῖν, τὴν ἀτοπίαν ἐνθυμούμενος τῶν εἰργασμένων πρὸς
V.573 αὐτὸν ὑπὸ τὸν πόλεμον. ἔπειτα δὲ ἤδη χρηστοτέρων τῶν ἐλ-
B πίδων ἐπιβὰς καὶ ἀναπνεύσας ἐκ τῶν κατεχόντων φόβων,
βασιλέως μὲν τῆς ἡμερότητος καὶ τῆς ἀμνηστίας τῶν κακῶν
ὑπερηύχετο πολλὰ καὶ μεγάλας ὡμολόγει χάριτας τῆς συμ-
παθείας καὶ τῆς συγγνώμης, ἧς παρέσχετο. ᾐτεῖτο δὲ χρό-
νον πρὸς διάσκεψιν, εἰ βούλοιτο ἀντικαθίστασθαι τοῖς ἀρχιε-
ρεῦσι πρὸς τῶν κατηγορουμένων τὴν ἀπολογίαν, καὶ παρέ-

1. κατεστοχάζοιτο P.

doctum coniectasse. Nunc nisi ante meum ingressum Constantinopolim sede tua motus esses ab episcopis, de his nemo tibi molestiam exhibuisset, quominus praetexeres, quod praetexebas. Quod autem ad prava dogmata attinet, quorum te episcopi coarguunt, ego quoque te calculo meo condemno, si convincare. Sin absolvare, nihil impediet, quin thronum tuum recipias. Quoniam vero te ab episcopis exauctorari contigit, ego te in sedem restituere non possum. Tamen ad me provoces licet, meque arbitro ad obiecta respondeas." Patriarcha imperatoris erga se mansuetudinem benevolentiamque cernens, propemodum somniare se putabat, propter rerum eventum inopinatum videlicet. Inusitatum enim mortis genus et omnia summa ludibria supremasque contumelias sibi patiendas suspicabatur, dum perpenderet, quam multa belli tempore in eum nefarie deliquisset. Deinde iam meliore spe subnixus et e timore, quo tenebatur, recreatus, imperatorem de lenitate iniuriarumque oblivione praedicabat oppido, agebatque gratias impense, quod sui misertus ignovisset. Petebat autem tempus ad deliberandum, quid episcopis respondendum esset, si causam suam tueri vellet: quod ei

σχετο ὁ βασιλεύς. τρίτῃ δὲ ἡμέρᾳ μετ' ἐκείνην πάλιν πρὸς αὐ- A. C. 1347
τὸν ἐλθὼν, λόγοις τε ἀνεκτᾶτο πολὺ τὸ ἐπαγωγὸν καὶ χάριεν κεκτημένοις, καὶ περὶ τῆς δίκης ἐπανήρετο, εἰ βούλοιτο πρὸς τὴν ἐξέτασιν χωρεῖν. ὁ δὲ αὖθίς τε ὑπερηύχετο πολλὰ καὶ τὴν δίκην ἔφασκεν αὐτῷ κατὰ γνώμην εἶναι· ἀπολύσεσθαι γὰρ τὰ ἐγ- C
κλήματα πρὸς ἐκείνην καταστάς. αὐτίκα τε ὁ βασιλεὺς τοῖς ἀρχιερεῦσιν ἐδήλου τὴν ἀξίωσιν τοῦ πατριάρχου, ἐπεψηφίζετό τε, ὡς δικαία εἴη ἡ ἀξίωσις. ἐδόκει δὴ καὶ τοῖς ἀρχιερεῦσι μάλιστα ἡ δίκη φίλη· ἰσχυρίζοντο γὰρ οὐδὲ αὐτοῖς κατὰ γνώμην εἶναι ἐξάγεσθαι τοῦ θρόνου τὸν πατριάρχην, εἰ μὴ ἐλέγχοιτο δόγμασι προσέχων διαστρόφοις καὶ πολὺ τῶν ὀρθοδόξων παραλλάττουσι. καὶ συνετίθεντο ἡμέραν, ἐν ᾗ πάντας ἐν βασιλείοις ἔδει γενομένους, τῶν δογμάτων τὴν ἐξέτασιν ποιεῖσθαι. ἐπεὶ δὲ ἡ προθεσμία ἧκει, παρῆσαν μὲν οἱ ἀρχιερεῖς καὶ τῶν μοναχῶν ὅσοι μάλιστα ἐν λόγῳ ἦσαν, καὶ τῶν συγκλητικῶν οἱ μάλιστα ἐπιφανεῖς. ἐκαλεῖτο δὲ ἐπὶ τὴν δίκην καὶ ὁ πατριάρχης· ὁ δὲ D
ἀνεβάλλετο μὴ ἥξειν φάσκων. δὶς δὲ καὶ τρὶς γενομένης τῆς μηνύσεως κατὰ τὸ ἔθος, ὁ μὲν ὁμοίως ἐν πάσαις ἀπείπατο τὴν δίκην, τοῖς δὲ ἀρχιερεῦσιν ἐδόκει τὴν ἐψηφισμένην καθαίρεσιν ἐπικυροῦν κατὰ τοὺς περὶ τούτων κειμένους τῶν πατέρων νόμους. βασιλεὺς δὲ οὐκ εἴα, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ παραγενόμενος, ἐπυνθάνετο πατριάρχου, εἰ μὴ βούλοιτο χωρεῖν πρὸς τὴν ἐξέτασιν τῶν κατηγορημένων. ἐπεὶ δὲ φανερῶς καὶ ἐπὶ τοῦ βασιλέως ἀπηγόρευε τὴν δίκην, τήν τε κα-

4. τε om. M. 11. προσέχειν P. διαλλάττουσι M. mg. 16. καὶ om. P.

imperator concessit. Tertio post die ad eum regressus, perblandis ac festivis sermonibus eum exhilarans, etiam de iudicio percunctabatur, velletne causam suam agitari. Patriarcha rursum affatim imperatorem laudare, et iudicium sibi optatum affirmare: etenim crimina se diluturum. Imperator eius petitionem episcopis statim significat, suaque sententia, ut iustam, confirmat: id quod episcopis quoque perplacere videbatur, affirmantibus, nec sibi probari, patriarcham throno depelli, nisi perversam doctrinam et ab orthodoxa religione valde discrepantem sectari ostenderetur: praefigebantque diem, quo omnes in palatium coacti, in eius dogmata inquirerent. Qui ubi illuxit, episcopi et monachorum praecipui aulicorumque procerum lectissimi conveniunt. Vocatur patriarcha; differt et se venturum negat. Iterum ac tertium pro more vocatus, iudicium semper detrectat. Episcopi decretam exauctorationem iuxta patrum de his rebus sanctiones ratam faciendam constituunt. Non permittens imperator, ipse patriarcham adit, quaerit, num ad causam dicendam vellt occurrere. Quo aperte, etiam illo praeside, iudi-

A. C. 1347 θαίρεσιν ἐκείνου ἐγγράφως ἐποιοῦντο οἱ ἀρχιερεῖς πάντες ἐπιψηφισάμενοι ὁμοίως, καὶ τόμον περὶ τῶν δογμάτων ἐξετίθεντο, ἐν ᾧ πάντες συνωμολόγουν, ὡς Ἀκίνδυνος μὲν καὶ ἡ περὶ αὐτὸν φατρία, (οἷς καὶ ὁ χρηματίσας πατριάρχης Ἰω-
P. 715 άννης ὁμοφρόνει, διὸ καὶ καθῃρέθη τοῦ θρόνου,) ἐκθέσμως καὶ κακῶς περὶ τὰ θεῖα δόγματα φρονοῦσι· Παλαμᾶς δὲ καὶ ὅσοι τῶν ὁμοίων ἔχονται, ἀκόλουθα τοῖς θεοσόφοις θεολόγοις καὶ λέγουσι καὶ φρονοῦσιν. οὕτω μὲν οὖν ὁ πατριάρχης Ἰωάννης ἐκβέβλητο τῶν θρόνων, καὶ πρὶν βασιλέα τὸν Καντακουζηνὸν ἥκειν εἰς Βυζάντιον. οὐ μὴν ἡσύχασε μετὰ τὴν ἐκβολὴν, ἀλλὰ τῶν τῆς ἐκκλησίας προσεταιρισάμενός τινας καὶ ἐκ τῶν ἀρχιερέων καὶ τῶν ἰδιωτῶν, αὖθις ἐθορύβει καὶ ἠδικῆσθαι διετείνετο περὶ τὴν δίκην καὶ τῶν καθελόντων ἀρχιερέων κατεβόα. ὅθεν πάντες προσελθόντες βασιλεῖ πλὴν
B οἳ ἐκείνῳ συνείποντο τριῶν, ἠξίουν Βυζαντίου ἐκβληθῆναι, ὡς οὕτω παυσομένης τῆς κατὰ τὴν ἐκκλησίαν στάσεως καὶ ταραχῆς. ἐδόκει δὴ κἀκείνῳ τὴν στάσιν τοῦτο λύσειν, καὶ ἐπέμπετο εἰς Διδυμότειχον. οὐ πολὺ δὲ ὕστερον τὴν τοσαύτην μεταβολὴν οὐκ ἐνεγκὼν, (ἐκ γὰρ ἄκρας εὐτυχίας εἰς τοὐναντίον ἅπαν ἡ μεταβολὴ ἐκείνῳ περιέστη,) πρῶτα μὲν ἐνόσησεν, ἔπειτα ἐξέστη καὶ τῶν φρενῶν, οὐ μὴν καθάπαξ, ἀλλ' ἐνιότε καὶ σωφρονῶν, αὖθις τοῦ καθεστηκότος ἐξεφέρετο. ἃ δὴ πυθόμενος ὁ βασιλεὺς, αὖθις αὐτὸν ἐκέλευεν εἰς Βυζάν-

15. τριῶν om. P. 16. παυσαμένης P. τῆς om. P.

cium repudiante, episcopi consensu abdicationem eius in litteras redigunt, et de dogmatis tomum edunt, in quo confitentur omnes, Acindynum eiusque coetum (quibuscum et patriarchae Ioanni, eadem sentienti, consuetudo fuerit, quocirca et sede sua deiectus sit,) prave atque impie de religione sentire, Palamam autem cum sui similibus divinorum Theologorum placitis consentanea et sapere et profiteri. Tali modo Ioannes patriarcha throno eiectus est, etiam antequam Byzantium intraret imperator. Nec vero quiescebat, sed cum ecclesiasticis quibusdam et episcopis ac privatis conspirans, iterum turbas commovebat, et iactare perseverabat, sibi in iudicio factam iniuriam, vociferans contra episcopos, qui ei patriarchatum abrogaverant. Quamobrem omnes, exceptis tribus eius asseclis, ad imperatorem adeuntes petunt, ut Byzantio pellatur; ita a seditione et tumultu ecclesiam conquieturam. Imperatori ob seditionem componendam similiter visum est faciendum. Ergo Didymotichum illum misit. Qui non diu post tantae mutationis impatiens (a summo enim felicitatis gradu ad imam miseriam praecipitatus erat,) primum quidem morbum contraxit: postmodum e potestate exivit, quamquam non simul et semel: interdum enim recepta mente, rursum de ea deturbabatur. Quod audiens imperator eum Byzantium reverti

τιον ἐπανάγειν, ὥστ' ἐπιμελείας τυχεῖν παρὰ τῶν ἰατρῶν. A. C. 1347 ἐπανελθὼν δὲ οὐκ ἀντέσχεν ἐπιπλεῖστον, ἀλλ' ὑπὸ τῆς νόσου καὶ τῆς λύπης κατεργασθεὶς, ἐτελεύτησε μετὰ μικρόν. ταῦτα C μὲν οὖν ὕστερον. τότε δὲ εὐθὺς μετὰ τὴν καθαίρεσιν ἐκείνου λόγος ἦν πολὺς περὶ τοῦ προστησομένου τῆς ἐκκλησίας. V. 574 οἱ μὲν οὖν ἄλλοι πάντες εὐθὺς οὐδένα ᾤοντο δικαιότερον εἶναι Παλαμᾶ ἀνάγεσθαι ἐπὶ τῶν θρόνων, οὐ διὰ τὴν ἀρετὴν μόνον καὶ τὴν κατὰ τὸν βίον φιλοσοφίαν καὶ τὴν περὶ τὰ θεῖα δόγματα ἀκρίβειαν καὶ ἐμπειρίαν, ἀλλ' ὅτι καὶ φανερῶς εὐθὺς ἐξαρχῆς πρὸς τοὺς πεπολεμηκότας ἀντέστη βασιλεῖ, φάσκων ἀδίκως καὶ τῶν κοινῶν ἐπὶ φθορᾷ καὶ λύμῃ τὸν πόλεμον κεκινηκέναι, δι' ἃ καὶ δεσμωτήριον οἰκεῖν κατεκρίθη D ἄχρι τέλους ἀπαρχῆς. τοῖς ἀρχιερεῦσι δὲ καὶ τοῖς ἄλλοις λογάσι τῶν μοναχῶν πολλὴ ἦν ἡ ἀμφισβήτησις περὶ τοῦ πράγματος. πολλοὶ γὰρ καὶ τῶν λογιωτέρων καὶ μάλιστα ἀξίων λόγου, κατὰ τὸν τοῦ πολέμου χρόνον ὑπὲρ βασιλέως, οἱ μὲν ἐν ταῖς οἰκίαις καθειρχθέντες, ἕτεροι δὲ ἐν δεσμωτηρίοις, καὶ ἄλλοι ἑτέροις τρόποις κακωθέντες, πάντες ἤλπιζον ἀμοιβὴν αὐτοῖς τῶν πόνων ἔσεσθαι τὸν θρόνον καὶ τῶν ἄλλων ἑαυτὸν ἕκαστος προὐτίθει. συνορῶν δὲ ὁ βασιλεὺς τὴν φιλονεικίαν καὶ στοχαζόμενος ἀναφυήσεσθαί τινα ἐν τῇ ἐκκλησίᾳ στάσιν ἐκ τῆς οὐ καλῆς ταύτης ἔριδος, ἐσκέψατο μηδὲν ποιεῖν παρ' ἑαυτοῦ, ἀλλὰ τοῖς ἀρχιερεῦσι τὴν αἵρεσιν τοῦ προστη-

et a medicis curari praecepit. Reversus non diu duravit, sed morbo et cruciatu animi consumptus, decessit. Sed haec postea acciderunt. Tum vero eo exauctorato, de alio in eius locum sufficiendo mox sermones vulgo serebantur. Alii igitur omnes neminem opinabantur Palama throno magis idoneum, non ob virtutem tantummodo ac religiosum vitae institutum divinorumque dogmatum accuratam cognitionem atque usum: sed quod insuper iam inde ab initio imperatoris hostibus palam adversatus ac testatus esset, inique et cum rei publicae labe atque exitio bellum moveri. Quare a principio usque ad finem carcerem habitavit. Episcopi vero et honoratiores de monachis vehementer in eo negotio disputabant. Multis siquidem et eruditioribus et ante alios venerabilibus per tempus belli pro imperatore, his quidem in aedibus conclusis, his in carcere, et aliis alia ratione afflictis, patriarchicam sedem sibi suorum laborum praemium singuli promiserant, et quilibet sibi prae ceteris suffragium dabat. Quam contentionem parum liberalem animadvertens, seditionemque inde in ecclesia suborituram prospiciens imperator, nihil per se facere, sed electionem patriarchae episcopis liberam relinquere statuit. Plures uno animo Isidorum eligunt, virum probatis moribus ac mitem, ad omnem sanctimoniam natum atque in littera-

A. C. 1347 σομένου ἐπιτρέπειν. συμφωνήσαντες δὲ οἱ πλείους εἵλοντο P. 716 Ἰσίδωρον, ἄνδρα ἀγαθὸν τοὺς τρόπους καὶ ἐπιεικῆ καὶ πρὸς ἁγιωσύνην μάλιστα ἔχοντα εὐφυῶς καὶ περὶ λόγους καὶ ἀκρίβειαν δογμάτων κάλλιστα ἐξησκημένον. καὶ ὁ βασιλεὺς αὐτίκα ἐπεψήφιζε τὴν ἐκλογήν· μετ' οὐ πολὺ δὲ καὶ ἐχειροτονεῖτο. οἱ μὲν οὖν ἄλλοι πάντες τὸ ὑπ' ἐκείνῳ ἔστεργον τετάχθαι· ὅσοι δὲ αὐτοῖς προεμνηστεύοντο τὸν θρόνον, ἐδυσχέραινον περιορώμενοι, καὶ τέλος εἰς τοσοῦτον ἐξήχθησαν ὑπὸ φιλαρχίας ἀτοπίας, ὥστε οὐκ ἔχοντες, ᾗ χρὴ ἀμύνεσθαι βασιλέα καὶ τοὺς περιιδόντας ἐπισκόπους, τῇ τῶν τὰ Ἀκιν- B δύνου φρονούντων μερίδι ἐπέδωκαν ἑαυτοὺς καὶ ῥῆγμα μέγα κατεσκεύασαν τῇ ἐκκλησίᾳ, σφᾶς αὐτούς τε καὶ πλῆθος ἄλλο ἀποῤῥήξαντες, οἳ μικρῷ πρόσθεν Ἰωάννην τῶν αὐτῶν τούτων ἕνεκα τῶν θρόνων ἐκβαλόντες καὶ ἐν τοῖς μάλιστα δοκοῦντες εἶναι προστάται τῶν δογμάτων, μεταβαλόντες ἐξαίφνης διὰ τὸ ἠμελῆσθαι, καὶ ὧν κατηγόρουν γενόμενοι ἐκδικηταί. τὰ μὲν οὖν τοιαῦτα τῷ ἐξαρχῆς πολεμίῳ κοινῷ τοῦ τῶν ἀνθρώπων γένους ἄν τις προσλογίζοιτο δικαίως. ἔδει γὰρ ἐκείνους συνετούς τε ὄντας καὶ πολλοῦ ἀξίους λόγου, εἰ μή τι ἄλλο, ἀλλ' ἐκεῖνο πάντως ἐννοεῖν, ὡς, πολλῶν ὄντων τῶν δοκούντων ἀξιόχρεων πρὸς προστασίαν, ἕνα προβεβλῆσθαι ἦν ἀνάγκη, C τοὺς λοιποὺς δὲ ἄγεσθαι. νυνὶ δ' ἐπιτρέψαντες ἑαυτοὺς καθάπαξ ἀκρισίᾳ δόξης κενῆς ἐπιθυμίᾳ, ἀδοξίᾳ τε μεγίστῃ καὶ ναυαγίῳ περὶ τὴν πίστιν σφᾶς τε αὐτοὺς καὶ ἄλλους οὐκ

10. τὰ om. M. 22. ἐπιστρέψαντες M.

rum disciplinis et recondita dogmatum scientia perfectum. Imperator electionem approbat, nec multo post consecratur. Et cum ceteri quidem, nullo excepto, illi subesse non nollent, qui prius sedem sibi desponderant, se praeteritos non concoquebant tandemque amore dominandi eo nequitiae devenerunt, ut, cum non haberent, quomodo imperatorem et episcopos, a quibus se despectos rebantur, ulciscerentur, inter sectatores Acindyni nomina darent, seque ipsos cum alia multitudine ab ecclesia abrumpentes, vehementer illam deformarent, cum paulo ante eadem de causa Ioannem throno submovissent. Et qui tutores dogmatum longe primi videbantur, quod praeteriti essent, repente mutati, eorum facti sunt vindices, quorum fuerant accusatores. Haec iure quispiam ei tribuerit, qui ab orbe condito communis humani generis inimicus exstitit. Oportebat enim viros illos prudentes atque in primis honorabiles, si non aliud, illud saltem cogitare, cum essent multi, qui ad huius officii procurationem appositi haberentur, unum proferri necessarium fuisse, qui regeret, reliquos autem regi. Nunc ambitione nimia caecati, semet ipsos prorsus retro agentes, ignominia maxima et naufragio circa

ὀλίγους περιέβαλον. ταῦτα μὲν οὖν ὕστερον εἰρήσεται ὀλίγῳ A.C. 1347 βέλτιον, καθὼς ἐν τοῖς πράγμασι συνέβη. τότε δὲ ὁ βασιλεὺς τὴν διάστασιν ἰδὼν τῶν διατεμόντων ἑαυτοὺς τοῦ λοιποῦ σώματος τῆς ἐκκλησίας, ἤχθετο μὲν οὐκ ἀνεκτῶς καὶ ἐλυπεῖτο, οὐ μόνον τῆς διαφορᾶς ἕνεκα, ἣν διεφέροντο πρὸς τοὺς λοιποὺς περὶ τῶν ὀρθῶν τῆς πίστεως δογμάτων, ἀλλ' ὅτι καὶ τῶν φίλων ἦσαν καὶ τῶν ὑπὲρ αὐτοῦ πολλὰ ἀνασχομένων δυσχερῆ κατὰ τὸν τοῦ πολέμου χρόνον, οὓς ᾤετο εἶναι δεῖν πολ- D λαῖς ἀμείβεσθαι εὐεργεσίαις καὶ εὖ ποιεῖν τὰ δυνατά, εἰ καὶ τῆς πρώτης ἀπετύγχανον ἀξίας. οἱ δὲ καθάπαξ ἀπαχθέντες τῇ μνησικακίᾳ, ὅτι μὴ τῶν πατριαρχικῶν ἠξίωντο θρόνων, οὐδὲν ᾤοντο ἕτερον ἔσεσθαι ἀντίῤῥοπον πρὸς τοὺς πόνους καὶ τὴν ὑπὲρ βασιλέως σπουδήν, ἀλλὰ καθάπαξ ἑαυτοὺς βασιλέως καὶ τῆς ἀληθείας ἀποστήσαντες, ἐκεῖνόν τε ἔλεγον V. 575 κακῶς καὶ τὴν ἀλήθειαν διέφθειρον, τῷ ψεύδει συνηγοροῦντες καὶ τοῖς Βαρλαὰμ καὶ Ἀκινδύνου διαστρόφοις δόγμασιν ἑπόμενοι κατ' ἴχνος. Ἰσίδωρος δὲ ὁ πατριάρχης ὀλίγῳ μετὰ τὴν χειροτονίαν ὕστερον καὶ τοὺς ἄλλους τῶν ἀρχιερέων ἔχων, ὅσοι P. 717 παρῆσαν, ἡνίκα κατὰ τὰς ἀρχὰς τοῦ πολέμου μάλιστα Ἰωάννης ὁ πατριάρχης κατὰ βασιλέως τοῦ Καντακουζηνοῦ ἐξεφώνει τὸν ἀφορισμὸν παρὰ πάντα τοῦ δικαίου λόγον καὶ προσήκοντα, τοὺς αὐτοὺς δὴ καὶ οὗτος ἔχων, ἐπὶ τοῦ ἄμβωνος λεγομένου ἀναβάς, ἵνα μᾶλλον διὰ πάντων διικνοῖτο ἡ φωνή, τὸν ἀφορισμὸν διέλυε πάντων ἀκουόντων, καίτοι καὶ Ἰωάν-

fidem seque aliosque non paucos involverunt. Sed haec aliquanto post enucleatius, sicut evenerunt, explicabuntur. Imperator cognoscens, quo pacto se ipsos a reliquo ecclesiae corpore praecidissent, ferebat aegerrime et dolebat, non propter dissensionem dumtaxat, qua ab aliis in germana fidei doctrina differebant, sed quod simul amici erant proque illo, bello durante, multa perpessu aspera exhauserant: quos, quamquam praecipua patriarchatus dignitate frustratos, nihilo minus donis ac beneficiis remunerandos existimabat, quantum posset. At illi iniuriae memoria semel acti praecipites, quod patriarchico throno dignati non erant, nullo praeterea praemio labores ac studia sua erga imperatorem compensari posse arbitrabantur: simulque ab illo et a veritate se abstrahentes, ipsum maledictis lacerabant, et hanc mendacio patrocinantes corrumpebant, Barlaami et Acindyni falsa dogmata per vestigia insequentes. Isidorus autem patriarcha brevi post inaugurationem, etiam alios episcopos secum habens, quotquot affuerant, dum ipso belli initio Ioannes patriarcha in Ioannem Cantacuzenum praeter omne ius fasque devotionis carmen pronuntiaret, eosdem, inquam, secum habens, in ambonem qui dicitur adscendens, quo clarius ab omnibus exau-

A. C. 1347 νης αὐτὸς εὐθὺς μετὰ τὸ βασιλέα Βυζαντίου κεκρατηκέναι,
ἐπεὶ πρὸς ἐκεῖνον παρεγένετο, ἔλυε καὶ αὐτὸς πολλῶν ἀκου-
B όντων τὸν ἀφορισμόν· ἀλλ' ὅμως ἐδόκει καὶ αὖθις Ἰσιδώ-
ρῳ τὰ ἴσα πλείονος ἕνεκα ἀσφαλείας πράττειν.
δ'. Ὀρχάνης δὲ ὁ βασιλέως γαμβρὸς, ἐπεὶ ἐπύθετο βα-
σιλέα κεκρατηκότα Βυζαντίου καὶ πᾶσαν ἤδη τὴν Ῥωμαίων
ἡγεμονίαν ἔχοντα βεβαίως, πανοικησίᾳ ἦλθε πρὸς τοῦ Βυζαν-
C τίου τὴν περαίαν, ὃ Σκουτάριον ἐγχωρίως ὀνομάζεται, συν-
ησθησόμενος ἐπὶ τῇ νίκῃ. καὶ ὁ βασιλεὺς αὐτίκα τριήρεσιν
ἐπεραιοῦτο πρὸς αὐτόν· καὶ ἐφ' ἡμέραις οὐκ ὀλίγαις συνῆδον-
το ἀλλήλοις, θήραις σχολάζοντες καὶ πότοις καὶ φιλοτησίαις.
συνήσθιον δὲ βασιλεὺς μὲν καὶ Ὀρχάνης ὁ γαμβρὸς ἐπὶ τρα-
πέζης τῆς αὐτῆς, οἱ υἱοὶ δὲ τέτταρες ὄντες, ἐξ ἑτέρων γυναι-
κῶν αὐτῷ γεγενημένοι, ἐφ' ἑτέρας οὐ μακρὰν τῆς βασιλέως·
τῶν ἐπιφανῶν δὲ Περσῶν οἱ ἄλλοι καὶ Ῥωμαίων ἐπὶ ταπή-
των ἦσαν ἀνακεκλιμένοι πρὸς τὸ ἐσθίειν, ὅσον ὁρᾶσθαι ὑπὸ
βασιλέως. ἐπεὶ δὲ ἐφ' ἱκανὸν συνήσθησαν ἀλλήλοις, Ὀρχάνης
μὲν ἔμεινεν ἐπὶ τοῦ στρατοπέδου, βασιλεὺς δὲ μετὰ τῆς θυ-
D γατρὸς Θεοδώρας τῆς Ὀρχάνη γυναικὸς, ἑπομένων καὶ τῶν
Ὀρχάνη παίδων καὶ τῶν ἄλλων τῶν ἐκ τῆς οἰκίας, εἰς Βυζάν-
τιον ἀνέστρεφεν. ἡ συγγενομένη βασιλίδι τῇ μητρὶ καὶ ταῖς
ἀδελφαῖς ἐπὶ τρισὶν ἡμέραις, ἔπειτα ἀνέστρεφεν εἰς τὴν Βι-
θυνίαν μετὰ τῶν υἱῶν Ὀρχάνη καὶ τῶν ἄλλων τῶν ἐφεπο-
μένων, εὐεργετηθέντων φιλοτίμως παρὰ βασιλέως τοῦ πατρός.

diretur, anathematismum praesente populo rescidit: tametsi ipse Ioannes, ut imperator occupato Byzantio ad eum venit, eundem antiquarat. Nihilo minus Isidoro id ipsum iterato fieri complacitum fuit.

4. Orchanes, imperatoris gener, posteaquam socerum Byzantio potitum totum iam imperium Romanum, quantum esset, certo possidere didicit, cum tota domo Scutarium, (ut ab indigenis vocitatur,) e regione Byzantii situm, victoriam gratulaturus advenit. Ad quem extemplo imperator triremibus traiecit, diebusque non paucis venationibus et symposiis vacantes collaetati sunt. Ad eandem porro mensam imperator et Orchanes gener: filii quatuor ex prioribus suscepti uxoribus ad aliam non longe accumbebant: ceteri illustres Persae et Romani in eorum conspectu super stratis tapetibus discumbebant. Ubi se diu mutuo delectarunt, Orchanes quidem in castris seu classe remansit: imperator cum filia Theodora, Orchanis coniuge, sequentibus eiusdem filiis reliquisque domesticis, Byzantium se recepit: ibi cum matre et sororibus triduum versata, postea in Bithyniam cum privignis et comitibus honorifice a patre donatis rediit. Tertio Idus Maias eodem vere in templo Dei genitricis in Blachernis imperator Cantacuzenus ab Isidoro patriarcha denuo, Anna im-

τρίτῃ δὲ ἐπὶ δέκα Μαΐου ἱσταμένου ἦρος τοῦ αὐτοῦ ἐν τῷ A. C. 1347
τῆς θεομήτορος τεμένει τῶν Βλαχερνῶν βασιλεὺς ὁ Καντα-
κουζηνὸς ὑπὸ Ἰσιδώρου τοῦ πατριάρχου ἐστέφθη αὖθις, Ἄν-
νης τε τῆς βασιλίδος παρούσης καὶ βασιλέως Ἰωάννου τοῦ
γαμβροῦ· καὶ πάντα ἐτελεῖτο τὰ νενομισμένα ἐν τῇ ἑορτῇ,
οὐδενὸς παραλειφθέντος· ἔπειτα καὶ αὐτὸς Εἰρήνην ἔστεφε
τὴν βασιλίδα κατὰ τὸ ἔθος. καὶ εἰς τὰ βασίλεια ἐπανελθόν-
τες πότους καὶ φιλοτησίας καὶ τὰ ἄλλα πάντα ἐξεπλήρουν, P. 718
ὅσα φαιδρύνειν οἶδε τὴν ἑορτήν. καίτοιγε αὐτὸς ἐν Ἀδρια-
νουπόλει ὑπὸ Λαζάρου τοῦ τῶν Ἱεροσολύμων πατριάρχου
πρότερον ἐστέφθη καὶ ἀπέχρησεν ἂν ἡ τοῦ ἁγίου μύρου χρί-
σις ἐκείνη παρ' εὖ φρονοῦσιν· ἵνα δὲ μηδεμία εἴη πρόφασις
τοῖς ὑβρισταῖς, ὡς ἄρα μὴ ἐν Βυζαντίῳ κατὰ τὸ ἀρχαῖον
τῶν βασιλέων ἔθος ἔστεπτο, καὶ τὸ δεύτερον αὖθις ἐτελεῖτο. V. 576
ὀγδόῃ δὲ ἡμέρᾳ ἀπ' ἐκείνης κατὰ τὴν Κωνσταντίνου καὶ Ἑλέ-
νης μνήμην τῶν μεγάλων βασιλέων καὶ οἱ τοῦ νέου βασιλέως
ἐτελοῦντο γάμοι ἐν τῷ αὐτῷ τεμένει τῆς θεομήτορος τῶν Βλα-
χερνῶν. ὁ γὰρ τῆς τοῦ θεοῦ Σοφίας, κάλλει τε καὶ μεγέθει B
τοὺς ἁπανταχοῦ νικῶν καὶ ὥσπερ τι κοινὸν ἄγαλμα τῆς Ῥω-
μαίων ἡγεμονίας ὢν καὶ δεῖγμα τῆς μεγαλουργίας καὶ τῆς
περὶ τὰ καλὰ φιλοτιμίας, ἔτει ἑνὶ πρότερον ἢ Καντακουζη-
νὸν τὸν βασιλέα τὸ Βυζάντιον ἑλεῖν, σεισμῶν ἐξαισίων γε-
νομένων, κατηνέχθη, οὐ καθάπαξ, ἀλλ' ἥ τε πρὸς τῷ βήματι

9. *οἶδε* pro *εἴωθε*; vid. Reisk. ad Constant. II. p. 5. 21. *ἔτεσι δυσὶ* M. mg.

peratrice et Ioanne imperatore praesentibus, coronatus est, servatis omnibus, quae illo tam festo die servari moribus receptum est. Mox et ipse Irenen coniugem pro consuetudine coronavit: reversique in palatium, quaecunque ad hilaritatem diei pertinere nossent, iis se dederunt. Et quamquam Adrianopoli antehac a Lazaro, patriarcha Hierosolymitano, corona exornatus esset, suffecissetque apud viros prudentes illa sacra unctio: tamen ne oblocutoribus sermonem daret, quod non Byzantii secundum imperatorum solenne coronam accepisset, iterum coronari placuit. Octavo autem die ab illo, id est duodecimo Kalendas Iunias, qui dies Constantini et Helenae, clarissimorum imperatorum, memoriae consecratus est, in eodem templo Deiparae in Blachernis iuniori imperatori uxor tradita est. Nam Sophiae templum, elegantia ac magnitudine quaecunque templa orbis terrarum superans et veluti quoddam commune Romani imperii decus atque ornamentum, magnificaeque structurae et ambitiosi cuiusdam studii pulcherrime aedificandi specimen, anno antequam Cantacuzenus Byzantium caperet, immani terrae motu conciderat: non illud quidem totum, sed magna porticus una cum tabernaculo et tecti partes plus duae. Idcirco sacra et cerimoniae imperatorum in

A.C. 1347 τε μὴ αὐτῷ προσλογίζεσθαι τοὺς ἐσομένους φόνους καὶ τοὺς
ἀνδραποδισμούς. τῆς γὰρ Ῥωμαϊκῆς δυνάμεως διεφθαρμέ-
νης ὑπὸ τοῦ συγγενικοῦ πολέμου, ἀναγκαίως χρήσεσθαι βαρ-
βάροις κατὰ συμμαχίαν. ἃ ἐκέλευε σκεψάμενον τὰ δέοντα
ποιεῖν. ὡς δὲ καὶ μετ' ἐκείνην τὴν πρεσβείαν οὐδὲν ὁ Κρά-
λης ἐποίει τῶν δεόντων, ἀλλὰ καὶ τὰς ὑπολοίπους ἐπολιόρκει
πόλεις, πέμψας πρὸς Ὀρχάνην τὸν γαμβρὸν ὁ βασιλεὺς, με-
τεκαλεῖτο στρατιάν. καὶ παρῆσαν ὑπὲρ μυρίους τῶν βαρβά-
D ρων, ὧν Σουλιμὰν μετὰ τῶν ἀδελφῶν, οἱ τοῦ Ὀρχάνη παῖ-
δες, ἐστρατήγουν. πέμπει δὴ μετὰ τούτων καὶ Ματθαῖον τὸν
υἱὸν ὁ βασιλεὺς τῆς Ῥωμαίων στρατιᾶς ἡγούμενον, καὶ ἐκέ-
λευε τοὺς ὅρους τῆς Ῥωμαίων ἡγεμονίας διελθόντας ἀβλαβῶς,
οὕτω πορθεῖν τοὺς Τριβαλούς. οἱ βάρβαροι δὲ ὡς μόνον
ἐπέβησαν Μυγδονίας, τὸ περὶ Χριστούπολιν τείχισμα δια-
βάντες, πυθόμενοι, ὡς ὑπὸ Κράλην αἱ πόλεις ἐκεῖναι ἄγοιντο,
εὐθὺς ἐτράποντο ἐπὶ λεηλασίαν, ὀλίγα φροντίσαντες τῶν στρα-
τηγῶν, καὶ τὰς κώμας πάσας ἐξεπόρθησαν, καὶ τὰς πόλεις κα-
τέδραμον τὰς κατὰ Μυγδονίαν, καὶ ἀπέκτεινάν τε πλείστους
καὶ ἠνδραποδίσαντο οὐκ ὀλίγους· λείαν τε πλείστην δορυά-
P. 720 λωτον ἐλάσαντες, ἀνέστρεφον καὶ ἐπεραιοῦντο κατὰ τὸν Ἑλλήσ-
ποντον εἰς τὴν οἰκείαν. βασιλεὺς δὲ πυθόμενος τὴν ἀταξί-
αν τῶν βαρβάρων, οὐ μετρίως ἠνιᾶτο, ὅτι ὑπὲρ ὧν ἐδόκει
τὸν πόλεμον αἱρεῖσθαι, τούτους διέφθειρεν ἡ συμμαχεῖν δο-
κοῦσα στρατιά.

1. τοὺς ante ἐσομένους add. M. 20. τὸν om. M. 21. οἰκίαν P.

sibi adscribat: opibus enim Romanis civili bello fractis ac debilitatis, se barbarorum auxiliis vel nolentem usurum. Quae ut expendat, et quo facto opus sit, faciat, se hortari. Cum nec post alteram legationem praestaret Crales, quod debebat, immo potius ceteras urbes obsideret, imperator Orchanem generum subsidium poposcit: veneruntque barbarorum supra decem millia, ducentibus Sulimano cum fratribus, Orchanis filiis. Mittit una imperator etiam Matthaeum filium Romano agmini praepositum, et citra maleficium transitis Romanorum finibus, Triballos devastare iubet. At barbari ubi tantum Mygdoniam per munitionem, quae iuxta Christopolim est, pervenerunt et urbes illas a Crale teneri intellexerunt, ducum imperia parvi pendentes, ad populationem sese illico effuderunt vicosque omnes vastaverunt, et urbes Mygdoniae finitimas incursarunt, occideruntque et captivos egerunt quam plurimos: atque cum opima praeda armis quaesita per Hellespontum in Bithyniam redierunt. Imperator ut barbaros deseruisse ordines audivit, molestissime tulit: quandoquidem in quorum utilitatem bellum hoc susceperat, eos ipsos hi, qui se pro sociis adiuturi videbantur, perdiderant.

ε΄. Μετὰ τοῦτο δὲ εἰς Θετταλίαν τριήρη πέμψας, τὸν A. C. 1347
υἱὸν μετεπέμπετο Μανουήλ· ἐπεὶ δὲ ἦν ἐν Βυζαντίῳ, ἐκεῖ- B
νον μὲν καὶ τὸν γαμβρὸν δοῦκα τὸν Νικηφόρον δεσπότας
ἀπεδείκνυ. Ματθαῖον δὲ τὸν πρεσβύτερον υἱὸν ἀξίας μὲν
οὐδεμιᾶς ὀνομαστὶ ἠξίου, τιμὴν δὲ παρεῖχε τὴν ὑπὲρ δεσπό-
τας, ὡς εὐθὺς εἶναι μετὰ βασιλέα, ἣν ὁ πρῶτος τῶν Πα-
λαιολόγων βασιλέων Μιχαὴλ ἐκαινοτόμησεν ἐπὶ υἱῷ Κωνσταν-
τίνῳ τῷ Πορφυρογεννήτῳ, ἣ ἐδόκει πλέον τι τῆς τῶν δεσπο-
τῶν ἀξίας ἔχειν. τοὺς γυναικὸς δὲ τῆς βασιλίδος ἀδελφοὺς
Ἰωάννην καὶ Μανουὴλ σεβαστοκράτορας ἀπέδειξεν. ὁρῶν δὲ C
τὴν Ῥωμαίων ἡγεμονίαν δεινῶς ὑπὸ τοῦ ἐμφυλίου πολέμου διε-
φθαρμένην καὶ καταφρονουμένην ὑπὸ τῶν περιοίκων, ἀμύνε-
σθαι δὲ ἀδυνάτως ἔχων διὰ σπάνην τῶν χρημάτων, (νεῦρα
γάρ τις καιρίως εἶπε τὰ χρήματα τοῦ πολέμου,) καὶ μήτε οἴ-
κοθεν ἔχων χορηγεῖν, μήτε ἐκ τῶν δημοσίων· (τά τε γὰρ κει- V.578
μήλια ἀνάλωται πάντα τὰ βασιλικὰ, καὶ αἱ πρόσοδοι αἱ κοι-
ναὶ ἐξέλιπον, τῆς χώρας καθάπαξ ὑπὸ τοῦ πολέμου διεφθαρ-
μένης, καὶ νήσων καὶ ἠπειρωτίδων πόλεων τῶν μὲν ὑπὸ τῶν
πολεμίων κατεχομένων, τῶν ἐπιλοίπων δὲ εἰς ἐσχάτην ἀπο-
ρίαν ἔκ τε τῶν ἔξωθεν ἐφόδων καὶ τῶν ἔνδον στάσεων ἡκόν-
των· τρέφεσθαι δὲ ἐνῆν τοὺς στρατιώτας οὐδαμόθεν· πάν- D
τες δὲ ἦσαν ἄχρηστοι καὶ ἄοπλοι ὑπὸ πενίας, καὶ οὐδεμία
ὄνησις ἐκείνων ἦν, καὶ ταῦτα πολλῶν ὄντων καὶ ἀγαθῶν·) ἀ-
πορίᾳ πανταχόθεν συνεχόμενος, ἐσκέψατο εἰσφορὰν ποιήσα-

3. δούκαν P. 8. τῶν om. M.

5. Sub haec missa triremi in Thessaliam, filium Manuelem accersit, eumque Constantinopóli cum Nicephoro duca, genero suo, despotam declarat. Matthaeum, seniorem filium, nulla dignitate nominatim cohonestat, honore tamen supra despotas effert, nempe ut esset imperatori proximus: quem honorem primus Palaeologorum, imperator Michaël, propter filium, Constantinum Porphyrogenitum, invenit, videbaturque ea dignitas despotarum dignitati antecellere. Fratres uxoris, Ioannem et Manuelem, sebastocratoras legit. Cernens autem Romanum imperium civili bello vehementer quassatum et attritum atque a vicinis cum propter inopiam pecuniae, (quam quidam nervos esse belli non inscite dixit,) ulcisci se non posset, quod nec de suo, nec de publico sumptus suppeditaret; (quae enim in thesauris imperatoriis reposita habebantur, absumpta erant omnia, et vectigalia, regione funditus direpta ac devastata, defecerant, et insulae atque continentis urbes aliae hostibus serviebant, aliae propter hostiles incursiones foris, et civium discordias intus, extremis difficultatibus conflictabantur: nec suppetebat in milites alimonia, qui, quamquam multi ac strenui, prae egestate, qua undique premebantur, erant inermes atque inutiles;) edicere cogitavit, ut cives de

A. C. 1347 σθαι ἐκ τῶν ἰδίων πάντας, ἵν' αὐτοί τε σώζοιντο οἱ ἔχοντες, καὶ τοὺς ἀπόρους συνδιασώζοιεν. οὕτω δὲ σκεπτομένῳ οὐ βίαν εἰσφέρειν ἐδόκει δεῖν μέλλοντι ὑπὲρ αὐτῶν τῶν εἰσφερόντων τὰ χρήματα ἀναλίσκειν, ἀλλὰ πείθειν παραινέσαντα μᾶλλον πρὸς τὴν πρᾶξιν ἑκοντὶ χωρεῖν, καὶ κοινὴν ἐκκλησίαν ἐκ πάσης ἰδέας βίου συναθροίσας ἐκ τῶν Βυ-
P. 721 ζαντίου πολιτῶν· οὔτε γὰρ ἔμπορος ὑπελείπετο, οὔτε στρατιώτης, ἀλλὰ καὶ χειροτέχναι παρῆσαν, καὶ τοῦ δήμου οὐκ ὀλίγοι καὶ τῶν ἱερῶν φροντιστηρίων οἱ ἐξηγούμενοι καὶ τῶν ἐκκλησιῶν οἱ προστάται· καὶ καταστὰς εἰς μέσους ἔλεξε τοιάδε· „ἄνδρες Ῥωμαῖοι· τὴν μὲν ἀρχαίαν τῆς Ῥωμαίων ἡγεμονίας εὐδαιμονίαν ὡς θαυμαστή τις ἦν καὶ τῶν περὶ αὐτὴν οἰκούντων βαρβάρων τῶν μὲν ἐκράτει καὶ ὑποχειρίους εἶχεν, οἱ δὲ ὑπόφοροι διετέλουν, οἱ περιφανέστατοι δὲ καὶ δοκοῦντες μεγάλην δύναμιν περιβεβλῆσθαι, ἀγαπητὸν ἡγοῦντο, εἰ φίλους καὶ συμμάχους ἔχοιεν καὶ ἐξ ἴσης φέροιντο αὐτοῖς μηδὲν πλεονεκτούμενοι, οὐδ' ὑμεῖς ἀγνοεῖτε, εἰ καὶ μὴ πάν-
B τες, ἀλλὰ ταῦτα δὴ τὰ σεμνὰ καὶ θαυμαστὰ καὶ μόνον ᾀδόμενα νυνί, ὥσπερ τινὰ τῶν ἔξω Θούλης εἰργασμένων, μέχρι τότε περιῆν, ἄχρι πᾶσιν ὁμοίως καὶ βασιλεῦσι καὶ ἰδιώταις τῆς κοινῆς ἔμελεν εὐδοξίας, καὶ τῶν ἰδίᾳ συμφερόντων τὰ κοινῇ προὐτίθεσαν. ἀφ' οὗ δὲ τοῖς τε βασιλεῦσιν ἔρις ἐνέπεσεν ἐσχάτη καὶ φιλονεικία περὶ τῆς ἀρχῆς, καὶ τοῦ μετὰ τῶν οἰκείων μάχεσθαι τοῖς πολεμίοις ἀποσχόμενοι, ἀλλήλοις συν-

6. ἀπελείπετο M.

facultatibus suis viritim conferrent, quo et ipsi, qui haberent, et ii, qui egerent, una servarentur. Hoc meditanti occurrit, vim abstinendam, siquidem illam ipsam pecuniam collatitiam pro conferentibus insumpturus esset, sed hortando potius ad id libenter faciendum impellendos. Inde conventu civium Byzantiorum ex omnibus ordinibus indicto, (nam et mercatores et milites et opifices et plebes infima frequens et sacrorum monasteriorum praefecti et ecclesiarum procuratores confluebant,) in medium progressus, sic infit dicere: „Veterem Romani imperii felicitatem, viri Romani, admirandam fuisse, et barbaros circumiacentes alios quidem ab iisdem victos et subiugatos esse, alios mansisse semper stipendiarios, clarissimos autem eosdemque praepotentes satis se beatos putavisse, si illos amicos et socios haberent parique cum iis iure suis rebus integris viverent, vos quoque universi propemodum non ignoratis. Verum haec augusta et admiranda et hodie fama tantum, velut si extra ultimam Thulen gesta essent, celebrata tamdiu viguerunt, quamdiu aeque omnibus, imperatoribus nimirum et privatis, communis gloria cordi fuit et publica commoda privatis antelata. Ex quo autem imperatores litigare et contendere de summa rerum, et hostes op-

ἐῤῥάγησαν, καὶ οἱ ἄλλοι τῆς κοινῆς ἀμελήσαντες σωτηρίας A. C. 1347
καὶ τοῦ πειθαρχεῖν τοῖς νόμοις καὶ τοῖς ἄρχουσιν, ᾗ προσ-
ῆκε, τῶν ἰδίᾳ τι διαφερόντων μάλιστα ἀντεποιήσαντο, πάντα
ἄνω καὶ κάτω γέγονε καὶ τῆς τε εὐδοξίας ἀφῃρήμεθα τὸ πλεῖ-
στον, καὶ εἰς τοσοῦτον ἥκομεν ἀδυναμίας, ὥστε μηκέθ' ἡμῖν C
ἐπὶ τῷ καταδουλοῦν ἑτέρους τὸν λόγον εἶναι, ἀλλ' ὅπως μὴ
αὐτοὶ αἰσχρῶς καὶ ἀγεννῶς δουλεύσομεν. ὡς μὲν οὖν καὶ
αὐτὸς οὐκ ἐπεβούλευσα βασιλέως τοῖς παισὶν, οὐδὲ βασιλείας
ἐρῶν, ἢ τῆς πατρῴας ἡγεμονίας αὐτοὺς ἀποστερῶν, εἰς τοῦ-
το ἦλθον, πᾶσιν ἔξεστιν ἀπόδειξιν λαμβάνειν ἐναργῆ ἐκ τῶν
πραγμάτων. εἰ γὰρ, ὥσπερ οἱ συκοφάνται κατηγόρουν, τοῦτο
προὐθέμην ἐξαρχῆς, οὐκ ἂν μετὰ τὸν τοσοῦτον πόλεμον καὶ τὴν
παντοίαν τῶν δεινῶν ἐπιφορὰν καὶ τῶν χρημάτων τὴν ἀποβολὴν
καὶ τῶν οἰκείων καὶ τῶν φίλων τὴν τοσαύτην κακοπραγίαν, νῦν
ἀπεσχόμην τῆς προθέσεως, πάντα ἔχων ἐν χερσῖν. δι' ἃ καὶ
μάλιστα πολλαπλασίους χάριτας ὁμολογῶ τῷ κρείττονι, ὅτι D
μὴ ἐκείνων τὴν εἰρήνην ἑλομένων, μηδὲ πρὸς συμβάσεις χω-
ρησάντων, καίτοι γε πολλάκις ἐμοῦ πολλὰ περὶ εἰρήνης δεη-
θέντος, ἀλλὰ πεπολεμηκότων ἄχρι καὶ τοῦ δυνατοῦ καὶ οὐδε-
νὸς ἠμεληκότων τῶν ἡκόντων εἰς αὐτοὺς, τῇ ἄνωθεν μόνῃ
συμμαχούμενος ῥοπῇ, πάντων περιεγενόμην, ἵνα μὴ δοκῶ διὰ
τοὺς ὅρκους καὶ τὰς συμβάσεις, ἀλλὰ διὰ τὴν ἀρχαίαν ἐπι-
είκειαν καὶ τὴν πρὸς βασιλέα τὸν θαυμαστὸν ἐκεῖνον καὶ
φίλτατον ἐμοὶ φιλίαν τῶν παίδων τῶν ἐκείνου φείδεσθαι καὶ V. 579

pugnare parcentes, cum consanguineis confligere coeperunt, aliique, communi salute neglecta, et quam debebant, obedientia legum ac principum abiecta, ad proprios quaestus omni ratione comparandos incubuerunt, mista sunt ima summis et summa infimis, gloriaeque nostrae damnum longe maximum fecimus, eoque infirmitatis recidimus, ut iam non amplius, quomodo alios subigamus, sed, ne ipsi ignaviter ac turpiter subigamur, providendum sit. Quod igitur liberis imperatoris insidias nequaquam fecerim, nec regnandi cupiditate paterno eos principatu spolians huc venerim, cuivis ex ipsa re evidenter licet perspicere. Si enim, ut sycophantae clamitant, hoc ab initio in animum induxissem, post tam atrox bellum et clades multifariam illatas, post ereptas mihi facultates, propinquorum et amicorum tantas aerumnas, nunc certe, quando omnia in manibus meis sunt, quod constituissem, exsequerer. Quocirca et maiores multo numini gratias ago, quando non pacem illis amplectentibus, neque ad pacta descendentibus, (tametsi id ego rogarem creberrime,) sed bellantibus, quantum vires paterentur, nihilque in hoc genere non audentibus, solo Deo mihi favente pugnans, omnibus evasi superior, ne propter conventa et iuramenta, sed propter veterem animi mei moderationem et cum singulari illo mecumque quondam coniun-

A. C. 1347 τὴν πατρῴαν ἀρχὴν συνδιασώζειν. εἰ μὲν οὖν, ὥσπερ ἐξαρ-
P. 722 χῆς αὐτὸς διενοούμην, πάντα πράττειν ὑπὲρ τῆς κοινῆς Ῥωμαίων ὠφελείας, καὶ χρήματα ἀναλίσκειν τοσαῦτα ὄντα, ὅσα ἴστε, καὶ πάντα πόνον καὶ κίνδυνον ὑφίστασθαι, καὶ οἱ ἄλλοι συνείποντο προθύμως ἢ τό γε μετριώτερον, μὴ ἐκώλυον αὐτοί, οὐκ ἂν νῦν περὶ τοῦ ᾗ χρὴ σώζεσθαι, ἀλλ', εἰ μὴ ἐπίφθονον εἰπεῖν, περὶ τοῦ ὁποίους χρὴ καταδουλοῦν ἐβουλευόμεθα. ἐπεὶ δὲ οὕτω ταῦτα πονηροῦ τινος δαίμονος ἡμῖν βασκήναντος συνεσκευάσθη, καὶ πρὸς μὲν ἐμὲ τὸν ὑπὲρ τῆς κοινῆς σωτηρίας πολλὴν πρόνοιαν ποιούμενον πόλεμον ἤραντο προθύμως, καὶ τοὺς ἄλλους ἅπαντας συνέπεισαν, καὶ τά τε
B ἡμέτερα ἅπαντα ἀναλώκασι καὶ τὰ κοινὰ, οὐδὲν ἧττον κατ' ἐμοῦ, ἢ καὶ καθ' ὑμῶν ἁπάντων, εἰ δεῖ τἀληθὲς εἰπεῖν, καὶ τὴν χώραν ἅπασαν διέφθειραν, ἀφ' ἧς αἱ συντάξεις συνελέγοντο, καὶ τοὺς μὲν πολεμίους φοβεροὺς ἐποίησαν ἡμῖν, πόλεις τὰς μὲν ἑκόντι προέμενοι ἐκείνοις, ἵν' ἔχωσι συμμάχους κατὰ Ῥωμαίων, τῶν δ' ἀμελήσαντες, ὥστ' ἐκείνους δύνασθαι καταδουλοῦν, ἡμᾶς δὲ ἀσθενεστάτους ὀλιγότητι τῆς στρατιᾶς καὶ χρημάτων ἀπορίᾳ, περιέστηκε δὲ νῦν ἡμῖν ἐν ἀπόρῳ πάντα, σκεπτέον ἕκαστον καὶ γνώμην τινὰ εἰσενεκτέον, δι' ἧς
C ἔσται τὰ πράγματα ἡμῖν βελτίω, καὶ τῆς τε παρούσης δυσπραγίας καὶ τῆς ἔτι ἀπαλλαξόμεθα προσδοκωμένης. Τριβα-

ctissimo imperatore amicitiam filiis eius parcere et paternum eis imperium custodire existimer. Si ergo, quemadmodum a principio ipse cogitabam, ad communem Romanorum fructum scilicet, omnes actiones meas dirigere impendereque pecunias meas tantas, quantas vos scitis, et nullum laborem aut discrimen subterfugere, si haec, inquam, alii cogitassent et me impigre secuti fuissent, aut, quod minus est, saltem me non prohibuissent, non hoc tempore de nostra libertate retinenda, sed (absit verbo invidia) de aliena potius eripienda consultaremus. Ceterum quia haec adversum nos malignus quispiam daemon ex invidia callide machinatus est, et illi contra me, communis libertatis diligentissimum, arma cupide susceperunt eodemque alios omnes perpulerunt nostrasque fortunas et communem pecuniam omnem prodegerunt, in eo (si verum licet dicere) non magis me, quam vos universos, laeserunt, totamque regionem, unde pensiones colligebantur, expilarunt, et hostes nobis formidabiles, urbium alias sponte ipsis dimittentes, (ut eos contra Romanos haberent socios,) alias non curantes, (ut illi eas possent subigere,) nos autem paucitate militum et inopia pecuniaria infirmissimos reddiderunt, coniectique sumus in angustias per omnia. Cum haec, inquam, ita sint, perpendendum cuique et afferenda in medium sententia, qua status rerum emendetur, et cum praesenti, tum adhuc imminenti miseria liberemur. Nam Triballi, Moesi, Persae et

λοί τε γὰρ ὁμοίως καὶ Μυσοὶ καὶ Πέρσαι καὶ εἴ δή τινες A. C. 1347
ἄλλοι γειτονοῦσιν ἡμῖν δυναστείαν ἔχοντες, οὐ τοῖς ἡρπασμένοις κατὰ τὸν τοῦ πολέμου χρόνον ἀρκοῦνται, ἀλλ' ἐφάπαξ καταφρονήσαντες, οὐδαμῇ στῆσαι τὴν πλεονεξίαν βούλονται. ἐγὼ δὲ ἡδέως ἂν εἶδον ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ δίκας ἐκ τούτων πάντων ἂν ἐξῇ λαβεῖν τῶν εἰς ἡμᾶς ἠσελγημένων. οὐδὲ γὰρ οὐδὲ κατὰ τὸν τοῦ πολέμου χρόνον ἑκόντι τὴν τῶν βαρβάρων ᾑρούμην κατὰ τῶν Ῥωμαίων συμμαχίαν, ἀλλ' ὑπὸ τῶν πολεμούντων πρὸς ἀνάγκην ἐναγόμενος. ῥᾳδίως γὰρ ἐκεῖνοι πόλεις καὶ χώρας καταπροϊέμενοι, Μυσοὺς καὶ Τριβαλοὺς D
καὶ εἴ δή τινας ἄλλους ἔπειθον ἐμοὶ ἁπάσῃ δυνάμει πολεμεῖν. οὐ μὴν ἀλλὰ καὶ ἐκεῖνοι ᾔδεσαν αὐτοὶ ἐφ' ἑαυτῶν, ὡς, ἐμοῦ μὲν καταστάντος ἐπὶ τῆς ἀρχῆς, οὐ μόνον οὐδὲν προσκτήσονται τῶν ἡμετέρων, ἀλλὰ καὶ τὰ ἡρπασμένα ἀναγκασθήσονται ἀποδιδόναι, ἐκείνων δὲ ἀρχόντων, οἷα ἀνδραπόδοις χρήσονται· δι' ἃ προθύμως συνεμάχουν. ἄλλως τε οὐδὲ πρὸς Πέρσας ἔμειναν ἀνεπιχείρητοι, ἀλλ' αὐτοί τε πρῶτοι ἐπήγοντο συμμάχους κατ' ἐμοῦ, καὶ ὕστερον οὐχ ἅπαξ καὶ δίς, ἀλλὰ P. 723
καὶ πολλάκις ἐπεχείρησαν ἐμοὶ ἐκπολεμῶσαι, χρήματα πολλὰ τὰ μὲν διδόντες, τὰ δὲ ἐπαγγελλόμενοι. πρὸς οὖν τοσαύτην δύναμιν τῶν πανταχόθεν περιεστηκότων πολεμίων δυνάμεως οἰκείας ἀπορῶν, ἄλλως τε καὶ δεδοικώς, μὴ παροφθέντάς ἐκεῖνοι προσλάβωσι συμμάχους, ἀναγκαίως τὴν ἐκείνων περι-

si qui alii vicinas nobis provincias incolunt, quae per belli tempus rapuerunt, iis contenti non sunt, sed simul et semel nobis contemptis, avaritiae suae imperare nulla ratione volunt. Ego vero libenter viderem diem illum, quo omnia in nos insolenter ac proterve admissa punirentur. Nec enim vel ipsis armis durantibus sponte mea, sed ab hostibus adactus, barbarorum contra Romanos auxilia adscivi. Illi enim oppida et regiones nulla religione proiicientes, Moesos, Triballos et si quos alios ad me totis viribus oppugnandum incitarunt, qui per se sciebant, si adeptus essem imperium, non solum de cetero rerum nostrarum nihil acquisituros, sed et rapta compulsos a me reddituros, illis autem regnantibus, se velut mancipiis usuros; quare arma armis alacriter iunxerunt. Ad haec neque Persas non etiam aggressi sunt, quos ipsi et prius auxiliares contra me induxerunt, et post non semel iterumve, sed saepius hostes mihi facere, partim data, partim promissa ingenti pecunia, studuerunt. Ad tantam igitur potentiam hostium undique cingentium ipse imbecillis, praeterea timens, ne a me contemptos illi socios assumerent, necessitate sic postulante, barbarorum societatem et amicitiam studiosissime expetendam iudicavi. At nunc pulchre a Deo optimo maximo dirempta controversia, omnique seditione ac discordia sublata, vobiscum prompte illorum facinorum poenas reposcam.

A. C. 1347 σπούδαστον ἐνόμιζον καὶ συμμαχίαν καὶ φιλίαν. νυνὶ δὲ τῶν
πραγμάτων καλῶς ὑπὸ τοῦ κρείττονος κριθέντων, καὶ πάσης
στάσεως καὶ διχονοίας ἀπεληλαμένης, προθύμως σὺν ὑμῖν
τῶν τότε τετολμημένων δίκας ἀπαιτήσω. ὡς οὖν οὐδενὸς
ἀφεξομένου τῶν ὅσα λυσιτελεῖν ἡμῖν δοκεῖ καὶ πρὸς εὐδοξίαν
B καὶ ἀνάκλησιν τῆς προτέρας εὐετηρίας, πάντα λέγετε προθύ-
V. 580 μως, ὅσα οἴεσθε λυσιτελεῖν, ὡς καὶ ἐμοῦ ἅ τε δοκῶ βελτίω
συμβουλεύσοντος, καὶ τοῖς καλῶς εἰρησομένοις τῶν ἄλλων
μᾶλλον εὐχερέστερον πεισθησομένου. εὖ γὰρ ἴστε σαφῶς,
ὡς, ἢν μὲν νῦν ἡμεῖς τὰ δέοντα καὶ βουλευώμεθα καὶ πράτ-
τωμεν, καὶ δύναμιν ποριζώμεθά ποθεν, τοῖς τε οὖσι φίλοις
ποθεινότεροι ἐσόμεθα καὶ τοῖς πολεμοῦσι φοβερώτεροι. ἂν δὲ
πρὸς τὴν ἀδυναμίαν ἀπειπόντες, καθεζώμεθα πράττοντες μη-
δὲν, τὴν ἀπραγμοσύνην καὶ τὴν ἡσυχίαν ἀσπαζόμενοι, οὐδὲν
ἕτερον ἡμῖν ἢ δουλεύειν ἑτέροις περιέσται ἐν βραχεῖ. ἢ γὰρ
C ἄρχειν δεῖ πάντα πραγματευομένους καὶ μηδὲν τῆς προτέρας
δόξης καὶ τῆς εὐτολμίας ὑφιέντας, ἢ δουλεύειν ἀσφαλῶς τοῖς
κρείττοσιν. ὡς οὖν οὐχ ὑπὲρ εὐδοξίας μόνον, ἀλλὰ καὶ τῆς
εἰς τὸ μέλλον ἀσφαλείας καὶ ὑμῶν αὐτῶν ἐλευθερίας, καὶ
βούλεσθε καὶ πράττετε, ἅττα ἂν ὑμῖν δοκῇ λυσιτελεῖν."
D ς'. Τοιαῦτα μὲν ὁ βασιλεὺς κοινῇ πρὸς ἅπαντας διει-
λέχθη, φανερῶς οὐδὲν εἰπὼν περὶ τοῦ δεῖν εἰσφέρειν χρή-
ματα. ἐβούλετο γάρ, ὥσπερ εἴρηται, μὴ δοκεῖν εἰσπράττειν
βίᾳ, ἀλλ' αὐτοὺς πρὸς τὸ κοινῇ λυσιτελοῦν οἴκοθεν τὴν συν-

3. ἡμῖν P.

Ut igitur me nihil omissuro, quod ad gloriam et pristinae felicitatis restitutionem expedire nobis videatur, omnia alacriter editote, quae conducere censetis. Nam et ego, quae magis probo, ea suadebo, et ab aliis recte dictis facilius assentiar. Omnino enim sic vobis persuadete, si nunc, quae tempus flagitat, et statuerimus, et egerimus, et alicunde vires comparaverimus, cum amicis cariores, tum hostibus terribiliores fore. Sin ob imbecillitatem nostram desperationi cedentes, otium et quietem complexi sedebimus, nihil nobis praeter servitutem brevi intervallo exspectandum erit. Aut enim, tentatis omnibus, imperandum nihilque de priori decore ac fortitudine remittendum, aut potentioribus sine dubio serviendum est. Cum itaque non solum praeterita gloria, sed et futura securitas et libertas vestra agatur, consulite, et quae vobis ad hunc finem prodesse posse videbuntur, facitote."

6. Haec imperator in commune ad omnes: aperte autem de pecunia collatitia nihil: nolebat enim, ut dicebamus, vi exigere, sed ipsos per se publicae utilitatis gratia conferre. Tum principes civitatis, quanta et privatis et publicis rebus data sit bello isto perni-

τέλειαν ἑλέσθαι. τῶν πολιτῶν δὲ οἱ μάλιστα ἐν λόγῳ καὶ A. C. 1347 τῶν ἄλλων προὔχοντες τὴν μὲν κατὰ τὸν πόλεμον καὶ τῶν ἰδιωτικῶν καὶ τῶν κοινῶν φθορὰν γεγενημένην ἔφασαν οὐκ ἀγνοεῖν καὶ τὴν νῦν κατέχουσαν ἐπίστασθαι τῶν χρημάτων ἀπορίαν. δεῖν δὲ οἴεσθαι καὶ αὐτοὶ ἐκεῖνα πράττειν, ὑφ' ὧν P. 724 ἐξέσται πρὸς τὴν ἀρχαίαν πάλιν τοὺς Ῥωμαίους εὐδαιμονίαν ἐπανήκειν. τοῦτο δὲ ἑτέρως οὐδαμῶς ἐξέσται, ἢ ἕκαστον εἰς ἃ προσήκει χρήσιμον τῷ κοινῷ παρεσχημένον ἑαυτόν, ὥστε βασιλέα μὲν ὀρθῶς βουλεύεσθαι καὶ τοῖς πολεμίοις τὴν δύναμιν ἀντεπεξάγειν καὶ πάντα τρόπον ἐκείνων κωλύειν τὴν αὔξην ἐπιχειρεῖν, ἢ καὶ καταστρέφειν, εἰ δύναιτο, ἐκείνους καὶ τὰς ἡρπασμένας πόλεις ἀνασώζειν· τοὺς στρατιώτας δὲ προθύμους ἑαυτοὺς παρέχεσθαι ἐν τῷ στρατεύεσθαι καὶ μηδὲν ὑφιέναι τῆς προτέρας δόξης καὶ τῆς εὐτολμίας, ἀλλ' ἀλλήλους αἰδεῖσθαι κατὰ τὰς μάχας καὶ ἄνδρας εἶναι ἀγαθούς, ὡς τῆς ἀνδραγαθίας αὐτούς τε πρώτους ἀπολαύσοντας καὶ τοῖς ἄλλοις μεταδώσοντας, ὧν προπολεμοῦσι· τοὺς ἐμ- B πορευομένους δὲ καὶ τοὺς ἄλλην τέχνην μετιόντας τρέφειν τοὺς στρατιώτας, χρήματα εἰσφέροντας, ἐπεὶ μὴ ἔξεστιν ἀπὸ τῶν δημοσίων τρέφεσθαι ἀπολωλότων. γεωργός τε γὰρ ὁμοίως καὶ ὁ ἔμπορος καὶ ὁ χειροτέχνης, ἂν μὲν ἀδείας ἀπολαύῃ, ἑαυτῷ ὁμοίως χρήσιμος ἔσται καὶ τῷ προπολεμοῦντι στρατιώτῃ, ἂν δὲ μὴ βούλοιτο ἐκεῖνον τρέφειν, καὶ ἑαυτὸν τῷ στρατιώτῃ συνδιαφθερεῖ, ἐκεῖνον μὲν λιμῷ, ἑαυτὸν δὲ καὶ

4. κατέχουσιν P. 12. διασώζειν M. mg. 24. συνδιαφθείρει M.

cies, non se nescire, nec ignorare, quanta in praesens pecuniae penuria laboretur. Existimandum vero, ipsos quoque ad illa incumbere, per quae iterum fortunate vivere liceat. Id neutiquam fore, nisi pro se quisque ad quae par est, rei publicae operam suam praebeat: ut imperator quidem recte consultet et hostibus cum exercitu occurrat, illorumque incrementa omnimodis impedire nitatur, aut illos etiam, si possit, evertat, ademptasque urbes recipiat: milites ad militandum faciles sint nihilque de antiqua gloria et virtute deperdant, sed inter se in pugna vereantur ac viros praestent strenuos, utpote sibi primum, deinde pro quibus propugnant, fortitudine sua profuturi: mercatores et qui alias artes quaestuosas persequuntur, milites alant, pecuniam conferentes, quando de aerario iam exinanito ali nequeant. Agricolam enim, mercatorem et opificem, si tutus sit, sibi aeque et militi propugnanti posse consulere. Sin eum alere fugiat, sequi, ut se ipsum perdat cum milite, hunc quidem fame, se ipsum liberosque fame, obsidione et hostium gladiis: aut certe si necessitatis vi se subiecerit, maiora et acerbiora domitori-

A. C. 1347 παῖδας λιμῷ τε ὁμοίως καὶ πολιορκίᾳ καὶ τοῖς πολεμίοις ξί-
φεσιν. ἢ εἰ μὴ τοῦτο, ἀλλ' ἀνάγκῃ καταδουλωθέντα, πλεί-
C ους τοῖς δεδουλωμένοις καὶ βιαιοτέρους παρέχειν φόρους, ἢ
V. 581 ὅσα ἐξῆν εἰσφέροντα προθύμως τῶν ἄλλων ἀπολαύειν ἐλευ-
θέρως. τοιαῦτα καὶ τῶν Βυζαντίων πολιτῶν εἰπόντων, ἐπῄ-
νει τε ὁ βασιλεὺς καὶ συνηγόρει πρὸς τοὺς λόγους, ἀναγκαίως
δεῖσθαι χρημάτων εἰπὼν πρὸς τὸ παρασκευάσασθαι κατὰ τῶν
πολεμούντων. εἰ μὲν οὖν μὴ προανάλωτο αὐτῷ τὰ ὄντα ὑπὸ
τῶν κακῶς ἐπὶ λύμῃ πεπολεμηκότων τῇ κοινῇ, οὐδὲν ἂν ἐδε-
ήθη ἐρανίζειν παρ' αὐτῶν, ὥσπερ οὐδὲ πρότερόν ποτε μεγά-
λων πολέμων κεκινημένων; βασιλέως ἔτι περιόντος Ἀνδρονί-
κου, ἐφ' οὓς, εἰ μὴ τὰ δημόσια ἐξήρκει, καὶ ἀπὸ τῶν ἰδίων
τὰ ἐνδέοντα ἐπεχορήγει αὐτὸς, ὢν ἁπάντων τῶν κοινῶν διοι-
κητής. νυνὶ δὲ ἐκείνων τε εἰς οὐδὲν χρήσιμον ἀπολωλότων,
D καὶ τῶν δημοσίων ἐκλελοιπότων φόρων ὑπὸ τοῦ τὴν χώραν
διεφθάρθαι, ἀναγκαίως ἀποβλέπειν εἰς τὴν συντέλειαν ταύ-
την τὴν κοινὴν, ὡς, εἰ χρημάτων καὶ μετρίων εὐπορήσοι,
ῥᾳδίως αὖθις τὴν Ῥωμαίων καταπεσοῦσαν ἡγεμονίαν ἀνορ-
θώσων. τοιαῦτα καὶ ἕτερά τινα παρόμοια προσεπειπὼν, δι-
έλυε τὴν ἐκκλησίαν, οἰόμενος αὐτῷ τι τῷ κοινῷ λυσιτελὲς
καὶ χρήσιμον ἠνύσθαι. τινὲς δὲ τῶν ἐξαρχῆς ἐκείνῳ ἠρη-
μένων πολεμεῖν, (ἦσαν δὲ οὐκ ὀλίγοι, καὶ ἐκ τῶν ἐν ἐργα-
στηρίοις ἐμπορευομένων ἀργυραμοιβῶν,) καὶ μετὰ τὴν δοκοῦ-
σαν διάλυσιν ἔτι δυσμεναίνοντες καὶ μνησικακοῦντες καὶ πάν-

21. ἠνῆσθαι P.

bus tributa pendat, quam alioqui, re sua incolumi, in libertate libens ac volens pependisset. Haec cum cives Byzantini respondissent, imperator laudare et eorum sententiae suffragari ac dicere, pecuniam ad apparatum contra hostem plane requiri. Quodsi divitiae eius ab iis, qui cum rei publicae detrimento pugnassent, consumptae non essent, nihil opus fuisse nunc ab ipsis mutuari: ut neque prius unquam, cum magna bella, imperatore Andronico adhuc vivo, gererentur, ad quae, pecunia publica non sufficiente, ipse, imperii administrator, de sua summam expleverit. Modo, quoniam ea inutiliter profusa sit, et propter direptam devastatamque provinciam publicae pensiones cessaverint, cogi se ad communem istam collationem respicere. Etenim si vel moderati sumptus suppeditent, se collapsum Romanorum imperium parvo negotio instauraturum. Haec et similia effatus, conventum dimisit, ratus, se magnopere e re publica locutum. At nonnulli eorum, qui ab initio adversari instituerant, qui plurimi erant, et ex tabernis argentariis nummularii, etiam postquam pax visa est confirmata, animos retinentes armatos et iniuriae memores, manibusque ac pedibus cum impedire laborantes nihilque si-

τα τρόπον ἐπιχειροῦντες αὐτὸν κωλύειν καὶ μηδὲν ἐᾷν τῷ A. C. 1347
κοινῷ λυσιτελὲς ποιεῖν, ὡς ἂν μάλιστα ἐκείνων ἡ κακία συ- P. 725
σκιάζοιτο, καὶ μὴ δοκοίη διὰ τὸν πρὸς βασιλέα πόλεμον ἡ
Ῥωμαίων ἡγεμονία διεφθάρθαι, ὡς καὶ μετὰ τὴν εἰρήνην
καὶ τὸ πάντας ὑπαγαγέσθαι βασιλέα ὠφελείας οὐδεμιᾶς, οὐδὲ
ἀνακωχῆς τῶν κακῶν γεγενημένης, αὐτοί τε ἐθορύβουν, ὡς
οὐ χρήματα παρέξοντες, καὶ τοὺς ἄλλους ἔπειθον ὁμοίως,
δεινὰ πείσεσθαι φάσκοντες, εἰ ἃ μὴ πρότερον πολέμιος ὢν
ὁ βασιλεὺς ἠδυνήθη κατεργάσασθαι, ταῦτα νῦν ἐν εὐνοίας
καὶ κηδεμονίας προσχήματι ὑπομενοῦσι. πολεμῶν γὰρ τῶν
μὲν ἔξω τειχῶν ἀπεστέρησεν ἁπάντων, τῶν ἔνδον δὲ καὶ ἐν
χερσὶ χρημάτων ἠδυνήθη λαβεῖν οὐδέν. νυνὶ δὲ ἐκεῖνά τε B
ἀπόλωλε καὶ τῶν ἔνδον ὄντων βούλεται ἀποστερεῖν, πολέμους
προφασιζόμενος καὶ παρασκευὰς καὶ ἄλλας ἐξαπάτας, ὧν οὐ-
δὲν αὐτοὺς πείσει τῶν ὄντων αὐτῷ παραχωρεῖν, εἰ μὴ βού-
λοιτο βιάζεσθαι φανερῶς καὶ διαφθείρειν. τοιαῦτα μὲν καὶ
πολλῷ δεινότερα τούτων πρὸς τοὺς ἄλλους διεδίδοτο, καὶ θό-
ρυβος ἦν καὶ ἀταξία, καὶ πάντες ὁμοίως πρὸς τῶν χρημά-
των ἀνένευον τὴν εἰσφοράν. βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο, συν-
εώρα μὲν ἤδη τῶν συνεσκευακότων τὴν κακίαν καὶ ὥρμητο
κολάζειν τοὺς ἐπὶ τοιαῦτα ἐνάγοντας τὸν δῆμον, ἄτοπον ἡ- C
γούμενος καὶ παντελῶς ἔξω τοῦ καλοῦ καὶ τοῦ δικαίου πί-
πτον, διὰ τήν τινων ἀγνωμοσύνην τῆς τῶν ἄλλων ἁπάντων

nentes communi commodare, maxime ut ipsorum improbitas tegeretur, nec videretur propter bellum contra imperatorem afflictum ac perditum Romanum imperium, (siquidem et post pacem et post omnes ab imperatore subiugatos nulla fuisset subsecuta commoditas, nullae malorum induciae,) et ipsi tumultuabantur, ut aes nequaquam collaturi, et aliis idem dabant consilium, male admodum secum actum iri dicentes, si, quae imperator antea, adhuc hostis, conficere nequisset, ea nunc propter benevolentiae et sollicitudinis simulationem ab ipso ferant. Nam dum bellaret, omnem suburbanorum diripuisse pecuniam: quae intra urbem et in manibus civium esset, de ea auferre nihil potuisse. Nunc et illam deperdidisse, et hanc avertere velle, nescio quos apparatus bellicos et alias quasdam fallacias praetexendo: quorum nihil tantum apud eos valiturum sit, ut illi bonis suis cedant, nisi forte vim manifestam adhibuerit et caedibus saevierit. Huiuscemodi et his tetriora in vulgus disseminabantur, exsistebantque tumultus et perturbatio, et omnes pariter contribuere pecuniam abnuebant. Imperator, his auditis, praestigias ac dolos improborum artificum intelligebat, et populo earum turbarum auctores poenis subdere parabat, stultum et ab omni honestate iustitiaque alienum ducens, ob quorumdam perversitatem ceterorum

A.C. 1347 μεγάλη στοὰ καὶ τῆς ὀροφῆς οὐκ ὀλίγον, ὑπὲρ δύο μοίρας ἀπολειφθείσης. διὸ καὶ αἱ τῶν βασιλέων τελεταὶ ἐν Βλαχέρναις ἐτελοῦντο, ἐκεῖσε πρότερον εἰωθός. τὴν μὲν οὖν μεγάλην στοὰν μετὰ τοῦ βήματος ἡ βασιλὶς ἀνήγειρεν αὖθις Ἄννα, Φακεωλάτον ἐπιστήσασα τῷ ἔργῳ· τὸ ἐπέκεινα δὲ μετὰ C τῆς ὀροφῆς βασιλεὺς ὕστερον ἀνέστησεν ὁ Καντακουζηνὸς καὶ τῆς ἄλλης ἐπεμελήθη τοῦ τεμένους εὐκοσμίας, ὅση τε ἐν μαρμάροις καὶ λεπτῆς ψηφίδος διαθέσει. εἴ τι δὲ ἐνέδει πρὸς τελείωσιν, Παλαιολόγος ὕστερον ἐπέθηκεν ὁ νέος βασιλεὺς μόνος ἤδη τῆς Ῥωμαίων ἡγεμονίας ἔχων τὴν ἀρχήν. διηκόνει δὲ ἑκατέροις τοῖς βασιλεῦσι πρὸς τὴν καλὴν φιλοτιμίαν ταύτην Ἀστρᾶς ὁ μέγας στρατοπεδάρχης, τά τε ἄλλα λόγου ἄξιος πολλοῦ καὶ περὶ οἰκοδομίας ἔχων εὐφυῶς, καὶ ἐκ τῶν ὑπηκόων βασιλεῖ Λατίνων τις Ἰωάννης Περάλτα προσαγορευόμενος. ταῦτα μὲν οὖν ὕστερον. τότε δὲ ἐπεὶ τὸ D μέγα τῆς οἰκουμένης θαῦμα ὁ περιβόητος οὑτοσὶ ναὸς πτῶμα δακρύων φιλοκάλοις ἄξιον ἦν ψυχαῖς, ἐν τῷ τῶν Βλαχερνῶν τῆς θεομήτορος ναῷ ὑπὸ Ἰσιδώρου πατριάρχου Ἑλένη τῇ βασιλέως θυγατρὶ ὁ βασιλεὺς Ἰωάννης συνεζεύγνυτο. ἔστεφε δὲ κατὰ τὸ ἔθος τὴν γυναῖκα καὶ αὐτὸς, πρότερον ἐστεμμένος ὑπὸ πατριάρχου ὢν τοῦ Ἰωάννου. καὶ εὐωχίαι ἦσαν καὶ κρότοι, καὶ δημόσιοι ἤγοντο ἑορταὶ, ἣ προσῆκε τοῖς βασιλέων γάμοις. ἐπεὶ δὲ τὰ οἴκοι καλῶς διῴκητο τῷ βασιλεῖ, ἐτρέπετο ἐπὶ τοὺς ἔξω πολεμίους. καὶ πρεσβείαν πρὸς Κράλην πέμψας, πολλὰς μὲν ὡμολόγει χάριτας αὐτῷ τῆς εἰς αὐτὸν

14. *Περάρτα* P.

Blachernis, ut quondam, peragebantur. Magnam itaque porticum et tabernaculum imperatrix Anna, Phaceolato operis praefecto, instauravit: superiora cum tecto postea Cantacuzenus refecit ceteramque templi venustatem in marmore et tesselato opere positam curae habuit. Verum Palaeologus deinde solus imperator, quod deerat, explevit, manumque extremam imposuit. Subserviebant autem imperatoribus in hac praeclara aemulatione Astras, magnus stratopedarcha, vir in primis spectatus et architectus insignis: et cum eo ex Latinis imperatori subiectis Ioannes Peralta nominatus. Sed haec posterius contigerunt. Tunc ergo, ut docebam, quoniam magnum illud mundi miraculum et decantata aedes ruinae erant rerum elegantium studiosis lacrimabiles, in Blachernis in Dei matris, sub Isidoro patriarcha, Helena, imperatoris Cantacuzeni filia, Ioanni imperatori in manum convenit: qui et ipse a Ioanne patriarcha ante coronatus, uxorem suam usitato more coronavit. Et indulgebatur epulis ac plausibus, exercebatque ferias populus, ut videlicet nuptiis imperatoriis decorum erat. Imperator domi rebus probe constitutis, ad hostes

φιλοτιμίας καὶ σπουδῆς, ἣν πρὸς παρόντα ἐνεδείξατο, καθ' A. C. 1347 ὃν ὑπὸ τῶν ὁμοφύλων ἐπολεμεῖτο χρόνον, καὶ δικαίως εἶναι P. 719 ἀμείβεσθαι τοῖς ἴσοις καιροῦ καλοῦντος, μὴ παραλυομένων μέντοι τῶν ὅρκων καὶ τῶν σπονδῶν τῶν πρὸς ἀλλήλους. εἰ γὰρ ἐκεῖνα παραβαίνοιντο ὑφ' ὁτουοῦν, οὐ δίκαιον εἶναι ἀμυνόμενον τὸν ἕτερον αἰτίας ἀξιοῦν· κωλύει γὰρ οὐδεὶς ἀμύνεσθαι νόμος τὸν πάσχοντα κακῶς. ἠξίου τε αὐτῷ ἀποδοθῆναι τὰς πόλεις, ἃς μετὰ τὸ πρὸς αὐτὸν τὰς σπονδὰς καὶ τοὺς ὅρκους θέσθαι τῆς Ῥωμαίων παρείλετο ἀρχῆς· οὕτω γὰρ ἐγγεγραμμένον τοῖς ὅρκοις εἶναι. μὴ μόνον γὰρ Φερὰς τε καὶ τὰς ἄλλας τῆς Μακεδονίας πόλεις καὶ τὰ φρούρια πλὴν B Θεσσαλονίκης εἷλεν, ἀλλὰ καὶ Βεῤῥοιωτῶν τοὺς δυνατωτάτους χρήμασι καὶ μεγάλαις ἐπαγγελίαις διαφθείρας, τὸν βασιλέως ἔπεισεν υἱὸν ἐξελάσαι τὸν Μανουὴλ, κἀκείνῳ τὴν πόλιν παραδοῦναι· ἃ οὐκ ἐπ' ὀλίγον ἠνία βασιλέα. ὁ μὲν οὖν V. 577 υἱὸς ἐν Θετταλίᾳ διέτριβε παρὰ τὸν θεῖον Ἄγγελον τὸν Ἰωάννην. Κράλης δὲ ἐπεὶ ἐδέξατο τὴν πρεσβείαν, δίκαιον μὲν ἀντιτιθέναι τοῖς λόγοις ἠδύνατο οὐδὲν, ἀλλὰ συνωμολόγει τοὺς ὅρκους οὕτω γεγενῆσθαι, ἀποδιδόναι δὲ τὰς πόλεις οὐκ ἠβούλετο, ἀλλὰ πρὸς σκήψεις ἐχώρει καὶ προφάσεις ἐχούσας ὑγιὲς οὐδέν. βασιλεὺς δὲ καὶ αὖθις δευτέραν ἐποιήσατο πρεσβείαν καὶ πάλιν ἠξίου τῶν πόλεων αὐτῷ παραχωρεῖν κατὰ C τοὺς ὅρκους. εἰ δὲ μὴ βούλοιτο, ἠπείλει πολεμήσειν· ἠξίου

11. τὰς om. P. 23. ἠπείλει P.

externos sese convertit, et ad Cralem missis oratoribus, amplas ei gratias egit de honore ac studio, quibus praesentem prosecutus fuisset, quo tempore homophylorum arma pertulisset: seque, ubi occasio inciderit, iure ac merito factis responsurum: si tamen foedera salva manerent, quibus ab utrocumque violatis, alterum vindicem propterea in vitio ponere, haud aequum esse: nullam quippe obstare legem, quin qui laesus est, ab eo, qui laesit, iniuriam persequatur, postulabatque urbes post foedus sancitum Romano imperio ademptas restitui: sic enim in iuramentis scriptum exstare. Namque non solum Pheras et alia Macedoniae oppida atque castella praeter Thessalonicam occuparat, sed Berrhoeotarum quoque potentissimos pecunia et pollicitationibus magnis corruptos eo pertraxerat, ut exacto Manuele, imperatoris filio, urbem sibi addicerent: quod sane molestia afficiebat imperatorem non mediocri. Manuel itaque apud Ioannem Angelum consobrinum in Thessalia degebat. Crales, audita legatione, nihil iuste obtendere poterat. Et iuramenta sic concepta esse, non ibat ille quidem inficias, oppida tamen reddere nolebat, sed ad praetextus et accusationes ineptas confugiebat. Imperator iterata legatione postulat, ut sibi urbibus ex iuramentis cedat: si abneget, bellum ei denuntiat, et orat, futuras caedes ac servitutes ne

A.C. 1347 τε μὴ αὐτῷ προσλογίζεσθαι τοὺς ἐσομένους φόνους καὶ τοὺς ἀνδραποδισμούς. τῆς γὰρ Ῥωμαϊκῆς δυνάμεως διεφθαρμένης ὑπὸ τοῦ συγγενικοῦ πολέμου, ἀναγκαίως χρήσεσθαι βαρβάροις κατὰ συμμαχίαν. ἃ ἐκέλευε σκεψάμενον τὰ δέοντα ποιεῖν. ὡς δὲ καὶ μετ' ἐκείνην τὴν πρεσβείαν οὐδὲν ὁ Κράλης ἐποίει τῶν δεόντων, ἀλλὰ καὶ τὰς ὑπολοίπους ἐπολιόρκει πόλεις, πέμψας πρὸς Ὀρχάνην τὸν γαμβρὸν ὁ βασιλεύς, μετεκαλεῖτο στρατιάν. καὶ παρῆσαν ὑπὲρ μυρίους τῶν βαρβάρων, D ὧν Σουλιμὰν μετὰ τῶν ἀδελφῶν, οἱ τοῦ Ὀρχάνη παῖδες, ἐστρατήγουν. πέμπει δὴ μετὰ τούτων καὶ Ματθαῖον τὸν υἱὸν ὁ βασιλεὺς τῆς Ῥωμαίων στρατιᾶς ἡγούμενον, καὶ ἐκέλευε τοὺς ὅρους τῆς Ῥωμαίων ἡγεμονίας διελθόντας ἀβλαβῶς, οὕτω πορθεῖν τοὺς Τριβαλούς. οἱ βάρβαροι δὲ ὡς μόνον ἐπέβησαν Μυγδονίας, τὸ περὶ Χριστούπολιν τείχισμα διαβάντες, πυθόμενοι, ὡς ὑπὸ Κράλην αἱ πόλεις ἐκεῖναι ἄγοιντο, εὐθὺς ἐτράποντο ἐπὶ λεηλασίαν, ὀλίγα φροντίσαντες τῶν στρατηγῶν, καὶ τὰς κώμας πάσας ἐξεπόρθησαν, καὶ τὰς πόλεις κατέδραμον τὰς κατὰ Μυγδονίαν, καὶ ἀπέκτεινάν τε πλείστους καὶ ἠνδραποδίσαντο οὐκ ὀλίγους· λείαν τε πλείστην δοριάλωτον P. 720 ἐλάσαντες, ἀνέστρεφον καὶ ἐπεραιοῦντο κατὰ τὸν Ἑλλήσποντον εἰς τὴν οἰκείαν. βασιλεὺς δὲ πυθόμενος τὴν ἀταξίαν τῶν βαρβάρων, οὐ μετρίως ἠνιᾶτο, ὅτι ὑπὲρ ὧν ἐδόκει τὸν πόλεμον αἱρεῖσθαι, τούτους διέφθειρεν ἡ συμμαχεῖν δοκοῦσα στρατιά.

1. τοὺς ante ἐσομένους add. M. 20. τὸν om. M. 21. οἰκίαν P.

sibi adscribat: opibus enim Romanis civili bello fractis ac debilitatis, se barbarorum auxiliis vel nolentem usurum. Quae ut expendat, et quo facto opus sit, faciat, se hortari. Cum nec post alteram legationem praestaret Crales, quod debebat, immo potius ceteras urbes obsideret, imperator Orchanem generum subsidium poposcit: veneruntque barbarorum supra decem millia, ducentibus Sulimano cum fratribus, Orchanis filiis. Mittit una imperator etiam Matthaeum filium Romano agmini praepositum, et citra maleficium transitis Romanorum finibus, Triballos devastare iubet. At barbari ubi tantum Mygdoniam per munitionem, quae iuxta Christopolim est, pervenerunt et urbes illas a Crale teneri intellexerunt, ducum imperia parvi pendentes, ad populationem sese illico effuderunt vicosque omnes vastaverunt, et urbes Mygdoniae finitimas incursarunt, occideruntque et captivos egerunt quam plurimos: atque cum opima praeda armis quaesita per Hellespontum in Bithyniam redierunt. Imperator ut barbaros deseruisse ordines audivit, molestissime tulit: quandoquidem in quorum utilitatem bellum hoc susceperat, eos ipsos hi, qui se pro sociis adiuturi videbantur, perdiderant.

ε'. Μετὰ τοῦτο δὲ εἰς Θετταλίαν τριήρη πέμψας, τὸν A. C. 1347 υἱὸν μετεπέμπετο Μανουήλ· ἐπεὶ δὲ ἦν ἐν Βυζαντίῳ, ἐκεῖ- B νον μὲν καὶ τὸν γαμβρὸν δοῦκα τὸν Νικηφόρον δεσπότας ἀπεδείκνυ. Ματθαῖον δὲ τὸν πρεσβύτερον υἱὸν ἀξίας μὲν οὐδεμιᾶς ὀνομαστὶ ἠξίου, τιμὴν δὲ παρεῖχε τὴν ὑπὲρ δεσπότας, ὡς εὐθὺς εἶναι μετὰ βασιλέα, ἣν ὁ πρῶτος τῶν Παλαιολόγων βασιλέων Μιχαὴλ ἐκαινοτόμησεν ἐπὶ υἱῷ Κωνσταντίνῳ τῷ Πορφυρογεννήτῳ, ἣ ἐδόκει πλέον τι τῆς τῶν δεσποτῶν ἀξίας ἔχειν. τοὺς γυναικὸς δὲ τῆς βασιλίδος ἀδελφοὺς Ἰωάννην καὶ Μανουὴλ σεβαστοκράτορας ἀπέδειξεν. ὁρῶν δὲ C τὴν Ῥωμαίων ἡγεμονίαν δεινῶς ὑπὸ τοῦ ἐμφυλίου πολέμου διεφθαρμένην καὶ καταφρονουμένην ὑπὸ τῶν περιοίκων, ἀμύνεσθαι δὲ ἀδυνάτως ἔχων διὰ σπάνην τῶν χρημάτων, (νεῦρα γάρ τις καιρίως εἶπε τὰ χρήματα τοῦ πολέμου,) καὶ μήτε οἴκοθεν ἔχων χορηγεῖν, μήτε ἐκ τῶν δημοσίων· (τά τε γὰρ κει- V. 578 μήλια ἀνάλωται πάντα τὰ βασιλικὰ, καὶ αἱ πρόσοδοι αἱ κοιναὶ ἐξέλιπον, τῆς χώρας καθάπαξ ὑπὸ τοῦ πολέμου διεφθαρμένης, καὶ νήσων καὶ ἠπειρωτίδων πόλεων τῶν μὲν ὑπὸ τῶν πολεμίων κατεχομένων, τῶν ἐπιλοίπων δὲ εἰς ἐσχάτην ἀπορίαν ἔκ τε τῶν ἔξωθεν ἐφόδων καὶ τῶν ἔνδον στάσεων ἡκόντων· τρέφεσθαι δὲ ἐνῆν τοὺς στρατιώτας οὐδαμόθεν· πάν- D τες δὲ ἦσαν ἄχρηστοι καὶ ἄοπλοι ὑπὸ πενίας, καὶ οὐδεμία ὄνησις ἐκείνων ἦν, καὶ ταῦτα πολλῶν ὄντων καὶ ἀγαθῶν·) ἀπορίᾳ πανταχόθεν συνεχόμενος, ἐσκέψατο εἰσφορὰν ποιήσα-

3. δούκαν P. 8. τῶν om. M.

5. Sub haec missa triremi in Thessaliam, filium Manuelem accersit, eumque Constantinopoli cum Nicephoro duca, genero suo, despotam declarat. Matthaeum, seniorem filium, nulla dignitate nominatim cohonestat, honore tamen supra despotas effert, nempe ut esset imperatori proximus: quem honorem primus Palaeologorum, imperator Michaël, propter filium, Constantinum Porphyrogenitum, invenit, videbaturque ea dignitas despotarum dignitati antecellere. Fratres uxoris, Ioannem et Manuelem, sebastocratoras legit. Cernens autem Romanum imperium civili bello vehementer quassatum et attritum atque a vicinis cum propter inopiam pecuniae, (quam quidam nervos esse belli non inscite dixit,) ulcisci se non posset, quod nec de suo, nec de publico sumptus suppeditaret; (quae enim in thesauris imperatoriis reposita habebantur, absumpta erant omnia, et vectigalia, regione funditus direpta ac devastata, defecerant, et insulae atque continentis urbes aliae hostibus serviebant, aliae propter hostiles incursiones foris, et civium discordias intus, extremis difficultatibus conflictabantur: nec suppetebat in milites alimonia, qui, quamquam multi ac strenui, prae egestate, qua undique premebantur, erant inermes atque inutiles;) edicere cogitavit, ut cives de

A. C. 1347 σθαι ἐκ τῶν ἰδίων πάντας, ἵν' αὐτοί τε σώζοιντο οἱ ἔχοντες, καὶ τοὺς ἀπόρους συνδιασώζοιεν. οὕτω δὲ σκεπτομένῳ οὐ βίαν εἰσφέρειν ἐδόκει δεῖν μέλλοντι ὑπὲρ αὐτῶν τῶν εἰσφερόντων τὰ χρήματα ἀναλίσκειν, ἀλλὰ πείθειν παραινέσαντα μᾶλλον πρὸς τὴν πρᾶξιν ἑκοντὶ χωρεῖν, καὶ κοινὴν ἐκκλησίαν ἐκ πάσης ἰδέας βίου συναθροίσας ἐκ τῶν Βυ-
P. 721 ζαντίου πολιτῶν· οὔτε γὰρ ἔμπορος ὑπελείπετο, οὔτε στρατιώτης, ἀλλὰ καὶ χειροτέχναι παρῆσαν, καὶ τοῦ δήμου οὐκ ὀλίγοι καὶ τῶν ἱερῶν φροντιστηρίων οἱ ἐξηγούμενοι καὶ τῶν ἐκκλησιῶν οἱ προστάται· καὶ καταστὰς εἰς μέσους ἔλεξε τοιάδε· „ἄνδρες Ῥωμαῖοι· τὴν μὲν ἀρχαίαν τῆς Ῥωμαίων ἡγεμονίας εὐδαιμονίαν ὡς θαυμαστή τις ἦν καὶ τῶν περὶ αὐτὴν οἰκούντων βαρβάρων τῶν μὲν ἐκράτει καὶ ὑποχειρίους εἶχεν, οἱ δὲ ὑπόφοροι διετέλουν, οἱ περιφανέστατοι δὲ καὶ δοκοῦντες μεγάλην δύναμιν περιβεβλῆσθαι, ἀγαπητὸν ἡγοῦντο, εἰ φίλους καὶ συμμάχους ἔχοιεν καὶ ἐξ ἴσης φέροιντο αὐτοῖς μηδὲν πλεονεκτούμενοι, οὐδ' ὑμεῖς ἀγνοεῖτε, εἰ καὶ μὴ πάν-
B τες, ἀλλὰ ταῦτα δὴ τὰ σεμνὰ καὶ θαυμαστὰ καὶ μόνον ᾀδόμενα νυνὶ, ὥσπερ τινὰ τῶν ἔξω Θούλης εἰργασμένων, μέχρι τότε περιῆν, ἄχρι πᾶσιν ὁμοίως καὶ βασιλεῦσι καὶ ἰδιώταις τῆς κοινῆς ἔμελεν εὐδοξίας, καὶ τῶν ἰδίᾳ συμφερόντων τὰ κοινῇ προὐτίθεσαν. ἀφ' οὗ δὲ τοῖς τε βασιλεῦσιν ἔρις ἐνέπεσεν ἐσχάτη καὶ φιλονεικία περὶ τῆς ἀρχῆς, καὶ τοῦ μετὰ τῶν οἰκείων μάχεσθαι τοῖς πολεμίοις ἀποσχόμενοι, ἀλλήλοις συν-

6. ἀπελείπετο M.

facultatibus suis viritim conferrent, quo et ipsi, qui haberent, et ii, qui egerent, una servarentur. Hoc meditanti occurrit, vim abstinendam, siquidem illam ipsam pecuniam collatitiam pro conferentibus insumpturus esset, sed hortando potius ad id libenter faciendum impellendos. Inde conventu civium Byzantiorum ex omnibus ordinibus indicto, (nam et mercatores et milites et opifices et plebes infima frequens et sacrorum monasteriorum praefecti et ecclesiarum procuratores confluebant,) in medium progressus, sic infit dicere: „Veterem Romani imperii felicitatem, viri Romani, admirandam fuisse, et barbaros circumiacentes alios quidem ab iisdem victos et subiugatos esse, alios mansisse semper stipendiarios, clarissimos autem eosdemque praepotentes satis se beatos putavisse, si illos amicos et socios haberent parique cum iis iure suis rebus integris viverent, vos quoque universi propemodum non ignoratis. Verum haec augusta et admiranda et hodie fama tantum, velut si extra ultimam Thulen gesta essent, celebrata tamdiu viguerunt, quamdiu aeque omnibus, imperatoribus nimirum et privatis, communis gloria cordi fuit et publica commoda privatis antelata. Ex quo autem imperatores litigare et contendere de summa rerum, et hostes op-

ἐῤῥάγησαν, καὶ οἱ ἄλλοι τῆς κοινῆς ἀμελήσαντες σωτηρίας A. C. 1347
καὶ τοῦ πειθαρχεῖν τοῖς νόμοις καὶ τοῖς ἄρχουσιν, ᾗ προσῆκε, τῶν ἰδίᾳ τι διαφερόντων μάλιστα ἀντεποιήσαντο, πάντα ἄνω καὶ κάτω γέγονε καὶ τῆς τε εὐδοξίας ἀφῃρήμεθα τὸ πλεῖστον, καὶ εἰς τοσοῦτον ἥκομεν ἀδυναμίας, ὥστε μηκέθ' ἡμῖν C
ἐπὶ τῷ καταδουλοῦν ἑτέρους τὸν λόγον εἶναι, ἀλλ' ὅπως μὴ αὐτοὶ αἰσχρῶς καὶ ἀγεννῶς δουλεύσομεν. ὡς μὲν οὖν καὶ αὐτὸς οὐκ ἐπεβούλευσα βασιλέως τοῖς παισὶν, οὐδὲ βασιλείας ἐρῶν, ἢ τῆς πατρῴας ἡγεμονίας αὐτοὺς ἀποστερῶν, εἰς τοῦτο ἦλθον, πᾶσιν ἔξεστιν ἀπόδειξιν λαμβάνειν ἐναργῆ ἐκ τῶν πραγμάτων. εἰ γὰρ, ὥσπερ οἱ συκοφάνται κατηγόρουν, τοῦτο προὐθέμην ἐξαρχῆς, οὐκ ἂν μετὰ τὸν τοσοῦτον πόλεμον καὶ τὴν παντοίαν τῶν δεινῶν ἐπιφορὰν καὶ τῶν χρημάτων τὴν ἀποβολὴν καὶ τῶν οἰκείων καὶ τῶν φίλων τὴν τοσαύτην κακοπραγίαν, νῦν ἀπεσχόμην τῆς προθέσεως, πάντα ἔχων ἐν χερσῖν. δι' ἃ καὶ μάλιστα πολλαπλασίους χάριτας ὁμολογῶ τῷ κρείττονι, ὅτι, D
μὴ ἐκείνων τὴν εἰρήνην ἑλομένων, μηδὲ πρὸς συμβάσεις χωρησάντων, καίτοι γε πολλάκις ἐμοῦ πολλὰ περὶ εἰρήνης δεηθέντος, ἀλλὰ πεπολεμηκότων ἄχρι καὶ τοῦ δυνατοῦ καὶ οὐδενὸς ἠμεληκότων τῶν ἡκόντων εἰς αὐτοὺς, τῇ ἄνωθεν μόνῃ συμμαχούμενος ῥοπῇ, πάντων περιεγενόμην, ἵνα μὴ δοκῶ διὰ τοὺς ὅρκους καὶ τὰς συμβάσεις, ἀλλὰ διὰ τὴν ἀρχαίαν ἐπιείκειαν καὶ τὴν πρὸς βασιλέα τὸν θαυμαστὸν ἐκεῖνον καὶ φίλτατον ἐμοὶ φιλίαν τῶν παίδων τῶν ἐκείνου φείδεσθαι καὶ V. 579

pugnare parcentes, cum consanguineis confligere coeperunt, aliique, communi salute neglecta, et quam debebant, obedientia legum ac principum abiecta, ad proprios quaestus omni ratione comparandos incubuerunt, mista sunt ima summis et summa infimis, gloriaeque nostrae damnum longe maximum fecimus, eoque infirmitatis recidimus, ut iam non amplius, quomodo alios subigamus, sed, ne ipsi ignaviter ac turpiter subigamur, providendum sit. Quod igitur liberis imperatoris insidias nequaquam fecerim, nec regnandi cupiditate paterno eos principatu spolians huc venerim, cuivis ex ipsa re evidenter licet perspicere. Si enim, ut sycophantae clamitant, hoc ab initio in animum induxissem, post tam atrox bellum et clades multifariam illatas, post ereptas mihi facultates, propinquorum et amicorum tantas aerumnas, nunc certe, quando omnia in manibus meis sunt, quod constituissem, exsequerer. Quocirca et maiores multo numini gratias ago, quando non pacem illis amplectentibus, neque ad pacta descendentibus, (tametsi id ego rogarem creberrime,) sed bellantibus, quantum vires paterentur, nihilque in hoc genere non audentibus, solo Deo mihi favente pugnans, omnibus evasi superior, ne propter conventa et iuramenta, sed propter veterem animi mei moderationem et cum singulari illo mecumque quondam coniun-

A. C. 1347 τὴν πατρῴαν ἀρχὴν συνδιασώζειν. εἰ μὲν οὖν, ὥσπερ ἐξαρ-
P. 722 χῆς αὐτὸς διενοούμην, πάντα πράττειν ὑπὲρ τῆς κοινῆς Ῥωμαίων ὠφελείας, καὶ χρήματα ἀναλίσκειν τοσαῦτα ὄντα, ὅσα ἴστε, καὶ πάντα πόνον καὶ κίνδυνον ὑφίστασθαι, καὶ οἱ ἄλλοι συνείποντο προθύμως ἢ τό γε μετριώτερον, μὴ ἐκώλυον αὐτοί, οὐκ ἂν νῦν περὶ τοῦ ᾗ χρὴ σώζεσθαι, ἀλλ', εἰ μὴ ἐπίφθονον εἰπεῖν, περὶ τοῦ ὁποίους χρὴ καταδουλοῦν ἐβουλευόμεθα. ἐπεὶ δὲ οὕτω ταῦτα πονηροῦ τινος δαίμονος ἡμῖν βασκήναντος συνεσκευάσθη, καὶ πρὸς μὲν ἐμὲ τὸν ὑπὲρ τῆς κοινῆς σωτηρίας πολλὴν πρόνοιαν ποιούμενον πόλεμον ἤραντο προθύμως, καὶ τοὺς ἄλλους ἅπαντας συνέπεισαν, καὶ τά τε
B ἡμέτερα ἅπαντα ἀναλώκασι καὶ τὰ κοινά, οὐδὲν ἧττον κατ' ἐμοῦ, ἢ καὶ καθ' ὑμῶν ἁπάντων, εἰ δεῖ τἀληθὲς εἰπεῖν, καὶ τὴν χώραν ἅπασαν διέφθειραν, ἀφ' ἧς αἱ συντάξεις συνελέγοντο, καὶ τοὺς μὲν πολεμίους φοβεροὺς ἐποίησαν ἡμῖν, πόλεις τὰς μὲν ἑκοντὶ προέμενοι ἐκείνοις, ἵν' ἔχωσι συμμάχους κατὰ Ῥωμαίων, τῶν δ' ἀμελήσαντες, ὥστ' ἐκείνους δύνασθαι καταδουλοῦν, ἡμᾶς δὲ ἀσθενεστάτους ὀλιγότητι τῆς στρατιᾶς καὶ χρημάτων ἀπορίᾳ, περιέστηκε δὲ νῦν ἡμῖν ἐν ἀπόρῳ πάντα, σκεπτέον ἕκαστον καὶ γνώμην τινὰ εἰσενεκτέον, δι' ἧς
C ἔσται τὰ πράγματα ἡμῖν βελτίω, καὶ τῆς τε παρούσης δυσπραγίας καὶ τῆς ἔτι ἀπαλλαξόμεθα προσδοκωμένης. Τριβα-

ctissimo imperatore amicitiam filiis eius parcere et paternum eis imperium custodire existimer. Si ergo, quemadmodum a principio ipse cogitabam, ad communem Romanorum fructum scilicet, omnes actiones meas dirigere impendereque pecunias meas tantas, quantas vos scitis, et nullum laborem aut discrimen subterfugere, si haec, inquam, alii cogitassent et me impigre secuti fuissent, aut, quod minus est, saltem me non prohibuissent, non hoc tempore de nostra libertate retinenda, sed (absit verbo invidia) de aliena potius eripienda consultaremus. Ceterum quia haec adversum nos malignus quispiam daemon ex invidia callide machinatus est, et illi contra me, communis libertatis diligentissimum, arma cupide susceperunt eodemque alios omnes perpulerunt nostrasque fortunas et communem pecuniam omnem prodegerunt, in eo (si verum licet dicere) non magis me, quam vos universos, laeserunt, totamque regionem, unde pensiones colligebantur, expilarunt, et hostes nobis formidabiles, urbium alias sponte ipsis dimittentes, (ut eos contra Romanos haberent socios,) alias non curantes, (ut illi eas possent subigere,) nos autem paucitate militum et inopia pecuniaria infirmissimos reddiderunt, coniectique sumus in angustias per omnia. Cum haec, inquam, ita sint, perpendendum cuique et afferenda in medium sententia, qua status rerum emendetur, et cum praesenti, tum adhuc imminenti miseria liberemur. Nam Triballi, Moesi, Persae et

λοί τε γὰρ ὁμοίως καὶ Μυσοὶ καὶ Πέρσαι καὶ εἴ δή τινες A.C. 1347
ἄλλοι γειτονοῦσιν ἡμῖν δυναστείαν ἔχοντες, οὐ τοῖς ἡρπασμένοις κατὰ τὸν τοῦ πολέμου χρόνον ἀρκοῦνται, ἀλλ' ἐφάπαξ καταφρονήσαντες, οὐδαμῇ στῆσαι τὴν πλεονεξίαν βούλονται. ἐγὼ δὲ ἡδέως ἂν εἶδον ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ δίκας ἐκ τούτων πάντων ἂν ἐξῇ λαβεῖν τῶν εἰς ἡμᾶς ἠσελγημένων. οὐδὲ γὰρ οὐδὲ κατὰ τὸν τοῦ πολέμου χρόνον ἑκοντὶ τὴν τῶν βαρβάρων ᾑρούμην κατὰ τῶν Ῥωμαίων συμμαχίαν, ἀλλ' ὑπὸ τῶν πολεμούντων πρὸς ἀνάγκην ἐναγόμενος. ῥᾳδίως γὰρ ἐκεῖνοι πόλεις καὶ χώρας καταπροϊέμενοι, Μυσοὺς καὶ Τριβαλοὺς D
καὶ εἴ δή τινας ἄλλους ἔπειθον ἐμοὶ ἁπάσῃ δυνάμει πολεμεῖν. οὐ μὴν ἀλλὰ καὶ ἐκεῖνοι ᾔδεσαν αὐτοὶ ἐφ' ἑαυτῶν, ὡς, ἐμοῦ μὲν καταστάντος ἐπὶ τῆς ἀρχῆς, οὐ μόνον οὐδὲν προσκτήσονται τῶν ἡμετέρων, ἀλλὰ καὶ τὰ ἡρπασμένα ἀναγκασθήσονται ἀποδιδόναι, ἐκείνων δὲ ἀρχόντων, οἷα ἀνδραπόδοις χρήσονται· δι' ἃ προθύμως συνεμάχουν. ἄλλως τε οὐδὲ πρὸς Πέρσας ἔμειναν ἀνεπιχείρητοι, ἀλλ' αὐτοί τε πρῶτοι ἐπήγοντο συμμάχους κατ' ἐμοῦ, καὶ ὕστερον οὐχ ἅπαξ καὶ δὶς, ἀλλὰ P. 723
καὶ πολλάκις ἐπεχείρησαν ἐμοὶ ἐκπολεμῶσαι, χρήματα πολλὰ τὰ μὲν διδόντες, τὰ δὲ ἐπαγγελλόμενοι. πρὸς οὖν τοσαύτην δύναμιν τῶν πανταχόθεν περιεστηκότων πολεμίων δυνάμεως οἰκείας ἀπορῶν, ἄλλως τε καὶ δεδοικὼς, μὴ παροφθέντας ἐκεῖνοι προσλάβωσι συμμάχους, ἀναγκαίως τὴν ἐκείνων περι-

si qui alii vicinas nobis provincias incolunt, quae per belli tempus rapuerunt, iis contenti non sunt, sed simul et semel nobis contemptis, avaritiae suae imperare nulla ratione volunt. Ego vero libenter viderem diem illum, quo omnia in nos insolenter ac proterve admissa punirentur. Nec enim vel ipsis armis durantibus sponte meá, sed ab hostibus adactus, barbarorum contra Romanos auxilia adscivi. Illi enim oppida et regiones nulla religione proiicientes, Moesos, Triballos et si quos alios ad me totis viribus oppugnandum incitarunt, qui per se sciebant, si adeptus essem imperium, non solum de cetero rerum nostrarum nihil acquisituros, sed et rapta compulsos a me reddituros, illis autem regnantibus, se velut mancipiis usuros; quare arma armis alacriter iunxerunt. Ad haec neque Persas non etiam aggressi sunt, quos ipsi et prius auxiliares contra me induxerunt, et post non semel iterumve, sed saepius hostes mihi facere, partim data, partim promissa ingenti pecunia, studuerunt. Ad tantam igitur potentiam hostium undique cingentium ipse imbecillis, praeterea timens, ne a me contemptos illi socios assumerent, necessitate sic postulante, barbarorum societatem et amicitiam studiosissime expetendam iudicavi. At nunc pulchre a Deo optimo maximo dirempta controversia, omnique seditione ac discordia sublata, vobiscum prompte illorum facinorum poenas reposcam.

A. C. 1347 σπούδαστον ἐνόμιζον καὶ συμμαχίαν καὶ φιλίαν. νυνὶ δὲ τῶν
πραγμάτων καλῶς ὑπὸ τοῦ κρείττονος κριθέντων, καὶ πάσης
στάσεως καὶ διχονοίας ἀπεληλαμένης, προθύμως σὺν ὑμῖν
τῶν τότε τετολμημένων δίκας ἀπαιτήσω. ὡς οὖν οὐδενὸς
ἀφεξομένου τῶν ὅσα λυσιτελεῖν ἡμῖν δοκεῖ καὶ πρὸς εὐδοξίαν
B καὶ ἀνάκλησιν τῆς προτέρας εὐετηρίας, πάντα λέγετε προθύ-
V. 580 μως, ὅσα οἴεσθε λυσιτελεῖν, ὡς καὶ ἐμοῦ ἅ τε δοκῶ βελτίω
συμβουλεύσοντος, καὶ τοῖς καλῶς εἰρησομένοις τῶν ἄλλων
μᾶλλον εὐχερέστερον πεισθησομένου. εὖ γὰρ ἴστε σαφῶς,
ὡς, ἢν μὲν νῦν ἡμεῖς τὰ δέοντα καὶ βουλευώμεθα καὶ πράτ-
τωμεν, καὶ δύναμιν ποριζώμεθά ποθεν, τοῖς τε οὖσι φίλοις
ποθεινότεροι ἐσόμεθα καὶ τοῖς πολεμοῦσι φοβερώτεροι. ἂν δὲ
πρὸς τὴν ἀδυναμίαν ἀπειπόντες, καθεζώμεθα πράττοντες μη-
δὲν, τὴν ἀπραγμοσύνην καὶ τὴν ἡσυχίαν ἀσπαζόμενοι, οὐδὲν
ἕτερον ἡμῖν ἢ δουλεύειν ἑτέροις περιέσται ἐν βραχεῖ. ἢ γὰρ
C ἄρχειν δεῖ πάντα πραγματευομένους καὶ μηδὲν τῆς προτέρας
δόξης καὶ τῆς εὐτολμίας ὑφιέντας, ἢ δουλεύειν ἀσφαλῶς τοῖς
κρείττοσιν. ὡς οὖν οὐχ ὑπὲρ εὐδοξίας μόνον, ἀλλὰ καὶ τῆς
εἰς τὸ μέλλον ἀσφαλείας καὶ ὑμῶν αὐτῶν ἐλευθερίας, καὶ
βούλεσθε καὶ πράττετε, ἅττα ἂν ὑμῖν δοκῇ λυσιτελεῖν."
D ϛʹ. Τοιαῦτα μὲν ὁ βασιλεὺς κοινῇ πρὸς ἅπαντας διει-
λέχθη, φανερῶς οὐδὲν εἰπὼν περὶ τοῦ δεῖν εἰσφέρειν χρή-
ματα. ἐβούλετο γὰρ, ὥσπερ εἴρηται, μὴ δοκεῖν εἰσπράττειν
βίᾳ, ἀλλ' αὐτοὺς πρὸς τὸ κοινῇ λυσιτελοῦν οἴκοθεν τὴν συν-

3. ἡμῖν P.

Ut igitur me nihil omissuro, quod ad gloriam et pristinae felicitatis restitutionem expedire nobis videatur, omnia alacriter editote, quae conducere censetis. Nam et ego, quae magis probo, ea suadebo, et ab aliis recte dictis facilius assentiar. Omnino enim sic vobis persuadete, si nunc, quae tempus flagitat, et statuerimus, et egerimus, et alicunde vires comparaverimus, cum amicis cariores, tum hostibus terribiliores fore. Sin ob imbecillitatem nostram desperationi cedentes, otium et quietem complexi sedebimus, nihil nobis praeter servitutem brevi intervallo exspectandum erit. Aut enim, tentatis omnibus, imperandum nihilque de priori decore ac fortitudine remittendum, aut potentioribus sine dubio serviendum est. Cum itaque non solum praeterita gloria, sed et futura securitas et libertas vestra agatur, consulite, et quae vobis ad hunc finem prodesse posse videbuntur, facitote."

6. Haec imperator in commune ad omnes: aperte autem de pecunia collatitia nihil: nolebat enim, ut dicebamus, vi exigere, sed ipsos per se publicae utilitatis gratia conferre. Tum principes civitatis, quanta et privatis et publicis rebus data sit bello isto perni-

τέλειαν ἑλέσθαι. τῶν πολιτῶν δὲ οἱ μάλιστα ἐν λόγῳ καὶ A. C. 1347 τῶν ἄλλων προὔχοντες τὴν μὲν κατὰ τὸν πόλεμον καὶ τῶν ἰδιωτικῶν καὶ τῶν κοινῶν φθορὰν γεγενημένην ἔφασαν οὐκ ἀγνοεῖν καὶ τὴν νῦν κατέχουσαν ἐπίστασθαι τῶν χρημάτων ἀπορίαν. δεῖν δὲ οἴεσθαι καὶ αὐτοὶ ἐκεῖνα πράττειν, ὑφ' ὧν P. 724 ἐξέσται πρὸς τὴν ἀρχαίαν πάλιν τοὺς Ῥωμαίους εὐδαιμονίαν ἐπανήκειν. τοῦτο δὲ ἑτέρως οὐδαμῶς ἐξέσται, ἢ ἕκαστον εἰς ἃ προσήκει χρήσιμον τῷ κοινῷ παρεσχημένον ἑαυτὸν, ὥστε βασιλέα μὲν ὀρθῶς βουλεύεσθαι καὶ τοῖς πολεμίοις τὴν δύναμιν ἀντεπεξάγειν καὶ πάντα τρόπον ἐκείνων κωλύειν τὴν αὔξην ἐπιχειρεῖν, ἢ καὶ καταστρέφειν, εἰ δύναιτο, ἐκείνους καὶ τὰς ἡρπασμένας πόλεις ἀνασώζειν· τοὺς στρατιώτας δὲ προθύμους ἑαυτοὺς παρέχεσθαι ἐν τῷ στρατεύεσθαι καὶ μηδὲν ὑφιέναι τῆς προτέρας δόξης καὶ τῆς εὐτολμίας, ἀλλ' ἀλλήλους αἰδεῖσθαι κατὰ τὰς μάχας καὶ ἄνδρας εἶναι ἀγαθοὺς, ὡς τῆς ἀνδραγαθίας αὐτούς τε πρώτους ἀπολαύσοντας καὶ τοῖς ἄλλοις μεταδώσοντας, ὧν προπολεμοῦσι· τοὺς ἐμ- B πορευομένους δὲ καὶ τοὺς ἄλλην τέχνην μετιόντας τρέφειν τοὺς στρατιώτας, χρήματα εἰσφέροντας, ἐπεὶ μὴ ἔξεστιν ἀπὸ τῶν δημοσίων τρέφεσθαι ἀπολωλότων. γεωργός τε γὰρ ὁμοίως καὶ ὁ ἔμπορος καὶ ὁ χειροτέχνης, ἂν μὲν ἀδείας ἀπολαύῃ, ἑαυτῷ ὁμοίως χρήσιμος ἔσται καὶ τῷ προπολεμοῦντι στρατιώτῃ, ἂν δὲ μὴ βούλοιτο ἐκεῖνον τρέφειν, καὶ ἑαυτὸν τῷ στρατιώτῃ συνδιαφθερεῖ, ἐκεῖνον μὲν λιμῷ, ἑαυτὸν δὲ καὶ

4. κατέχουσιν P. 12. διασώζειν M. mg. 24. συνδιαφθείρει M.

cies, non se nescire, nec ignorare, quanta in praesens pecuniae penuria laboretur. Existimandum vero, ipsos quoque ad illa incumbere, per quae iterum fortunate vivere liceat. Id neutiquam fore, nisi pro se quisque ad quae par est, rei publicae operam suam praebeat: ut imperator quidem recte consultet et hostibus cum exercitu occurrat, illorumque incrementa omnimodis impedire nitatur, aut illos etiam, si possit, evertat, ademptasque urbes recipiat: milites ad militandum faciles sint nihilque de antiqua gloria et virtute deperdant, sed inter se in pugna vereantur ac viros praestent strenuos, utpote sibi primum, deinde pro quibus propugnant, fortitudine sua profuturi: mercatores et qui alias artes quaestuosas persequuntur, milites alant, pecuniam conferentes, quando de aerario iam exinanito ali nequeant. Agricolam enim, mercatorem et opificem, si tutus sit, sibi aeque et militi propugnanti posse consulere. Sin eum alere fugiat, sequi, ut se ipsum perdat cum milite, hunc quidem fame, se ipsum liberosque fame, obsidione et hostium gladiis: aut certe si necessitatis vi se subiecerit, maiora et acerbiora domitori-

A. C. 1347 παῖδας λιμῷ τε ὁμοίως καὶ πολιορκίᾳ καὶ τοῖς πολεμίοις ξίφεσιν. ἢ εἰ μὴ τοῦτο, ἀλλ' ἀνάγκῃ καταδουλωθέντα, πλεί- C ους τοῖς δεδουλωμένοις καὶ βιαιοτέρους παρέχειν φόρους, ἢ V. 581 ὅσα ἐξῆν εἰσφέροντα προθύμως τῶν ἄλλων ἀπολαύειν ἐλευθέρως. τοιαῦτα καὶ τῶν Βυζαντίων πολιτῶν εἰπόντων, ἐπῄνει τε ὁ βασιλεὺς καὶ συνηγόρει πρὸς τοὺς λόγους, ἀναγκαίως δεῖσθαι χρημάτων εἰπὼν πρὸς τὸ παρασκευάσασθαι κατὰ τῶν πολεμούντων. εἰ μὲν οὖν μὴ προανάλωτο αὐτῷ τὰ ὄντα ὑπὸ τῶν κακῶς ἐπὶ λύμῃ πεπολεμηκότων τῇ κοινῇ, οὐδὲν ἂν ἐδεήθη ἐρανίζειν παρ' αὐτῶν, ὥσπερ οὐδὲ πρότερόν ποτε μεγάλων πολέμων κεκινημένων, βασιλέως ἔτι περιόντος Ἀνδρονίκου, ἐφ' οὓς, εἰ μὴ τὰ δημόσια ἐξήρκει, καὶ ἀπὸ τῶν ἰδίων τὰ ἐνδέοντα ἐπεχορήγει αὐτὸς, ὢν ἁπάντων τῶν κοινῶν διοικητής. νυνὶ δὲ ἐκείνων τε εἰς οὐδὲν χρήσιμον ἀπολωλότων, D καὶ τῶν δημοσίων ἐκλελοιπότων φόρων ὑπὸ τοῦ τὴν χώραν διεφθάρθαι, ἀναγκαίως ἀποβλέπειν εἰς τὴν συντέλειαν ταύτην τὴν κοινὴν, ὡς, εἰ χρημάτων καὶ μετρίων εὐπορήσοι, ῥᾳδίως αὖθις τὴν Ῥωμαίων καταπεσοῦσαν ἡγεμονίαν ἀνορθώσων. τοιαῦτα καὶ ἕτερά τινα παρόμοια προσεπειπὼν, διέλυε τὴν ἐκκλησίαν, οἰόμενος αὐτῷ τι τῷ κοινῷ λυσιτελὲς καὶ χρήσιμον ἠνύσθαι. τινὲς δὲ τῶν ἐξ ἀρχῆς ἐκείνῳ ἠρημένων πολεμεῖν, (ἦσαν δὲ οὐκ ὀλίγοι, καὶ ἐκ τῶν ἐν ἐργαστηρίοις ἐμπορευομένων ἀργυραμοιβῶν,) καὶ μετὰ τὴν δοκοῦσαν διάλυσιν ἔτι δυσμεναίνοντες καὶ μνησικακοῦντες καὶ πάν-

21. ἠνῆσθαι P.

bus tributa pendat, quam alioqui, re sua incolumi, in libertate libens ac volens pependisset. Haec cum cives Byzantini respondissent, imperator laudare et eorum sententiae suffragari ac dicere, pecuniam ad apparatum contra hostem plane requiri. Quodsi divitiae eius ab iis, qui cum rei publicae detrimento pugnassent, consumptae non essent, nihil opus fuisse nunc ab ipsis mutuari: ut neque prius unquam, cum magna bella, imperatore Andronico adhuc vivo, gererentur, ad quae, pecunia publica non sufficiente, ipse, imperii administrator, de sua summam expleverit. Modo, quoniam ea inutiliter profusa sit, et propter direptam devastatamque provinciam publicae pensiones cessaverint, cogi se ad communem istam collationem respicere. Etenim si vel moderati sumptus suppeditent, se collapsum Romanorum imperium parvo negotio instauraturum. Haec et similia effatus, conventum dimisit, ratus, se magnopere e re publica locutum. At nonnulli eorum, qui ab initio adversari instituerant, qui plurimi erant, et ex tabernis argentariis nummularii, etiam postquam pax visa est confirmata, animos retinentes armatos et iniuriae memores, manibusque ac pedibus cum impedire laborantes nihilque si-

τα τρόπον ἐπιχειροῦντες αὐτὸν κωλύειν καὶ μηδὲν ἐᾶν τῷ κοινῷ λυσιτελὲς ποιεῖν, ὡς ἂν μάλιστα ἐκείνων ἡ κακία συσκιάζοιτο, καὶ μὴ δοκοίη διὰ τὸν πρὸς βασιλέα πόλεμον ἡ Ῥωμαίων ἡγεμονία διεφθάρθαι, ὡς καὶ μετὰ τὴν εἰρήνην καὶ τὸ πάντας ὑπαγαγέσθαι βασιλέα ὠφελείας οὐδεμιᾶς, οὐδὲ ἀνακωχῆς τῶν κακῶν γεγενημένης, αὐτοί τε ἐθορύβουν, ὡς οὐ χρήματα παρέξοντες, καὶ τοὺς ἄλλους ἔπειθον ὁμοίως, δεινὰ πείσεσθαι φάσκοντες, εἰ ἃ μὴ πρότερον πολέμιος ὢν ὁ βασιλεὺς ἠδυνήθη κατεργάσασθαι, ταῦτα νῦν ἐν εὐνοίας καὶ κηδεμονίας προσχήματι ὑπομενοῦσι. πολεμῶν γὰρ τῶν μὲν ἔξω τειχῶν ἀπεστέρησεν ἁπάντων, τῶν ἔνδον δὲ καὶ ἐν χερσὶ χρημάτων ἠδυνήθη λαβεῖν οὐδέν. νυνὶ δὲ ἐκεῖνά τε ἀπόλωλε καὶ τῶν ἔνδον ὄντων βούλεται ἀποστερεῖν, πολέμους προφασιζόμενος καὶ παρασκευὰς καὶ ἄλλας ἐξαπάτας, ὧν οὐδὲν αὐτοὺς πείσει τῶν ὄντων αὐτῷ παραχωρεῖν, εἰ μὴ βούλοιτο βιάζεσθαι φανερῶς καὶ διαφθείρειν. τοιαῦτα μὲν καὶ πολλῷ δεινότερα τούτων πρὸς τοὺς ἄλλους διεδίδοτο, καὶ θόρυβος ἦν καὶ ἀταξία, καὶ πάντες ὁμοίως πρὸς τῶν χρημάτων ἀνένευον τὴν εἰσφοράν. βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο, συνεώρα μὲν ἤδη τῶν συνεσκευακότων τὴν κακίαν καὶ ὥρμητο κολάζειν τοὺς ἐπὶ τοιαῦτα ἐνάγοντας τὸν δῆμον, ἄτοπον ἡγούμενος καὶ παντελῶς ἔξω τοῦ καλοῦ καὶ τοῦ δικαίου πίπτον, διὰ τὴν τινων ἀγνωμοσύνην τῆς τῶν ἄλλων ἁπάντων

A. C. 1347
P. 725
B
C

nentes communi commodare, maxime ut ipsorum improbitas tegeretur, nec videretur propter bellum contra imperatorem afflictum ac perditum Romanum imperium, (siquidem et post pacem et post omnes ab imperatore subiugatos nulla fuisset subsecuta commoditas, nullae malorum induciae,) et ipsi tumultuabantur, ut aes nequaquam collaturi, et aliis idem dabant consilium, male admodum secum actum iri dicentes, si, quae imperator antea, adhuc hostis, conficere nequisset, ea nunc propter benevolentiae et sollicitudinis simulationem ab ipso ferant. Nam dum bellaret, omnem suburbanorum diripuisse pecuniam: quae intra urbem et in manibus civium esset, de ea auferre nihil potuisse. Nunc et illam deperdidisse, et hanc avertere velle, nescio quos apparatus bellicos et alias quasdam fallacias praetexendo: quorum nihil tantum apud eos valiturum sit, ut illi bonis suis cedant, nisi forte vim manifestam adhibuerit et caedibus saevierit. Huiuscemodi et his tetriora in vulgus disseminabantur, exsistebantque tumultus et perturbatio, et omnes pariter contribuere pecuniam abnuebant. Imperator, his auditis, praestigias ac dolos improborum artificum intelligebat, et populo earum turbarum auctores poenis subdere parabat, stultum et ab omni honestate iustitiaque alienum ducens, ob quorumdam perversitatem ceterorum

A.C. 1347 σωτηρίας καταμελεῖν. ἵνα δὲ μὴ δοκοίη μὴ τῆς κοινῆς ὠφε-
λείας ἕνεκα, ἀλλὰ τοῦ προσκεῖσθαι Ἄννῃ τῇ βασιλίδι τοὺς
ἄνδρας πρότερον ἀμυνόμενος κολάζειν εὐπροσώπου προφάσεως
εὐπορήσας, αὐτούς τε ἠφίει ἀτιμωρήτους καὶ τῆς ἄλλης πρά-
ξεως ἁπάσης κατημέλει, πολλὰ ἀγανακτῶν καὶ ἀνιώμενος, ὅτι
μὴ προπαρασκευάζοιτο πρὸς τοὺς ἐπιφυησομένους πολεμίους,
ἀλλ' ἅμα ἀναγκασθήσεται τοῖς τε πολεμίοις ἀντιτάττεσθαι,
καὶ χρήματα καὶ τὰ ἄλλα τὰ πρὸς τὸν πόλεμον ἀναγκαῖα
D ἐκπορίζειν. τότε μὲν οὖν διὰ ταῦτα τῶν καλῶς ἀπέσχετο
βεβουλευμένων, ὅπερ ὕστερον οὐκ ὀλίγον ἔβλαψε τὰ πρά-
γματα. εἰ γάρ, ὥσπερ ὁ βασιλεὺς διενοεῖτο τότε, ναυτικὴν
V. 582 δύναμιν συνίστη καὶ τριήρεις ὥπλιζεν ἐπὶ τῆς θαλάττης τὴν
ἀρχήν, οὐκ ἂν τοσαῦτα ὑπὸ Λατίνων τῶν κατὰ τὸν Γαλα-
τᾶν τὰ Ῥωμαίων ἐκακοῦτο πράγματα. μετὰ μικρὸν δὲ καὶ
ἄλλη τις ἐπεφύετο ἐπιβουλή. τῶν γὰρ συγκλητικῶν τινες ἐκ
τῶν πρότερον πολεμούντων βασιλεῖ, καὶ ἄλλους τῆς αὐτῆς
κεραμείας προσεταιρισάμενοι, βασιλέα τὸν νέον Ἰωάννην ἐβού-
P. 726 λοντο, οὐδὲν βασιλίδος συνειδυίας τῆς μητρός, ἐξαπατήσαν-
τες, οἷα νέον καὶ οὔπω φρονήματος ἀνδρὶ προσήκοντος ἐπει-
λημμένον, σὺν αὐτῷ εἰς τὸ Γαλατᾶ φρούριον διαδιδράσκειν
καὶ πόλεμον αἴρεσθαι πρὸς βασιλέα τὸν κηδεστὴν ἐπ' ἐλπίδι
τοῦ πολλοὺς προσθήσεσθαι τῶν Βυζαντίων. μηνυθείσης δὲ
τῆς ἐπιβουλῆς τῷ βασιλεῖ, δίκας ἔδοσαν τῆς κακουργίας οἱ
συσκευασάμενοι, εἰς δεσμωτήρια ἐμβληθέντες· χρόνου δὲ

9. καλῶν P.

omnium salutem flocci pendere. Verum enim vero, ne illos, non communi spectato emolumento, sed quod prius ab Anna Augusta stetissent, specioso quodam praetextu ad poenam vocare seseque ulcisci putaretur, iis plectendis supersedit, totumque negotium reliquum neglectui habuit, multum iratus ac moestus, quod se contra hostes emersuros instruere non posset, sed simul illis resistere, simul pecuniam et alia bello opportuna conquirere compelleretur. Hanc ob causam tum a bene cogitatis destitit, quod postea rei publicae insigni nocumento fuit. Si enim, quod meditabatur, navali exercitu comparato, triremes ad obtinendum mare ornavisset, non ita res Romana a Latinis Galataeis pessumdata fuisset. Brevi post novae exortae sunt insidiae. Quidam namque de proceribus palatinis, hostibus antea et oppugnatoribus imperatoris, aliis item ex eadem figlina in coetum pellectis, Ioannem imperatorem, matre imperatrice nescia, ut adolescentem nec adhuc iudicio maturum, decipere volebant, et cum eo in oppidum Galatam transfugientes, bellum adversum socerum imperatorem moliri, cum spe, Byzantiorum complures sese socios additaros. Insidiis delatis, huius machinae fabricatores sceleris sui poenam in carcerem traditi persolverunt: quos non longo tem-

ὀλίγου παρελθόντος, συγγνώμην τε αὖθις παρέσχετο ὁ βασιλεὺς τοῖς ἁμαρτήσασι, καὶ τῶν δεσμωτηρίων ἀπολύσας αὖθις ἐχρῆτο, ᾗ ἕκαστος ἐπιτηδείως εἶχε. A. C. 1347 B

ζ. Τῶν Καντακουζηνῷ δὲ τῷ βασιλεῖ κατὰ τὸν πόλεμον συνόντων οἱ μάλιστα ἐπιφανέστεροι προσελθόντες, ἀδικεῖσθαι ἔφασαν καὶ βίαν ὑπομένειν παρ' αὐτοῦ ἀναγκάζοντος ὅρκους ἐπὶ δουλείᾳ παρέχεσθαι βασιλεῖ τῷ νέῳ καὶ βασιλίδι τῇ μητρὶ, οὐ- C δέποτε δυνησομένοις καθαρῶς καὶ ἀδόλως καταλλάττεσθαι αὐτοῖς, ἀλλὰ καὶ καιρὸν ἐπιτηροῦσιν ἐπιτίθεσθαι καὶ διαφθείρειν. τοῦτο δὲ οὐδὲ μακρὰν ἀνοίας ἂν δόξειε παρ' εὖ φρονοῦσιν, εἰ αὐτοὶ μὲν πολλὰ κατὰ τὸν πόλεμον ὑπομεμενηκότες δυσχερῆ, καὶ νῦν μετὰ τὴν νίκην δουλεύσουσι τοῖς πολεμήσασιν, οὐδὲ ἀντιβλέπειν δυνάμενοι διὰ τοὺς ὅρκους, ἐκεῖνοι δὲ εὐορκοῦντές τε ἄρξουσιν αὐτῶν, καὶ ἐπιορκοῦντες, ὅτε βούλονται, ἀποκτενοῦσιν. ἰδοὺ γὰρ εἰ προὐχώρησεν αὐτοῖς ἡ νῦν ἐπιβουλὴ, οὐδὲν ἂν ἐκώλυεν ἢ ἀποθνήσκειν νικηθέντας, ἢ ἀντισχόντας πρὸς τὸν πόλεμον, αὖθις ἐν τοῖς προτέροις εἶναι κακοῖς στρατεύοντας κατὰ τῶν ὁμοφύλων καὶ καταστα- D σιαζομένους, ὥσπερ καὶ πρότερον ὑπὸ τῶν δήμων, καὶ δημεύσεις ὑπομένοντας καὶ δεσμωτήρια καὶ ἄλλα ἄττα τοῖς προτέροις παραπλήσια. ἠξίουν τε καὶ αὐτοῖς τοὺς ὅρκους διαλελύσθαι καὶ πράττειν, ᾗ αὐτοῖς δοκεῖ συμφέρειν. καὶ πρότερόν τε γὰρ ἀναγκασθέντες ὑπ' ἐκείνου τοὺς ὅρκους ἀκουσίως παρασχέσθαι, καὶ νῦν, ἐπειδὴ πρῶτοι παραβεβήκασιν ἐκεῖνοι, οὐδεμίαν αὐτοῖς αἰτίαν εἶναι, εἰ πρόνοιάν τινα ποι-

pore interiecto, data venia, emisit, eorumque opera, ut quisque volebat, de integro usus est.

7. Porro illustrissimi genere, qui castra Cantacuzeni secuti fuerant, eum conveniunt, seque iniuria affici et violenter ab eo haberi, conqueruntur, quando imperatori iuniori et matri imperatrici servitutem iurare cogat, qui pure sincereque ipsis reconciliari nunquam possent, sed occasionem captarent, qua eos adorientes interficerent. Hoc vero sapientibus propemodum delirum videri posse, si, cum bello multa laboriosa et aspera subierint, nunc in victoria hostibus serviant, quos propter iusiurandum nec intueri libere audeant; qui, si iurata servent, ipsis imperaturi, si periuri fiant, cum libuerit, ipsos occisuri sint. Nam ecce, si nunc insidiae ipsis procederent, nihil prohibiturum, aut occidi victos, aut armis resistentes rursum prioribus implicari miseriis, contra homophylos pugnantes et populari seditione, ut antea, exagitatos, publicationesque bonorum et carceres et alia quaecumque antecedentium similia sustinentes. Proinde orabant, ut sacramenti dandi religione soluti, sibimet consulendi potestatem acciperent. Nam et prius ab ipso compulsos iuravisse, et

A. C. 1347 οἶντο ἑαυτῶν. τοιαῦτα μὲν τῶν Καντακουζηνῷ τῷ βασιλεῖ
προσκειμένων οἱ ἐν τέλει εἶπον. βασιλεὺς δὲ οὐκ ἔφασκεν
ἐφ' οἷς ἕτεροι ἐξήμαρτον, ἑτέρους εὐθύνειν εἶναι δίκαιον.
βασιλίς τε γὰρ οὐδὲν ᾔδει τῶν γεγενημένων, ἀλλὰ τὰ ὀμω-
μοσμένα πάντα μετὰ ἀκριβείας φαίνεται φυλάττουσα, καὶ
P. 727 βασιλεὺς ὁ υἱὸς οὐ δίκαιος εὐθύνεσθαι διὰ τὴν ἡλικίαν, εἰ
V. 583 καὶ τοῖς εἰς ἡμᾶς συνέπραττεν ἀγνωμονοῦσι. μάλιστα δὲ ἐ-
κείνων τὴν ἀβελτηρίαν καὶ τὴν ἄνοιαν θαυμάζειν, εἰ μετὰ
τοσαύτας ἀποδείξεις τῆς εἰς βασιλίδα εὐνοίας καὶ τοὺς παῖ-
δας, ἔτι διπλᾶ περὶ αὐτοῦ λογίζονται καὶ ἀμφισβητοῦσιν,
εἰ διὰ τέλους εὐμενὴς αὐτοῖς μενεῖ. τὸ μὲν γὰρ ἐν μεγάλοις
αὐτὸν τὴν φιλοτιμίαν ἐπιδείκνυσθαι, καὶ οἷα οὔπω πρότερον
τοῖς Ῥωμαίων βεβασιλευκόσιν οὐδέσιν ἐφιλοτιμήθη, καὶ διὰ
τοῦτο καὶ τοὺς βασιλίδι προσκειμένους μὴ δύνασθαι πιστὰ
ἡγεῖσθαι, οὐδὲν ἀπεικός. τίνι γὰρ τῶν προτέρων τοῦτο βα-
B σιλέων ἐτολμήθη, ὥστε μετὰ τὴν τῶν ἀντιπάλων ἧτταν καὶ
τὸ πᾶσαν ὑφ' ἑαυτοὺς ποιήσασθαι τὴν ἡγεμονίαν, αὖθις συν-
άρχοντας αἱρεῖσθαι τοὺς προτέρους βασιλεύοντας· μᾶλλον δὲ,
εἰ δεῖ τἀληθὲς εἰπεῖν, τὸ πλέον προσνέμειν τῆς ἀρχῆς ἐκεί-
νοις, οἷα δὴ ἐκείνου μὲν ἐπὶ χρόνον τινὰ τοῖς πράγμασι χρη-
σομένου, ἐκείνοις δὲ καὶ πρὸς παίδων διαδοχὴν μενούσης
τῆς ἀρχῆς; πάντως οὐδενί. τὸ δὲ αἴτιον, ὅτι ἐκείνοις μὲν
οὐδὲν ἕτερον ἐσπουδάζετο, ἢ ἐξ ἑτέρων εἰς ἑαυτοὺς μετάγειν

11. φανῇ M. mg.

nunc, quoniam illi priores deliquerint, si ipsi iam sibi providerint, culpa carituros. Haec illustres viri, addicti Cantacuzeno, dixerunt. Quibus respondit, iniustum esse, alios peccasse et alios plecti. Nam imperatricem facti non esse consciam, et quae iurata sint, servare diligenter omnia, filiumque imperatorem, quamvis malevolos adiuverit, ob consilii imbecillitatem, ut adolescentem, debere excusari. Illorum stultitiam temeritatemque se admirari, cum post tam clara benevolentiae suae in imperatricem ac filios argumenta adhuc, utrovis distracta cogitatione, ambigant, ecquid ad finem in ea perseveraturus sit. Quia enim in arduis elaborarit, et quae nemo Romanorum imperatorum efficere tanta contentione studuerit, propterea amicos imperatricis fidelem ipsum fore non credere, nihil esse absurdum. Neminem enim ex superiorum temporum imperatoribus post debellatos adversarios et redactum sub se universum imperium, qui prius imperarant, denuo collegas adsciscere ausum fuisse, immo si, quod res est, fateri velimus, potiorem imperii partem illis attribuere, ut se nimirum ad tempus aliquod regnaturo, illis vero etiam ad liberos imperium transmissuris. Causam fuisse, quod in eo omnis eorum cura evigilaret, omnis cogitatio verteretur, quomodo ab aliis imperium ad se transferrent. Alia se via incessisse; ab initio enim

τὴν ἀρχὴν, ἑτέρου δὲ ἔμελεν οὐδενὸς, ἐκείνῳ δὲ οὐχ οὕτως, A.C. 1347 ἀλλὰ τὸ μὲν ἐξαρχῆς εἶναι σπουδαζόμενον, σωτῆρα καὶ κηδεμόνα φαίνεσθαι τῶν βασιλέως τοῦ φίλου παίδων καὶ μη- C δὲν ἀνάξιον τῆς εἰς ἐκεῖνον φιλίας ὁρᾶσθαι ποιοῦντα καὶ μετὰ τελευτὴν, τὸ δ' ὕστερον ἐλθεῖν ἐπὶ τὴν βασιλείαν, οὐ προαιρέσεως ἰδίας εἶναι, οὐδ' ἐπιθυμίας τιμῆς βασιλικῆς, (τὴν ἴσην γὰρ ἐξῆν καρποῦσθαι μένοντα καὶ ἐπὶ σχήματος,) ἀλλὰ τῆς ἀνάγκης, ἤδη τοῦ ἐμφυλίου πολέμου κεκινημένου. σώζεσθαι γὰρ ἑτέρως οὐκ ἐνῆν, οὕτω καταψηφισθέντα τὴν ἐπὶ θάνατον ἐρήμην. οὐδὲν μὲν οὖν θαυμαστὸν ἔφασκεν, εἰ καὶ ἐκεῖνοι τοῖς οὕτω μεγάλοις ἀπιστοῦσιν, ἐκεῖνο δὲ δίκαιον αὐτῶν κατηγορεῖν, εἰ καὶ μετὰ τὴν ἐναργῆ τῶν πραγμάτων ἔκβασιν ἔτι δυσνοεῖν αὐτὸν περὶ βασιλίδα καὶ τοὺς παῖδας οἴονται. εἰ γὰρ τοιαύτην εἶχε γνώμην, οὐκ ἂν προήκατο τὸν D καιρὸν, ἡνίκα Βυζαντίου μὲν ἐκράτει βίᾳ, ἑλὼν τοῖς ὅπλοις, βασιλὶς δὲ μετὰ τῶν παίδων ἐν βασιλείοις ἐπολιορκεῖτο, ἐπικουρία δὲ οὐδαμόθεν ἦν, ἀπορία δὲ τῶν ἀναγκαίων παντελὴς, καὶ οἱ συνόντες ἐπεβούλευον, καὶ κομιδῇ πάντα ἦσαν ἐν στενῷ· νεῦσαι δὲ ἐξήρκει μόνον καὶ πάντας ἄρδην ἀπολέσθαι. εἰ δὲ τότε πάντα πράττειν ἔχων εὐχερῶς, οὐ τὰ ἥδιστα μᾶλλον ἢ τὰ βέλτιστα ἠθέλησε, καὶ ὅρκους παρέσχετο ἐπ' ἀμνηστίᾳ τῶν κακῶν, ἀνάγκης οὐδεμιᾶς ὑπούσης, καὶ τὴν θυγατέρα ἐξέδωκε τῷ νέῳ βασιλεῖ καὶ πάντα ἔπραξεν, ὅσα οὐδ' ἂν εἷς τῶν ἄκραν εὐγνωμοσύνης ἐννοούντων ἠλ-

id operam dedisse, ut constaret, se filiorum amici imperatoris defuncti tutorem et servatorem esse, ac nihil etiam post obitum illius amborum amicitia indignum perpetraret. Quod vero postea in imperium venerit, non id sui arbitratus ac voluntatis, neque ambitionis, quia honores imperatorios sitiret, (quos etiam, habitu retento, consequi licuerit,) sed necessitatis fuisse, bello civili iam flagrante videlicet: aliter quippe, capite suo absentis iam devoto et consecrato, salvum esse non potuisse. Quare nihil mirum, si et illi tam inusitatis fidem derogent. Illud in ipsis iure accusandum, si post rerum eventum adeo clarum adhuc eum imperatrici et filiis eis infensum arbitrentur. Etenim si haec sibi mens fuisset, vi et armis occupato Byzantio, cum ea et filii in palatio obsiderentur, auxilium nusquam appareret, rerum necessariarum extrema urgeret inopia, domestici insidiarentur, et omnia ferme in angusto illis essent, tantumque nutus ad omnes funditus delendos sufficeret, opportunitatem e manibus dimissurum non fuisse. Quodsi tunc, quando nullo impedimento facere quidvis poterat, non iucundissima, sed utilissima maluerit iniuriarumque oblivionem iuraverit, cum necessitas nulla moneret, et filiam adolescenti imperatori locaverit omniaque praestiterit, quae

A. C. 1347 πισεν ὑπερβολὴν, τίν' ἔχει λόγον ὑποπτεύειν νῦν καὶ νομίζειν,
P. 728 ὀφθήσεσθαί ποτε κακὸν περὶ βασιλέα τὸν γαμβρὸν, ἀλλ' οὐ-
δεμίαν ἀπολείπειν ἀνοίας ὑπερβολήν; „ταῦτα μὲν οὖν" ἔφα-
σκεν „ἐκείνοις τε ἔλεγχος πρὸς τὴν ἀγνωμοσύνην καὶ ὑμῖν
πρὸς τὴν ἀξίωσιν ἀπολογία. οὐ γὰρ δίκαια οὐδὲ ἄλλως ἐν-
νοεῖσθε δυνατά. βασιλέα γὰρ τὸν ἐμὸν γαμβρὸν οὔτε ἀπο-
κτείνειν δυνατὸν, οὔτ' ἀποστερεῖν τῆς βασιλείας μετὰ τῆς
θυγατρὸς τὸν γάμον. οὔτε μὴν βασιλίδι τῇ μητρὶ δίκαιον ἐγ-
καλεῖν ἐφ' οἷς οὐδὲν συνῄδει, ἀλλὰ πᾶσαν αὐτοῖς προσάγειν
βούλομαι πάντας, καὶ τὴν εὔνοιαν καὶ τὴν αἰδῶ, καθὼς προσ-
ήκει βασιλεῦσι. τοὺς δ' ἀγνωμονήσαντας ἐκείνους καὶ ῥά-
B ψαντας τὴν ἐπιβουλὴν ἐγὼ τὰς ἀξίας τῆς ἐπιορκίας ἀπαιτή-
σω δίκας." ὁ μὲν οὖν βασιλεὺς τοιαῦτα τοῖς ἐν τέλει διει-
λέχθη, ἐφ' οἷς ἤλπιζον αὐτὸν ἐξορμήσειν ἐπὶ τὸ κακῶς περὶ
V. 584 βασιλίδα διατίθεσθαι καὶ βασιλέα τὸν γαμβρόν. ἐπεὶ δὲ
ἐκεῖνοι ἔγνωσαν ἀνηνύτοις ἐπιχειροῦντες καὶ, τὸ λεγόμενον,
τοξεύοντες εἰς οὐρανὸν, ἀπογνόντες τὸ ἐκεῖνον μεταπείθειν,
ἐπὶ βασιλίδα ἐχώρουν τὴν Εἰρήνην, οἰόμενοι περιγενήσεσθαι
ἐκείνης καὶ πείσειν αὐτοῖς προσέχειν, ὡς λυσιτελῆ βουλευο-
μένοις. ὡς δὲ καὶ αὐτὴ ταῖς ἴσαις ἢ καὶ αὐστηροτέραις ἠ-
μείβετο ἀπολογίαις, καὶ παύεσθαι ἐκέλευε μεγάλαις αὖθις
C συμφοραῖς τοὺς Ῥωμαίους ἐπιχειροῦντας περιβάλλειν, ὥσπερ
τοὺς ἐλέγχους αἰσχυνθέντες, οἱ μὲν καὶ παντελῶς ἡσύχασαν,

19. βοσκευομένοις P.

nec a summa bonitatis excellentia quispiam speravisset, cur sine ratione nunc suspicentur, et aliquando in generum imperatorem improbum repertum iri et in eum nihil amentiae praetermissurum existiment? „Haec igitur," inquit, „et illis ad iniquitatem eorum redarguendam et ad petitioni vestrae respondendum dixerim. Nec enim aequa, addo, nec quae fieri queant, cogitatis. Imperatorem enim generum meum occidere non possum, neque post collocatam filiam meam imperio deturbare. Neque vero matrem eius Augustam ob ea, quorum conscia non est, accusare decet. Quin ego ambos ea benevolentia et veneratione coli volo, quam maiestas imperatoria postulat. A sceleratis autem illis et insidiarum compositoribus meritas periurii poenas expetam." Haec fuit imperatoris ad proceres oratio pro eo, quod ipsum in odium imperatricis et generi imperatoris erupturum speraverant. Qui ut se operam perdere, et, quod proverbio fertur, in coelum iaculari, agnoverunt, illius mutatione desperata, ad Irenem imperatricem se contulerunt, rati, eam se expugnaturos persuasurosque, ut sibi, tamquam bene monituris, aures daret. Ceterum ubi illa eadem vel etiam severiora respondit atque a Romanis iterum magnis calamitatibus obruendis facessere iussit, nonnulli quidem reprehensionibus istis pudefacti, omnino quieverunt:

ἔνιοι δὲ αὐτῶν, ὅσοις ὁ βίος ταραχῆς ἀνάπλεως καὶ θορυβώδης ἦν, ἡσυχάσαντες ἐπὶ μικρὸν, ἔπειτα Ματθαῖον ἔπεισαν τὸν βασιλέως υἱὸν, Διδυμότειχον καὶ τὴν Ἀδριανοῦ καὶ τὰς περὶ αὐτὰ πολίχνας κατασχεῖν, ἰδίαν συστησάμενον ἡγεμονίαν μετ' αὐτῶν. πρόφασις δὲ ἦν καὶ πρὸς ἐκεῖνον τῆς ἀποστασίας τοῖς στασιασταῖς, ὅτι βασιλεὺς ὁ πατὴρ μετὰ τοὺς μυρίους πόνους καὶ κινδύνους καὶ τὴν πολλὴν ἀπόδειξιν τῆς εἰς αὐτὸν εὐνοίας, ἐπεὶ περιεγένοντο τῶν πολεμίων, τῇ περὶ βασιλέα Ἰωάννην τὸν γαμβρὸν εὐνοίᾳ οὐ μόνον ἐκεῖνον, ἀλλὰ καὶ τοὺς περὶ αὐτὸν ἅπαντας προτιμῆσαι, καὶ τά τε ὄντα αὐτοῖς ὑπ' ἐκείνων πρότερον ἡρπασμένα, οὐκ ἐάσειεν ἀπολαμβάνειν, ἀλλ' ἔχοντας περιορᾷν, ἵν' ἀλγῶσι μᾶλλον, καὶ πᾶσαν πρόνοιαν ποιοῖτο τὴν δυναστείαν τῷ νέῳ βασιλεῖ περιποιεῖν· ὃς καὶ νῦν μετὰ τῶν προσκειμένων ἀθετήσας τοὺς ὅρκους, βουλεύσειε δρασμόν. ἃ εἰ προὐχώρει κατὰ γνώμην, οὐδὲν ἂν ἐκώλυεν αὖθις εἶναι ἐν πολέμοις καὶ κινδυνεύειν καὶ περὶ τῆς σωτηρίας αὐτόν τε καὶ πάντας αὐτοὺς ὁμοίως. ἃ ἐκέλευον αὐτὸν ἐν φροντίδι τίθεσθαι καὶ μὴ οὕτως ἀπερισκέπτως τῶν κινδύνων περιμένειν τὸν καιρὸν, πράττοντα μηδὲν ὑπ' ἀβουλίας, ἀλλὰ πρόνοιάν τινα αὐτοῦ ποιεῖσθαι, καὶ αὐτῶν, ἵν', εἰ βασιλεὺς ὁ γαμβρὸς γένοιτο τῆς ἀρχῆς ἁπάσης ἐγκρατὴς, ἢ τοῦ πατρὸς βασιλέως τελευτήσαντος, ἢ τρόπῳ δή τινι ἑτέρῳ, ἔξω κινδύνων αὐτὰς μετὰ τῶν φίλων εἴη. μηδὲ γὰρ οἴεσθαί ποτε εὐνοήσειν αὐτῷ βασιλέα τὸν γαμβρὸν, ἀλλ' ἀμυνεῖσθαι πάντα A. C. 1347 D P. 729

10. προτιμήσοι P. 15. ἐκώλυον P. 16. καὶ ante περὶ om. M.

alii, homines in omni vita turbulenti ac seditiosi, cum pausam aliquantam fecissent, Matthaeum filium induxerunt, ut Didymotichum, Adrianopolim et in circuitu oppidula occuparet, ipsisque adiuvantibus, proprium principatum fundaret. Factiosis ad illum deficiendi invitamentum et occasio erat, quod pater imperator post mille labores atque pericula et amorem praecipuum erga eos demonstratum, hostibus devictis, Ioannem generum, nec illum dumtaxat, sed familiares eius omnes benevolentia praeferret, nec sineret bona, quibus essent ab illis mulctati, recipere, sed retinere ea pateretur, despectis iis, qui amiserant, ut dolerent amplius, et enixe laboraret, ut imperatori iuniori imperium conservaret, qui et nunc, spretis iuramentis, cum coetu suo fugam meditaretur. Quae si irent ex sententia, nihil obstiturum, quin iterum bellum habeant, perindeque, ut antea, cum ipso omnes de salute contendant. De his ut sollicite cogitaret, nec in otio stulto inconsiderate periculi tempus exspectaret, monebant, sed sibimet illisque prospiceret, ut, si imperator, maritus sororis, vel mortuo patre, vel alio quodam modo totius imperii potens evaderet, ipse cum amicis extra discrimen esset. Ne enim Ioannem, imperatorem et affinem, unquam sibi amicum fore

A. C. 1347 τρόπον καὶ σπουδάσειν ποιεῖν ἐκ μέσου, οἰόμενον ἀμφισβητήσειν αὐτῷ περὶ τῆς βασιλείας, οἷα δὴ καὶ αὐτὸν βασιλέως ὄντα παῖδα καὶ δίκαιον ὄντα τὴν πατρῴαν ἀρχὴν κληρονομεῖν· συνεβούλευόν τε τὰς εἰρημένας πόλεις ὑποποιεῖσθαι καὶ τῆς ἄλλης ἡγεμονίας Ῥωμαίων ἀποτέμνειν οὐ παντάπασιν, ἀλλὰ μετὰ τὴν ἀποστασίαν δεήσεσθαι αὖθις βασιλέως B τοῦ πατρὸς, ὥστε ὅρκους παρασχέσθαι συστρατεύεσθαι μὲν ἐκείνῳ μετὰ τῆς ἐγκαθιδρυμένης στρατιᾶς αὐτοὺς, ὅποι ἂν κελεύοι, τὴν δ' ἄλλην ἅπασαν ἀρχὴν τῶν πόλεων εἶναι πρὸς αὐτὸν, καὶ ζῶντος τοῦ πατρὸς καὶ μετὰ τελευτήν. οὕτω γὰρ ἐν ἀσφαλείᾳ ἔσεσθαι αὐτόν τε καὶ φίλους, καὶ βασιλέα τὸν γαμβρὸν, κἂν βούλοιτο, μηδὲν δυνήσεσθαι δεινὸν ἐπάγειν. οἱ μὲν οὖν τοιαῦτα παρῄνουν, ἠρέμα τὸν νέον εἰς ἀποστασίαν ἄγοντες καὶ σπέρματα καταβάλλοντες πονηρὰ τῆς μετὰ ταῦτα πονηροτέρας ἐσομένης βλάστης.

C η'. Πειθόμενος δὲ αὐτοῖς τοῦ βασιλέως ὁ υἱὸς διὰ τοὺς V. 585 ἐπισειομένους φόβους καὶ κινδύνους, ἐπεχείρησε τῷ ἔργῳ, ᾗ ἐκεῖνοι ἐβουλεύοντο, καὶ τὰς πόλεις ἀφίστη πρὸς ἑαυτὸν, γνώμην ἔχων ὡς ὕστερον δεησόμενος βασιλέως τοῦ πατρὸς, τὴν D μὲν ἀρχὴν τῶν πόλεων αὐτὸν ἔχειν διὰ βίου, τελεῖν δὲ ὑπὸ τὴν αὐτοῦ τε καὶ βασιλέως τοῦ γαμβροῦ ἡγεμονίαν. ἐπεὶ δὲ ἐπύθετο ὁ βασιλεὺς, ὀργῇ μὲν ἐφέρετο ἀκράτῳ πρὸς τοὺς τὰ τοιαῦτα πεπεικότας καὶ ἤδη ὥρμητο πρὸς τιμωρίαν. ἔπειτα

16. πυθόμενος P.

duceret, sed ultorem quacumque ratione enixurumque, ut eum vita multet, dum secum de imperio, ut et ipsum imperatoris filium, pro debita sibi hereditate controversaturum opinabitur: erantque auctores, ut oppida supra nominata sub se redigeret, ac de reliquo corpore imperii avelleret, non quidem penitus, verum ita, ut post defectionem rursus patrem imperatorem rogaret, liceret iuramento firmare, militaturos ipsi cum collocatis ibi praesidiis, quo eos vocaret: omne ius reliquum earum urbium, patre vivo ac mortuo, penes se resideret: sic namque et se et amicos secure victuros, et imperatorem, sororis virum, etiam volentem, nihil damnosum inferre posse. Hac cohortatione sensim iuvenem ad defectionem impellebant, malaque semina peioris deinde germinis iaciebant.

8. Motus eorum consilio filius imperatoris propter incussum timorem ac pericula, rem incipit, ut illi voluerant, et oppida a fide patris ad suam abducit, deliberatum habens deinde orare patrem, ut in ea imperium sibi, quoad vixerit, retinere liceret, principatus autem in potestate ipsius et affinis imperatoris esset. Cantacuzenus, intellecto negotio, adversum suasores longe iratissimus, iam in eos vindictam parturiebat. Postea tamen iram mansuetudine temperans,

ἡμερότητι κεράσας τὸν θυμόν, (ᾔδει γὰρ ἐπιεικείᾳ ῥᾷον προσ- A. C. 1347 αξόμενος τὸν υἱόν,) Εἰρήνην βασιλίδα τὴν ἐκείνου μητέρα ἔπεμπε διαλλάξουσαν ἐκεῖνον τῷ πατρὶ καὶ τῶν ἀτόπων ἔργων ἀποστήσουσαν. ἡ δὲ ὀφθεῖσα μόνον τῷ υἱῷ, ῥᾷστα πάντα τὰ προσκόμματα διέλυε καὶ τὰς ὑποψίας. ἦν γὰρ οὐ συνετὴ μόνον καὶ δεινὴ χρήσασθαι πράγμασι μεγάλοις καὶ μεταποιῆσαι, ᾗ ἐβούλετο, ἀλλὰ καὶ Ματθαῖον τὸν υἱὸν ἐξό- P. 730 χως τῶν ἄλλων μᾶλλον φιλοῦσα παίδων καὶ φιλουμένη ὑπ' αὐτοῦ. ὅθεν οὐδὲ λόγων ἐδεήθη πρὸς αὐτόν, ἀλλ' ἐκέλευε μόνον, καὶ πάνθ' ὑπήκουεν ἐκεῖνος. ἔπειτα τοὺς τῆς στάσεως αἰτίους λόγοις ἐπιπλήξασα καὶ ἀπειλήσασα τὰ δεινότατα, εἰ τοιαῦτα αὖθις πανουργεύοιντο, (ἦσαν γὰρ αὐτῇ τῶν καθ' αἷμα προσηκόντων,) καὶ τὸν υἱόν, ὥσπερ καὶ πρότερον, πάνθ' ὑπείκοντα προθύμως ἀποδείξασα βασιλεῖ τῷ πατρί, ἀνέστρεφε. γενομένη δὲ ἐν Βυζαντίῳ, Ἀνδρόνικον εὗρε τὸν νεώτερον ἀποτεθνηκότα τῶν υἱῶν ὑπὸ τοῦ τότε ἐνσκήψαντος λοιμοῦ, ὃς ἐκ τῶν Ὑπερβορέων πρῶτον ἀρξάμενος Σκυθῶν, πάντα ἐπέδραμε σχεδὸν τὰ παράλια τῆς οἰκουμένης καὶ τὸ πολὺ B διέφθειρε τῶν ἐνοικούντων. οὐ γὰρ Πόντον μόνον διῆλθε καὶ Θρᾴκην καὶ Μακεδονίαν, ἀλλὰ καὶ Ἑλλάδα καὶ Ἰταλίαν καὶ νήσους ἁπάσας, Αἴγυπτόν τε καὶ Λιβύην καὶ Ἰουδαίαν καὶ Συρίαν, καὶ κύκλῳ πᾶσαν σχεδὸν τὴν οἰκουμένην. οὕτω

16. ἀπὸ Μ. λοιμοῦ. Imitatur in seqq. Thucydidem fere ad verbum, neque in hac solum pestilentiae descriptione, sed in locis quam plurimis, ut exemplis ostendit Spengelius in Seebodii Bibl. Crit. a. 1829. num. 87. p. 384.

quod sciret, lenitate facilius conciliatum iri filium, Irenen coniugem, eius matrem, misit, a qua cum patre in gratiam reduceretur atque ab incepto nefario revocaretur. Illa adspectu solo omnia offendicula suspicionesque facillime sustulit. Erat enim femina non solum prudens et usu magnarum rerum, quas ad arbitrium commutaret, perita, sed et filium Matthaeum ante alios liberos amabat ipsa, et redamabatur ab eo mirabiliter. Quare nec longa oratione indiguit, sed verbo tantum mandavit, illeque mandanti morem perfecte gessit. Deinde discordiarum auctoribus obiurgatis cum minis gravissimis, si rursum in tali scelere, quam essent callidi, ostenderent, (erant enim ei consanguinitate iuncti,) et filio ad pristinam plenamque obedientiam patris reducto, Byzantium reversa est, ubi minimum natu Andronicum pestilentia exstinctum reperit, quae tunc grassabatur quaeque a Scythis Hyperboreis incipiens, ferme omnes oras maritimas pervasit magnamque indigenarum partem absumpsit. Nec enim Pontum tantummodo, Thraciam, Macedoniam, sed etiam Helladem, Italiam, insulas omnes, Aegyptum, Libyam, Iudaeam, Syriam et orbem fere universum in circuitu permensa ac pervagata

A. C. 1347 δὲ ἦν ἄμαχον τὸ κακὸν, ὡς μήτε δίαιταν μηδεμίαν, μήτε ῥώμην σώματος δυνηθῆναι ἀντισχεῖν. πάντα γὰρ ὁμοίως καθῄρει καὶ ἰσχυρὰ καὶ ἀσθενῆ σώματα, καὶ οἱ μάλιστα θεραπευόμενοι ὁμοίως ἀπέθνησκον τοῖς ἀπορωτάτοις. ἄνοσον μὲν γὰρ ἦν ἐκεῖνο τὸ ἔτος παντάπασιν εἰς τὰς ἄλ-
C λας ἀσθενείας. εἰ δέ τις καὶ προέκαμνέ τι, πάντα εἰς ἐκεῖνο κατέληγε τὸ νόσημα, καὶ οὔτε ἰατρῶν ἐξήρκει τέχνη οὐδεμία, οὔτε παρόμοιον πᾶσιν ἦν, ἀλλ' οἱ μὲν αὐτίκα οὐδὲ πρὸς βραχὺ ἀντέχοντες αὐθημερὸν ἀπέθνησκον, ἔνιοι δὲ καὶ αὐθωρόν· ὅσοι δὲ ἐπὶ δυσὶν ἀντεῖχον ἢ τρισὶν ἡμέραις, πρῶτα μὲν πυρετῷ κατείχοντο λαβροτάτῳ, καὶ ἐς τὴν κεφαλὴν τοῦ νοσήματος ἐμπίπτοντος, ἀφωνίᾳ κατείχοντο καὶ ἀναισθησίᾳ πρὸς πάντα τὰ γινόμενα, καὶ ὥσπερ πρὸς ὕπνον κατεφέροντο βαθύν. ἢν δέ που ἀνανήψειαν, φθέγγεσθαι μὲν ἐβούλοντο, δυσκίνητος
D δὲ ἡ γλῶσσα ἦν καὶ ἀδιάρθρωτα τὰ πολλὰ ἐφθέγγοντο, τῶν
V. 586 περὶ τὸ ἰνίον νεύρων νεκρωθέντων, καὶ τάχιστα ἀπέθνησκον. ἑτέροις δὲ οὐκ εἰς τὴν κεφαλὴν, ἀλλ' εἰς τὸν πνεύμονα ἐμπίπτον τὸ κακὸν, φλόγωσίς τε ἦν αὐτίκα πρὸς τὰ ἔνδον, καὶ δριμείας ἐνεποίει ἀλγηδόνας περὶ τὰ στήθη· ὕφαιμόν τε πτύελον ἀνέπεμπον καὶ πνεῦμα ἄτοπον ἀπὸ τῶν ἔνδον καὶ δυσῶδες· ἥ τε φάρυγξ καὶ ἡ γλῶσσα καταξηραινόμενα ὑπὸ τοῦ καύσωνος, μέλανα καὶ αἱματώδη ἦσαν· καὶ ποτὸν τό τε πλέον καὶ τὸ ἔλασσον ἐν ὁμοίῳ καθειστήκει· καὶ ἡ ἀγρυπνία

7. οὐκ ἤρκει M. mg. 9. ἀντίσχοντες M. mg.

est. Sic autem erat incurabile malum, ut neque ulla diaeta, neque robur corporis posset resistere, cum omnia, aeque valida, ut imbecilla corpora, prosterneret, quique maxima impensa curabantur, non secus, ac pauperrimi, moriebantur. Et vacabat quidem a morbis ceteris annus ille. Quodsi quis etiam ante aliquantum aegrotaret, omnia in illud morbi genus se exonerabant. Mussabat ars medicorum tota. Nec similiter omnes occupabat, sed alii quidem continuo nec paulum durantes, ipso die, quidam ipsa hora ponebant animas. Quotquot autem biduum triduumve restitissent, primum quidem febrim habebant acutissimam, et morbo caput invadente, elingues et ad omnia, quae fierent, stupidi reddebantur, ac velut somno profundo absorbebantur. Sin forte ad se redirent, loqui nitebantur illi quidem, sed haerescente lingua, multa inarticulata, nervis in occipitio emortuis, promebant, et exspirabant celerrime. Aliis non in caput, verum in pulmones malum incidens, mox praecordia inflammabat, et dolores acutos circum pectus afferebat, et sputa sanguine contacta eiiciebant, atque e visceribus spiritus tetrum foras odorem volvebat. Fauces et lingua calore exaruerant, nigra et suffusa sanguine: nec plus proficiebant, si multum, quam si parum biberent. Somno uti nullo poterant et undequaque ange-

ἐπέκειτο διὰ παντὸς καὶ ἀπορία πανταχόθεν ἦν ἐπί τε ταῖς A.C. 1347 ὠλέναις ταῖς ἄνω καὶ κάτω, οὐκ ὀλίγοις δὲ καὶ πρὸς τὰς σιαγόνας, καὶ ἑτέροις ἐν ἑτέροις μέρεσι τοῦ σώματος ἀποστάσεις P. 731 ἐγίνοντο, τοῖς μὲν μείζους, τοῖς δὲ ἐλάσσους, καὶ μέλαιναι φλυκτίδες ἀνεφύοντο. ἑτέροις δὲ ὥσπερ στίγματα μέλανα κατὰ παντὸς τοῦ σώματος ἐξήνθει, τοῖς μὲν ἀραιά τε καὶ διαφανέστερα, τοῖς δ' ἀμυδρότερα καὶ συνεχῆ· καὶ πάντες ὁμοίως ὑπὸ πάντων ἔθνησκον. τοῖς μὲν γὰρ τὰ πάντα ἐπεγίνετο, τοῖς δὲ πλείω ἢ ἐλάσσω, οὐκ ὀλίγοις δὲ καὶ ἓν τῶν πάντων ἤρκεσε πρὸς θάνατον· ὅσοι δὲ ἐκ πολλῶν ὀλίγοι ἠδυνήθησαν διαφυγεῖν, οὐκέτι ὑπὸ τοῦ αὐτοῦ κατείχοντο κακοῦ, ἀλλ' ἐν τῷ θαρσαλέῳ ἦσαν ἤδη. δὶς γὰρ οὐκ ἐπελάμβανεν, ὥστε καὶ κτείνειν· ἀποστάσεις δὲ ἐγίνοντο μεγάλαι B πρὸς τοῖς μηροῖς ἢ ἐν ταῖς ὠλέναις· ὧν τεμνομένων, σφάκελλος ἐξέῤῥει δυσώδης καὶ πολύς, καὶ τὸ νόσημα διεφορεῖτο εἰς ἐκεῖνο, τὴν διενοχλοῦσαν ὕλην ἀποῤῥίπτον. πολλοὶ δὲ καὶ ὑπὸ πάντων κατασχεθέντες, παρὰ δόξαν διεσώζοντο. ἦν δὲ ἐπικουρία οὐδεμία οὐδαμόθεν. ὃ γὰρ ἑτέρῳ συνήνεγκε, τοῦθ' ἑτέρῳ τὰ ἴσα πάσχοντι δηλητήριον ἐγίνετο· καὶ ἕτερος ἀφ' ἑτέρου θεραπείας ἀνεπίμπλαντο τῆς νόσου, καὶ τὴν πλείστην φθορὰν τοῦτο ἐνεποίει, καὶ πολλαὶ οἰκίαι ἐκενώθησαν τῶν οἰκητόρων, καὶ τῶν ἀλόγων τοῖς κυρίοις συναποθανόντων. δεινότατον δὲ ἦν ἡ ἀθυμία. ὁπότε γάρ τις αἴσθοιτο κάμνον- C

18. οὐδεμία om. P.

bantur. In brachiis supra et infra, non paucis item in maxillis, et quibusdam in aliis corporis partibus abscessus sive ulcera his maiora, illis minora exsistebant, et nigrae papulae enascebantur. Quibusdam velut atra stigmata per totum corpus erumpebant, aliis rariora magisque conspicua, aliis densiora et obscuriora: et omnes perinde ex his omnibus moriebantur. Nonnullis enim cuncta haec, aliis plura aut pauciora contingebant. Compluribus unicum tantummodo ex istis omnibus mortiferum erat. Quicumque vero de multis pauci evaserant, non amplius eo malo corripiebantur sic, ut etiam interirent: quamobrem rursus correpti, bene confidebant. Fiebant porro magni abscessus in femoribus aut in brachiis: quibus sectis, multa et foetida sanies effluebat, et morbus, turbante materia sic emissa, levabatur. Complures his omnibus obsessi, praeter opinionem convalescebant. Nec ullum undecumque certum auxilium inveniebatur. Quod enim uni salutare, alteri idem patienti venenum erat: alterque ab alterius curatione morbum indipiscebatur, et cumulabantur funera, quibus multae domus vacuabantur, cum et incolae et brutae animantes una cum dominis vitam redderent. Sed nihil erat desperatione miserabilius. Cum enim quis tam aegrum se sentiebat, spes nulla incolumitatis relinquebatur, ac despera-

A. C. 1347 τος ἑαυτοῦ, ἐλπὶς οὐδεμία σωτηρίας ὑπελείπετο, ἀλλὰ πρὸς
τὸ ἀνέλπιστον τραπόμενοι, προΐεντο σφᾶς αὐτοὺς καὶ ἀπέθνη-
σκον ἐν τῷ αὐτίκα, μεγάλην ῥοπὴν τῷ νοσήματι τὴν ἀθυμίαν
προστιθέντες. τὸ μὲν οὖν τῆς νόσου εἶδος τοιοῦτον κρεῖσσον
λόγου ἦν· ὅθεν καὶ μάλιστα ἐδεδήλωτο, οὐ τῶν συντρόφων
καὶ τῇ φύσει προσηκόντων τῶν ἀνθρώπων, ἀλλ' ἕτερόν τι ὂν
ὑπὸ θεοῦ τοῖς ἀνθρώποις ἐπενηνεγμένον πρὸς σωφρονισμόν·
καὶ πολλοὶ ἐκ τοῦ τοιούτου βελτίους τὴν ψυχὴν ἐγένοντο σω-
φρονισθέντες, οὐ μόνον οἱ τελευτήσαντες, ἀλλὰ καὶ ὅσοι πε-
D ριεγένοντο τῆς νόσου. πάσης γὰρ ἀπέσχοντο κακίας ἐν τῷ
τότε χρόνῳ καὶ ἀρετῆς ἐπεμελοῦντο· καὶ πολλοὶ τὰ ὄντα
πένησι διένειμον καὶ πρὶν τὴν νόσον εἰς αὐτοὺς ἐγκατασκῆ-
ψαι· εἰ δέ ποτε καὶ αἴσθοιντο αὐτοὺς κατεχομένους, οὐδεὶς
ἦν οὕτως ἀναλγήτως ἔχων, ὥστε μὴ μετάνοιαν ἐνδείξασθαι
τῶν πεπλημμελημένων καὶ πρὸς τὰ ἐκεῖ δικαιωτήρια μὴ πρό-
φασίν τινα παρασχεῖν τοῦ σωθήσεσθαι ὑπὸ θεοῦ, εἰ μὴ πά-
νυ ἀνιάτως εἶχε καὶ ἀθεραπεύτως τὴν ψυχήν. ὑπὸ τῆς τοι-
αύτης νόσου πλεῖστοί τε ἀπέθανον ἐν Βυζαντίῳ τότε, καὶ ὁ
βασιλέως παῖς Ἀνδρόνικος κατασχεθεὶς ἐτελεύτησε τριταῖος.
βασιλὶς δὲ ἡ μήτηρ, ἐπεὶ ἐπύθετο τοῦ παιδὸς τὴν τελευτήν,
P. 732 ὑπὸ σφοδροτάτης ἀλγηδόνος πληγεῖσα τὴν καρδίαν, διὰ βίου
ἀνεξάλειπτον ἔσχε τὴν μνήμην τοῦ παιδός. ἦν γὰρ οὐ μό-
νον ἀγαθὸς ἰδεῖν, ἀλλὰ καὶ πρὸς πάντα μάλιστα, ὅσα νέον
V. 587 οἶδε κοσμεῖν, ἔχων εὐφυῶς καὶ μεγάλας ἐλπίδας ὑποφαίνων

bundi semet ipsos abiiciebant, morbumque non mediocriter ista deiectione tristitiaque augentes, repente animas efflabant. Species igitur ista luis satis exprimi verbis non potest. Unde maxime intellectum est, non humanae naturae quiddam agnatum et conveniens, sed divinitus immissam castigationem fuisse: multique inde ad sanitatem mentis conversi, meliores evaserunt, non illi modo, qui ea peste morte occubuerunt, sed quotquot ea liberati vitam retinuerunt. Tunc enim vitiis omnibus desertis, virtuti studebant, et multi facultates suas in pauperes distribuebant, etiam priusquam a morbo illo invaderentur. Quo si se affectos deprehenderent, nemo tam lapideus erat animoque plane immedicabili atque insanabili, ut non poenitentiam de peccatis suis prae se ferens, Deo apud tribunal illud sui salvandi aliquam occasionem daret. Hac pestilentia Byzantii quam plurimi, et filius imperatoris Andronicus tertio die interiit. Imperatrix mater, ubi de obitu filii comperit, vehementissimo dolore animum percussa, quamdiu superavit, infixam in medullis eius memoriam circumtulit. Erat quippe non solum forma liberali, sed ad omnia item, quae nosset adolescentiae ornamenta, natura habilis in primis et idoneus, imitandorumque parentum spem

τοῦ τῶν γεγεννηκότων ἄξιον ἑαυτὸν ἀποφανεῖν. μετὰ τοῦτο A. C. 1347 δὲ ὁ βασιλεὺς βασιλέα τὸν γαμβρὸν ἔχων, πρὸς τὰς τῆς Θρᾴκης ἐξῄει πόλεις καὶ πάσας περιῆλθε, τοῦτο μὲν βασιλέα πᾶσιν ἐμφανίζων ἄχρι τότε ἀγνοούμενον ταῖς πόλεσι, καὶ πᾶσιν ἔργοις αὐτοῖς κατάδηλον ποιῶν, ὡς τὴν πατρῴαν βασιλείαν ὁ νέος διαδέξοιτο βασιλεύς, τοῦτο δὲ πρὸς τοὺς πόνους στρατιώτῃ πρέποντας ἀσκῶν. ἥδετό τε κατάκρας ὁ πρεσβύτερος βασιλεὺς ὁρῶν τὸν νέον ἐπιτηδείως ἔχοντα πρὸς τὰς στρατείας καὶ μεγάλα ἐπαγγελλόμενον ἐκ τῶν παρόντων. ἀλύπως γὰρ καὶ ἱλαρῶς τούς τε πόνους ἔφερε, καὶ τῆς διαίτης τὴν ἐναλλαγήν, καὶ πάντα ἔπραττεν ὁμοίως τοῖς εἰθισμένοις ἐκ πολλοῦ.

θ'. Αὖθίς τε εἰς Βυζάντιον ἀναστρέψας ὁ βασιλεύς, C πρὸς τὸν Ῥώμης ἐπίσκοπον Κλήμεντα τόν τε Σπανόπουλον Γεώργιον τὸν πρωτοβεστιαρίτην καὶ Σιγηρὸν τὸν πραίτωρα τοῦ δήμου, καὶ ἐκ τοῦ Λατίνων γένους Φρανσὲς ὄνομά τινα, πολὺν ἤδη χρόνον δεδουλευκότα βασιλεῖ, τῶν ἐπιτηδείων δ' ὄντα καὶ γνωρίμων πάπᾳ, πρέσβεις ᾑρεῖτο. ἡ πρεσβεία δὲ ἦν, ἅμα μὲν ἀπαλείφουσα τῆς πάπα ψυχῆς τὰς περὶ βασιλέως προσπεσούσας φήμας. ᾔδει γὰρ αὐτὸν περὶ αὐτοῦ ἀκηκοότα, ὡς κατὰ τὸν τοῦ πολέμου χρόνον βαρβάροις χρήσαιτο D συμμάχοις, ἀναιροῦσι καὶ ἐξανδραποδιζομένοις ὁσημέραι τοὺς Ῥωμαίους. διὸ περὶ πλείονος ἐποιεῖτο τὰς αἰτίας τῶν συμβεβηκότων πάπαν καταμαθεῖν, καὶ ὡς ἀνάγκη διὰ τὸν περι-

6. τοὺς om. P. 9. ἀλύτως P. 16. Φρανὲς M.

non modicam sustinebat. Post haec imperator cum genero imperatore urbes Thraciae singulas obivit, partim ut eum hactenus ignotum omnibus ostenderet, et ipso opere palam declararet, iuniorem imperatorem paternum excepisse imperium, partim ut eundem ad laborem militarem assuefaceret; quem cum militiae aptum et e praesentibus indiciis magna in futurum pollicentem animadverteret, gaudio exsultabat incredibili. Etenim citra molestiam hilariterque labores et mutationem victus tolerabat, et omnia quasi ex diuturna consuetudine faciebat.

9. Reversus Constantinopolim imperator, ad Clementem, episcopum urbis Romae, Georgium Spanopulum, protovestiarium, et Sigerum, praetorem populi, et de Latinis Franciscum quendam nomine, veterem ministrum suum, papae notum ac familiarem, legatos deligit. Legationis capita erant, ut deleret ex animo eius, quam de eo opinionem ille conceperat. Non enim ignorabat auditum a Romano pontifice, quomodo belli tempore barbarorum usus esset auxilio, qui Romanos occidissent et captivos rapuissent quotidie. Idcirco nimiopere desiderabat papam causas eorum, quae gesta erant, edocere,

A. C. 1347 σχόντα πόλεμον ἐπὶ τοιαῦτα ἔλθοι, ἀλλ' οὐ τὴν κοινωνίαν
τῶν βαρβάρων ἀσπαζόμενος. ἔπειτα ἐδεῖτο καὶ τὴν μελετωμένην ὑπ' αὐτοῦ πάπα καὶ τῶν κατὰ τὴν Ἰταλίαν καὶ τὴν
ἄλλην ἑσπέραν κατὰ τῶν βαρβάρων ἔφοδον τῶν πολεμίων τῷ
P. 733 στρατηγῷ ἐπ' αὐτοῦ νυνὶ γεγενῆσθαι. ἥδεσθαί τε γὰρ μάλιστα ἐπὶ τῇ ἐκείνων ἀπωλείᾳ καὶ φθορᾷ καὶ αὐτὸν τὰ μέγιστα συνεργήσειν, οὐ μόνον διάβασιν παρέχοντα τῇ στρατιᾷ πρὸς τὴν Ἀσίαν ἄπονον, ἀλλὰ καὶ αὐτὸν συμπαρόντα μετὰ τῆς στρατιᾶς καὶ συναγωνιζόμενον προθύμως. τῶν μὲν γὰρ ἄλλων πλεονεκτημάτων τοῖς πρὸ αὐτοῦ βεβασιλευκόσι ῥᾷστα ἂν παραχωρήσειε· προθυμίας δὲ τῆς περὶ τὰ καλὰ καὶ τοῦ βούλεσθαι τοὺς βαρβάρους ἐπιδεῖν πάσχοντας ἀντίῤῥοπα τοῖς τολμηθεῖσι κατὰ Χριστιανῶν ἐπὶ τοσοῦτον χρόνον, οὐδενί. ἡ μὲν οὖν πρεσβεία τοιαύτη ἦν, καὶ πάντα ἐτελεῖτο κατὰ γνώμην βασιλεῖ. διαλεγομένων γὰρ τῶν πρεσβέων τῷ πάπᾳ περὶ ὧν ἧκον, ἐκεῖνος τὸν λόγον ἀναλαβὼν, πάντα διηγεῖτο
B ἀκριβῶς, ὥσπερ ἂν αὐτὸς παρὼν τοῦ πολέμου τελουμένου. θαυμαζόντων δὲ τῶν πρεσβέων καὶ πυνθανομένων, ὅθεν εἰ-
V. 588 δείη ταῦτα ἀσφαλῶς, παρὰ Ζαμπαίας τῆς ἐκ Σαβωΐας ἔφασκεν ἀκηκοέναι βασιλίδι συμπαρούσης ἐν Βυζαντίῳ ἀπ' ἀρχῆς μάλιστα τοῦ πολέμου ἄχρι τέλους· ἣ μετὰ τὸ βασιλέα Βυζάντιον ἑλεῖν, ἀπαίρουσα εἰς τὴν οἰκείαν, πάντα διηγεῖτο ἀκριβῶς τῷ πάπᾳ συντυχοῦσα, ὡς ἐγένετο, μηδὲν ἀποκρύψασα τῆς ἀληθείας. ἐπῄνει τε ὁ πάπας βασιλέα καὶ ὑπερηύ-

6. καὶ φθορᾷ om. P. 22. οἰκίαν P.

nempe, bello premente, necessario id fecisse, non quod communionem barbarorum amplecteretur. Deinde rogabat, quam ipse papa et cum eo Italiae et occidentis principes contra barbaros crucis hostes expeditionem meditati essent, se nunc imperatore susciperent. Plurimum enim se illorum peste et internecione laetari, seque adiutorem fore maximum, non solum transitum expeditum exercitui in Asiam concedendo, sed cum suis quoque copiis proficiscendo et una certamen cupide obeundo. Aliis enim praerogativis antecessoribus suis imperatoribus libentissime cedere, alacritate autem ad res honestas et desiderio videndi barbaros eadem pati, quae Christianis tam diu nefarie intulissent, nulli cedere. Legatio ita se habebat, et ibant ex sententia imperatoris omnia. Cum enim legati exposuissent papae, quorum gratia venerant, ille exorsus, omnia bello gesta tam exacte, quam si coram affuisset, recensebat. Mirantibus legatis ac percunctantibus, unde haec illi tam certa notitia, a Zampaea, Sabaudiensi femina, quae in comitatu imperatricis inde ab exordio belli usque ad extremum versata esset, se accepisse dixit: quae, capto Byzantio, in patriam remigrans, penitus omnia sibi uti contigissent, diligenter enarrasset: lau-

χετο αὐτοῦ, ὅτι πολεμηθεὶς ἀδίκως οὕτω καὶ διαβληθεὶς ὑπὸ A. C. 1347
συκοφαντῶν καὶ τοσαῦτα ἐνεγκὼν δεινὰ κατὰ τὸν πόλεμον,
ἐπειδὴ τοῖς ὅπλοις περιεγένετο τῶν ἀντισχόντων, οὐδὲν μι- C
κρόψυχον ἔπαθεν, οὐδ' ἀγεννές· οὐδὲ ἐμνησικάκησε τοῖς κα-
κοῖς περὶ αὐτὸν γεγενημένοις, καὶ ταῦτα ὑπ' ἐκείνου πρότε-
ρον πολλὰ εὐεργετηθεῖσιν, ἀλλὰ βασιλίδι τε καὶ τοῖς παισὶν
ἄξιος ὤφθη ἑαυτοῦ καὶ τῆς βασιλέως τοῦ φίλου περὶ αὐτὸν
σπουδῆς, καὶ τοῖς ἄλλοις ἅπασιν ὁμοίως ἥμερος καὶ προση-
νής, οὐ μόνον τῶν τετολμημένων δίκας μηδένα ἀπαιτήσας,
ἀλλὰ καὶ φιλοτίμως εὐεργετῶν ἐξ ἀντιστρόφου. μάλιστα
δὲ ἐπῄνει τὸ τὴν θυγατέρα συναρμόσαι βασιλεῖ τῷ νέῳ καὶ
τὴν πατρῴαν ἀποδοῦναι βασιλείαν. φιλοτιμότατά τε ὁ πάπας
περὶ τοὺς βασιλέως πρέσβεις διατεθεὶς ἐν προεδρίαις καὶ προ-
πομπαῖς καὶ ὑπαντήσεσι καὶ τοῖς ἄλλοις τοῖς προσήκουσιν, D
ἔπειτα ἀπέπεμπε, καὶ πρέσβεις δύο τῶν ἐπισκόπων συνεκ-
πέμψας, ὧν ὁ ἕτερος τοῦ μενουρίων τάγματος ἦν Γελίελμος
προσαγορευόμενος, Οὔγα δὲ Σπὲρτ ὁ λοιπὸς ἐκαλεῖτο ἐκ τῶν
κηρύκων προσαγορευομένων ὤν, ἀρετῆς τε μάλιστα ἀντιποι-
ούμενοι καὶ τὴν θύραθεν σοφίαν εἰς ἄκρον μεμελετηκότες·
δι' ἃ καὶ μάλιστα ἡδεῖς ἦσαν ἐν ταῖς συνουσίαις καὶ πιθανοὶ
πρὸς διαλέξεις. οὓς ὁ βασιλεὺς μετὰ πολλῆς ἐδέξατο τῆς
εὐμενείας καὶ τῆς τιμῆς, καὶ ἡδέως ὡμίλει ὁσημέραι καὶ συν-
ῆν, αὐτοί τε προὔργου παντὸς ἐποιοῦντο τὸν χρόνον, ὃν αὐ-

17. Οὔγγα P.

dabatque et in coelum tollebat imperatorem, qui adeo iniuste armis oppugnatus et calumniis ita vexatus et bello tam multa indigna perpessus, post devictos hostes nihil parum ingenuum, aut pusilli animi prae se tulisset, neque malus sibi malis, ac praesertim antea tot a se beneficiis affectis, fuisset: sed cum Augusta et filiis eius cum ut semet, tum ut studio illo imperatoris amici erga se dignum erat, egisse visus esset, et in alios omnes similiter sese mitem ac placidum, non solum commissorum poenas a nemine reposcendo, sed contra studiose benefaciendo praestitisset. Illud vero in prima laude ducebat, quod imperatori adolescenti filiam copulasset paternumque imperium ei restituisset. Tractatis autem legatis honorificentissime, in primis sedibus, in deductionibus, in decessionibus de via et aliis, quibus decuit, eos tandem dimisit cum duobus episcopis, quorum unus erat ordinis Minorum, Guilielmus nomine, alter ex praedicatorum familia, Hugo de Spert vocabatur, uterque virtuti deditissimus et in profanis litteris apprime versatus. Quare et in congressu erant festivissimi et poterat multum eorum ad persuadendum sermo. Quos imperator perbenevole et magno cum honore excepit, quotidieque cum illis iucunde collocutus est; ipsique operae pretium maximum

A. C. 1347 τῷ συνῆσαν, ὅσα ἐπ' ἐκείνου προβληθείη καθημέραν, καὶ οἷα
P. 734 περὶ τῶν προβλημάτων διαλεχθείη γράφειν, ἵνα μὴ λάθῃ, τῆς
μνήμης ἐκρυέντα. ἃ εἰς Ἰταλίαν ἀγαγόντες καὶ πάπᾳ τε καὶ
τοῖς ἐκεῖσε διαδόντες σοφοῖς, μέγαν ἐκ τούτων ἀπεδείκνυον βα-
σιλέα, καὶ ἀπὸ γλώττης οὐκ ὀλίγα ἐξηγούμενοι αὐτοί. ταῦ-
τα μὲν οὖν ὕστερον. τότε δὲ μετὰ τὴν ἄφιξιν μικρὸν ἀπήγ-
γελλον βασιλεῖ τὰ περὶ τῆς πρεσβείας. τὰ δὲ ἦν πρῶτα μὲν
εὐχαριστίαι καὶ εὐχαὶ τῆς περὶ βασιλέα τὸν νέον κηδεμονίας
καὶ βασιλίδα τὴν μητέρα, ὅτι ἃ μηδ' ἄν τις προσεδόκησε με-
τὰ τὸν τοσοῦτον πόλεμον καὶ τὴν ἄσπονδον ἐκείνην ἔχθραν καὶ
τὴν πρὸς αὐτὸν ἀγνωμοσύνην τῶν διαβαλόντων, οὐ πρὸς τὰ
B γεγενημένα εἶδεν, ἀλλ' ἀρκεῖν ἡγήσατο τὸ τῶν πρὸς τὸν πό-
λεμον αἰτίων ὀφθῆναι μόνον καθαρόν. αὐτὸς δὲ, ὥσπερ οὐ-
δενὸς μεταξὺ καινοῦ γεγενημένου, τὸ ἀρχαῖον ἦθος διεσώσα-
το, καὶ τὴν περὶ τοὺς βασιλέως παῖδας εὐγνωμοσύνην καὶ
κηδεμονίαν, ἣν εἶχεν ἐξαρχῆς εὐθὺς μετὰ τὴν ἐκείνου τελευ-
τήν. ἔπειτα δὲ καὶ τὴν κατὰ τῶν βαρβάρων ἔφοδον ἐμήνυε
καὶ τοῖς ἄλλοις μὲν τοῖς πρὸ αὐτοῦ Ῥώμης ἐπισκόποις εἶναι
περισπούδαστον, μᾶλλον δὲ αὐτῷ τῶν ἄλλων εἶναι κατὰ γνώ-
μην καὶ πολλοῖς πολλάκις περὶ τούτου διειλέχθαι τῶν κατὰ
τὴν Ἰταλίαν δυναστῶν, καὶ πάντας παρακαλεῖν ἐπὶ τὸ ἔργον
κοινῇ πρὸς τὴν ἐλευθερίαν ἀπὸ τῶν βαρβάρων τῶν Χριστια-
C νῶν ἐσόμενον, καὶ αὐτὸν ἕτοιμον εἶναι καὶ χρήματα παρέ-

5. οὐκ ὀλίγα om. M. 10. τὸν om. M.

duxerunt omnia, quae is in dies singulos proposuisset et super propositis disseruisset, toto illo tempore, quo apud eum mansissent, litteris consignare, ne e memoria elaberentur. Quae in Italiam secum portantes ibique et papae, ut viris sapientibus exhibentes, quantus vir esset, ostendebant, et ore ipsi nihilo minus eius laudes praedicabant. Verum haec posterius facta sunt. Tum vero sub adventum suum legationem explicant, cuius haec erat summa. Primum cum bonis omnibus gratias agunt, quod iunior imperator eiusque mater illi curae sint: cum, quae nemo unquam exspectasset, post tam saevum bellum et inimicitias implacabiles et criminatorum in illum scelus non ad praeterita respexerit, sed satis esse existimarit, si tantum belli causarum purus videretur, et quasi nihil novi intervenisset, pristinis moribus vixerit, statimque a morte imperatoris Andronici benignam voluntatem ac sollicitudinem erga eius filios susceperit. Praeterea quod de bello barbaris inferendo animum suum significarit. Et aliis quidem ante ipsum Romanis episcopis fuisse id optatissimum; sibi tamen longe magis, crebroque ac multum super eo cum Italiae dynastis egisse omnesque hortatum communiter ad opus, unde Christianorum libertas a barbaris asseratur, et quod ad

χειν καὶ στρατιάν, ὅσην ἂν μάλιστα ἐξῇ, καὶ μεγίστην πρὸς A. C. 1347
τὸν πόλεμον παρέχεσθαι συντέλειαν. νυνὶ δὲ καὶ μᾶλλον
ὑπὸ τῶν αὐτοῦ λόγων καὶ τῆς πρεσβείας ἐξωρμῆσθαι, καὶ
χάριν αὐτῷ εἰδέναι ὑπὲρ τῆς προθυμίας, ἧς ἐνδείκνυται, τοῖς
βαρβάροις ὑπὲρ τῶν τὴν εἰς Χριστὸν πίστιν ἑλομένων τὸν
πόλεμον ἐπεγείρων. εἰ δὲ πρὸς τοῖς ἄλλοις ἀγαθοῖς, ὧν αἴ- V. 589
τιος σπουδάζει Ῥωμαίοις καταστῆναι, καὶ τῶν ἐκκλησιῶν πρα-
γματεύσαιτο τὴν ἕνωσιν, καὶ δι' αὐτοῦ τὰ διεστηκότα τοῦ
Χριστοῦ μέλη συναφθείη, οὐκ ἀνθρώποις μόνον πᾶσιν, ἀλλὰ
καὶ ταῖς οὐρανίοις δυνάμεσι καὶ αὐτῷ θεῷ μεγάλης ἂν εὐ-
φροσύνης αἴτιος κατασταίη. τοιαῦτα μὲν ὁ πάπας διὰ τῶν
ἐπισκόπων ἐπρεσβεύετο. βασιλεὺς δὲ καὶ αὐτὸς πρῶτα μὲν D
τῷ πάπᾳ χάριτας ὡμολόγει τῆς τε περὶ αὐτὸν εὐνοίας καὶ
τοῦ κατὰ βαρβάρων τῶν Χριστιανοῖς ἐχθρῶν ῥᾳδίως ἐξωρ-
μῆσθαι. αὐτόν τε διπλῇ διὰ τὸν κατὰ τῶν βαρβάρων ἔλεγε
χαίρειν πόλεμον, τοῦτο μὲν ὡς ὑπὲρ τῆς κοινῆς τῶν ἀπὸ
Χριστοῦ καλουμένων ὠφελείας ἔσοιτο, τοῦτο δ' ὅτι κοινωνὸς
ἔσται καὶ αὐτὸς τοῖς τὸν καλὸν ἀγῶνα τοῦτον ἀγωνισομένοις.
οὕτω γὰρ εἶναι παρεσκευασμένος, ὡς καὶ ναυσὶ καὶ χρήμασι
καὶ ὅπλοις καὶ ἵπποις καὶ πᾶσιν, οἷς ἔχει, κατ' ἐκείνων ἐξορ-
μήσων, κέρδος μέγιστον ἡγούμενος τὸ ὑπὲρ τῶν τοιούτων ἀ-
γωνιζόμενος ἀποθανεῖν. περὶ δὲ τῶν διεστηκότων τοῦ Χρι- P. 735
στοῦ μελῶν τῆς ἑνώσεως καὶ ἁρμονίας καὶ τῆς εἰρήνης τῶν

5. τὴν om. P.

se attineat, ad pecuniam et copias, quantas maximas possit, omninoque ad sumptus non modicos pro sua parte conferendos paratum esse. Nunc etiam amplius eius legatorumque verbis exarsisse, et gratias agere, cum se ad barbaros pro Christi fidelibus expeditione lacessendos adeo propensum demonstret. Quodsi praeter alia bona, quae Romanis conciliare enitatur, etiam ecclesias concordia devincire conetur, ut divulsa Christi membra per eum conglutinentur, non hominibus dumtaxat universis, sed coelestibus etiam potestatibus ipsique Deo id magnae voluptati futurum. Hactenus papa per legatos episcopos. Imperator illi gratias agere de benevolentia, et quod ultro contra barbaros Christianorum inimicos exarsisset, seque dupliciter hoc bello laetum esse: tum quia pro communi Christianorum utilitate gerendum sit, tum quia et ipse tam pulchrum hoc certamen certantium socius et commilito futurus sit. Sic enim se statuisse, et classe et sumptibus et armis et equis et quibuscumque possit rebus illos invadere: putareque se fore beatissimum, si in tali causa oppetere mortem contingat. Quanto autem distractorum Christi membrorum coniunctio atque concentus et pax ecclesiarum sibi desiderio ac studio sit, verbis se effari haud posse.

A. C. 1347 ἐκκλησιῶν ὅσην ἔχει τὴν ἔφεσιν καὶ τὴν σπουδὴν, οὐδὲ λόγοις
δύνασθαι καταφανὲς ποιεῖν. πλὴν οὕτως εἶναι καὶ πρὸς ταῦ-
τα παρεσκευασμένον, ὥστ', εἰ δεήσειεν αὐτὸν ὑπὲρ τῆς ὁμο-
νοίας ἀποσφαγῆναι, οὐ μόνον ἐμπαρέξειν ἑαυτὸν προθύμως,
ἀλλὰ καὶ μάχαιραν προσεπιδοῦναι· ἢ εἰ δόξειε καυθέντα
διὰ τῆς τέφρας τοῦ ἐκείνου σώματος τὴν ἕνωσιν ταῖς ἐκκλη-
σίαις βραβευθῆναι, αὐτὸν ἐπὶ τὴν πυρὰν πρῶτον ἐπιθεῖναι
ξύλα, δι' ὧν ἐκτεφρωθῆναι περιέσται. δέον μέντοι τοῦτο
τὸ μέγα τε καὶ θαυμάσιον καὶ τῶν ἄλλων ἀντάξιον πάντων
B ἔργον μὴ ἁπλῶς οὕτω καὶ εἰκῇ καὶ ἀπερισκέπτως γίνεσθαι,
ἀλλὰ πολλῆς πρότερον ἐρεύνης ἀξιώσαντας καὶ πᾶσαν σπου-
δὴν ἐνδειξαμένους περὶ τοῦ ὄντος ἀγαθοῦ, οὕτω χωρεῖν ἐπὶ
τὴν αἵρεσιν τῶν δοκούντων ὀρθῶν καὶ ἀσφαλῶν περὶ τὴν πί-
στιν. ἄτοπον γὰρ περὶ ἐπιγείων μέν τινων βουλευομένους,
ὧν μικρά τε ἡ ὄνησις ἐπιτυχοῦσι καὶ ἡ ζημία σφαλεῖσι φαυ-
λοτέρα, περὶ ταῦτα μὲν πᾶσαν ἐνδείκνυσθαι σπουδὴν, μὴ τοῦ
δοκοῦντος ἀγαθοῦ διαμαρτεῖν, περὶ οὐρανίων δὲ τοῦ λόγου
ὄντος καὶ τῶν περὶ τὴν πίστιν ἀπλανῶν δογμάτων, τούτων
C ὀλίγην τινὰ ποιεῖσθαι τὴν φροντίδα καὶ μόνοις ἑαυτοῖς θαῤ-
ῥεῖν πρὸς τοσοῦτον γνώσεως ὕψος ἐξαρκέσειν. τοῦτο γὰρ εἶ-
ναι τοῦτο, ὃ καὶ τὴν διάστασιν ἐνεποίησε ταῖς ἐκκλησίαις ἐξ
ἀρχῆς. εἰ γὰρ οἱ πρώτως τὰ νῦν ὑπὸ τῆς Ῥωμαίων ἐκκλη-
σίας πρεσβευόμενα δόγματα ἐξενεγκόντες μὴ ἐθάῤῥησαν ἑαυ-

4. ἀποφαγῆναι P. 8. μὲν τοιοῦτο M. pro μέντοι τοῦτο.

Enimvero ad hoc tantopere ferri sese et incitari, ut si pro concordia interfici oporteret, non solum interficienti iugulum, sed et gladium alacriter ipse porrigere vellet: aut si putaretur ipse exustus per cineres corporis sui ecclesiis consensum conspirationemque tributurus, ipsum se ante alios ligna in pyram, qua in cinerem redigeretur, impositurum. Attamen tale tamque magnum et admirabile et unum instar omnium opus non ita indiligenter ac temere et inconsulto fieri, sed antegressa indagatione multa omnique sedulitate ad vere bonum cognoscendum adhibita, sic demum ea eligere oportere, quae fidem germanam et tutam complecti videantur. Ineptum quippe ac turpe videri, de quibusdam fluxis et caducis consilia agitantes, quae et adeptis haud ingens emolumentum, et frustratis leve damnum pariunt, in illis nullam diligentiae partem omittere, ne, quod bonum apparet, amittatur, cum de coelestibus et de veritate dogmatum fidei quaestio est, parva tangi sollicitudine, et fidere tibi soli, perinde ac si per te ad tam sublimem cognitionem sis idoneus. Hoc enim, hoc esse, unde a primordio in ecclesia dissensio manaverit. Si enim, qui primi doctrinam, quae nunc apud Romanam ecclesiam viget, intulerunt, non sibi tantum arrogassent, neque alios

τοῖς, μηδὲ τῶν ἄλλων κατεφρόνησαν, ἀλλ' εἰς μέσον προὔθη- A.C. 1347
καν τοῖς ἄλλοις τῶν ἐκκλησιῶν προστάταις ἐξετάζειν, οὐκ ἂν
ἄχρι τοσούτου τὸ κακὸν προὐχώρησεν, οὐδὲ τὰ Χριστοῦ διή-
ρητο μέλη καὶ ἐκπεπολέμωτο ἀλλήλοις. ἢ γὰρ, εἰ καλῶς εἶ-
χεν, ὑπὸ πάντων ἂν ἐστέρχθη καὶ οὐδεμία ἀμφισβήτησις ἐγί-
νετο περὶ τῶν πᾶσιν ὁμοίως ὡμολογημένων, ἤ, εἴ τι τοῦ κα- D
λῶς ἔχοντος ἐφαίνετο ἐκπίπτοντα, πᾶσιν ὁμοίως λήθης παρε-
πέμφθη καὶ σιγῆς βυθῷ. ἀρχαῖος δὲ ὁ τρόπος καὶ τοῖς πρώ-
τοις τοῦ εὐαγγελίου κήρυξι τετιμημένος. καὶ γὰρ καὶ Παῦ-
λος ἐκοινοῦτο τοῖς ἀποστόλοις τὸ εὐαγγέλιον, δεδοικώς, φησι,
μὴ εἰς κενὸν τρέχει, ἃ μὴ φίλα καταγγέλλων θεῷ, καίτοι γε εἰς
τρίτον οὐρανὸν ἁρπαγεὶς καὶ μυσταγωγηθεὶς τὰ ἄῤῥητα. καὶ
βασιλεῖ γὰρ τῷ πρώτῳ Παλαιολόγων Μιχαὴλ τοῦτο τετολ-
μημένον οὐ συνήνεγκεν, ἀλλὰ χεῖρον γέγονε τὸ ῥῆγμα, καὶ ἡ
διάστασις χαλεπωτέρα. δι' ἃ οὐδὲ αὐτὸς οἴομαι πεισθήσε- V. 590
σθαί ποτε πρὶν οἰκουμενικὴν σύνοδον ἀθροισθεῖσαν τὸ δοκοῦν P. 736
ἀσφαλὲς ἀποφήνασθαι περὶ τὴν πίστιν, ἐπιχειρήσειν αὐτός
τε προσέχειν καινοτομίαις, καὶ βιάζεσθαι τοὺς ἄλλους, οὐ
διὰ τὴν ἐκκλησίαν μόνον καὶ τὸ Χριστιανῶν ἅπαν πλήρωμα,
ἀλλὰ καὶ δι' ἐμὲ αὐτόν. καὶ γὰρ οὕτως ἔχω, ὡς πᾶσι μὲν
πεισθησόμενος, ἅττα ἂν ὑπὸ κοινῆς γνώμης τῶν ἀρχιερέων
περὶ τῆς πίστεως ἐπιψηφισθείη, τούτου δὲ ἀπόντος, καινο-
τομίᾳ οὐδεμιᾷ προσέξω. οἴομαι δὲ καὶ τοὺς ἀρχιερέας ἅ-

4. κακῶς P. 23. προσέξων P.

vilipendissent, sed in medium ab aliarum ecclesiarum rectoribus discutiendam proposuissent, tantum mali non vidissemus, neque distracta Christi membra sibi bellum intestinum indixissent. Aut enim ut pura puta ab universis absque refragatione accepta fuisset, (quippe quam communis consensus approbasset,) aut si a recto nonnihil devia, ob omnibus aequaliter oblivioni altoque silentio maudata fuisset. Vetus est hic mos et a primis Evangelii praeconibus in pretio habitus. Nam et Paulus, quantumvis in tertium coelum raptus et arcana mysteria edoctus, Evangelium suum cum Apostolis communicavit, „Timens," inquit, „ne in vacuum curram, annuntians, quae Deo non placent." Quin et primo ex Palaeologis imperatoribus Michaëli hic ausus non profuit: deterius enim schisma et perniciosius consecutum est dissidium. Quare nec mihi aliquando persuaderi patiar, ut, antequam congregata synodus oecumenica, quae secure credenda sint, decernat, etiam ipse novitates consecter et alios ad id cogam: idque non propter ecclesiam et universitatem Christianorum modo, sed et propter me ipsum. Etenim sic sum comparatus, ut credere velim omnia, quae commune episcoporum iudicium et sententia de fide constituerit: extra hoc nulli me novitati

A. C. 1347 πάντας καὶ τοὺς ἄλλους τοὺς δογμάτων τῶν τῆς ἐκκλησίας τροφίμους πρὸς τοῦτο μὲν ἔσεσθαι προθύμους μάλιστα· ἂν δὲ βιάζοιντο ἀρχικῶς, τὰ ὦτα βύσαντας, μηδὲ τῆς πρώτης ἀνέξεσθαι φωνῆς. καίτοι γε οὐδὲ παρ' ὑμῖν ἐμὲ ἀξιόχρεων B ἐγὼ νομίζω ἔσεσθαι πρὸς πίστιν περὶ τῶν μελλόντων, εἰ ῥᾳδίως οὕτω καὶ ἀνεξετάστως ἐπὶ τὰ δοκοῦντα δόγματα ὑμῖν μεταχωρήσω. ὁ γὰρ τοῖς ὑπὸ τῶν προγόνων παραδεδομένοις καὶ οἷς συντέθραπτο αὐτὸς, μὴ πάνυ προσέχων ἀσφαλῶς, ἀλλ' ἐξ ἑτοίμου προϊέμενος, τίνα ἂν ἔχοι περὶ τῶν προσφάτων πίστιν; δι' ἃ νομίζω δέον εἶναι, εἴγε καὶ ὑμῖν συνδοκεῖ, περὶ τῶν οὕτω μεγάλων σύνοδον οἰκουμενικὴν, ἐν ᾗ οἵ τε ἑῷοι καὶ οἱ ἑσπέριοι παρέσονται ἀρχιερεῖς, γενέσθαι. τούτου δὲ γεγενημένου, πιστὸς ὁ θεὸς, ὃς ἡμᾶς οὐκ ἐάσει τῆς ἀληθείας ἀποπλανηθῆναι. εἰ μὲν οὖν ὥσπερ πρότερον ὑπὸ τὴν Ῥω- C μαίων βασιλείαν ἥ τε Ἀσία καὶ Εὐρώπη διετέλει, παρ' ἡμῖν ἔδει τὴν σύνοδον ἀθροισθῆναι. ἐπεὶ δὲ τοῦτο νῦν ἀδύνατον, (ὅ,τε γὰρ πάπας ἐνταῦθα ἀφικέσθαι ἀδυνάτως ἔχει, ἐμοί τε οὐ ῥᾴδιον τοσοῦτον ἀποστῆναι τῆς ἀρχῆς διὰ τοὺς συνεχεῖς πολέμους καὶ τοὺς πανταχόθεν ἐπιόντας ἡμῖν βαρβάρους τε τοὺς ὁμόρους καὶ τοὺς ἄλλους δυνάστας, οἳ περὶ τὴν πίστιν ἡμῖν οὐδὲν διαφερόμενοι, ὅμως πολέμιοί εἰσιν,) εἰ καὶ τῷ πατρὶ συνδόξειε πάπᾳ, πρός τι τῶν παραλίων ἀφιξόμεθα χωρίων ἐκ συνθήματος, ὃ μέσως ἂν σχοίη ἑκατέροις πρὸς ἀπόστασιν τῶν οἴκοι. καὶ οὕτω συνελευσόμεθα, ἐκεῖνος μὲν

addicam. Et cum episcopos omnes, tum alios ecclesiasticorum dogmatum defensores ac patronos hoc propensissime facturos opinor. Sin auctoritate imperiali compellantur, aures obturaturos, ut nec primam vocem excipiant. Quamquam neo apud vos mihi fidem habitum iri puto, si ita leviter nulloque examine dogmatis vestris subscripsero. Qui enim parum constanter inhaeret et paratus est deserere, quae maiores illi tradiderunt, et in quibus est educatus, quam, quaeso, teneat de recentibus fidem? Quocirca necessarium arbitror, si idem vobis probabitur, super rebus adeo magni momenti orientalium occidentaliumque episcoporum conventum oecumenicum celebrari. Id si fiat, fidelis est Deus, qui nos a veritate aberrare non patietur. Si igitur Asia et Europa, quemadmodum olim, in Romanorum imperio censerentur, apud nos synodus cogenda esset. Quod cum fieri iam nequeat, (nam et papa huc proficisci nequit, et mihi tam longe ab imperio discedere propter continentia bella vicinosque barbaros et dynastas alios, nobis undique incumbentes, qui cum de fide nobiscum sentiant, tamen hostes se profitentur, non est facile,) si et Patri papae videbitur, ad locum aliquem maritimum, in medio utrorumque situm, consensu deveniemus, ille cum occidentis episco-

τοὺς ἐκ τῆς ἑσπέρας ἔχων ἀρχιερέας, ἐγὼ δὲ τοὺς πατριάρ- A.C. 1347 χας καὶ τοὺς ὑπ' αὐτοῖς τελοῦντας ἐπισκόπους. πιστεύω δὲ θεῷ, ὡς ἀπράκτους ἡμᾶς ἐπανελθεῖν οὐκ ἐάσει, ἀλλὰ τῇ σφε- D τέρᾳ χρησάμενος φιλανθρωπίᾳ, ὁδηγήσει ἡμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν. ἐπὶ τέλει δὲ καὶ τοῦτο προσετίθει, ὡς, εἰ ἀρεστὸν εἴη πάπᾳ τὴν σύνοδον συγκροτηθῆναι, τάχιστα αὖθις πέμπειν ἀγγελίαν πρὸς αὐτὸν, ὅτι τε συνέθετο μηνύουσαν, καὶ τὸν τόπον καὶ τὸν χρόνον, ἐν ᾧ προσῆκον συνελθεῖν. οὐκ ὀλίγου γὰρ δεήσεσθαι χρόνου καὶ αὐτὸν, τούς τε πατριάρχας μεταπεμπόμενον καὶ τοὺς ἄλλους ἐπισκόπους. τοιαῦτα μὲν ὁ βασιλεὺς πρὸς τὴν πρεσβείαν πάπᾳ ἀπεκρίνατο. καὶ ἐδόκει βέλτιστα τοῖς πρεσβευομένοις ἐπισκόποις, οἳ πολλῶν πρότερόν τε καὶ μέλλοντες ἀναχωρεῖν παρὰ βασιλέως εὐεργεσιῶν τυχόντες, ἀπῆραν πρὸς τὴν οἰκείαν· καὶ παραγενόμενοι πρὸς πά- P. 737 παν, τήν τε πρεσβείαν ἀπήγγελλον, καὶ πολλοὺς διεξῄεσαν ἐπαίνους ὑπὲρ βασιλέως καὶ τὰς γεγραμμένας ἐφημερίδας ἐπιδεικνύντες. πάπας δὲ καὶ αὐτὸς πρὸς τὴν σύνοδον φάμενος ἡδέως ἔχειν, ἔπεμπε κατὰ τάχος τοὺς ἐροῦντας βασιλεῖ, ὡς δοκοίη καὶ αὐτῷ βελτίστη ἡ παραίνεσις, καὶ τὴν συνέλευσιν τῶν ἐπισκόπων ποιοῖτο περὶ πλείστου. δέον μέντοι τοὺς ὑπ' αὐτὸν ἅπαντας γενομένους ἐν ταυτῷ, τόπον τε κυροῦν καὶ χρόνον, καθ' ὃν ἔσται. οὐ πολλοῦ δὲ χρόνου παρελθόντος ἐν τῷ μεταξὺ, γράμματα αὖθις ἧκε πρὸς τὸν βασιλέα παρὰ πάπα, τῆς συνόδου τὴν ὑπέρθεσιν μὴ δοκεῖν ὑπ' ἀμελείας γίνεσθαι δηλοῦντα. αὐτὸν μὲν γὰρ προὔργου παν- B

pis, ego cum patriarchis eorumque episcopis. Et in spe sum, Deum benignitate sua adducturum nos in omnem veritatem, nec permissurum, ut negotio infecto revertamur. Ad extremum adiecit, si papae placeret synodum colligi, celerrime ad se nuntium mitteret, qui se, et annuisse illum, et de loco ac tempore, quando et ubi congregari debeant, certiorem faceret: sibi enim ad patriarchas aliosque episcopos convocandos mora longiore opus fore. Haec imperator ad legationem papae, quae legati episcopi vehementer approbantes, et cum antea, tum discessuri, multis ab eo muneribus culti, in Italiam redierunt: ac pontifici legationem renuntiantes, multis imperatorem laudibus praedicarunt, exaratasque a se ephemeridas ostenderunt. Papa et ipse, non se a synodo abhorrere, confessus, celeriter misit, qui ei dicerent, consilium eius se valde amplecti, conventum episcoporum sibi esse in optatissimis. Ceterum episcopos suos omnes in unum congregatos, locum et tempus synodo agundae nominare debere. Interim haud multo post rursum a papa litterae imperatori redduntur, quibus monebatur, ut procrastinationem synodi negligen-

A. C. 1347 τὸς ποιεῖσθαι τῶν ἐκκλησιῶν τὴν ἕνωσιν καὶ τῶν ἀναγκαιο-
V. 591 τάτων μάλιστα νομίζειν εἶναι. πολέμου δὲ μεγάλου κεκινημένου· κατὰ τὴν Ἰταλίαν, τῶν παρ' αὐτοῖς μεγίστων ῥηγῶν ἀλλήλοις ἐκπολεμωθέντων καὶ μελλόντων μυριάσι πολλαῖς ἀλλήλοις ἐπιέναι, προσήκειν μάλιστα αὐτῷ, πατρί γε ὄντι πνευματικῷ, περὶ εἰρήνης τοῖς μαχομένοις διαλέγεσθαι καὶ πείθειν κατατίθεσθαι τὸν πόλεμον. τούτου δὲ πραχθέντος κατὰ γνώμην, οὐδὲν ἕτερον αὐτῷ μᾶλλον ἔσεσθαι διὰ σπουδῆς, ἢ βουλευσαμένῳ περὶ τῆς συνόδου μετὰ τῶν ὑπ' αὐτὸν, δηλοῦν καὶ χρόνον καὶ τόπον, ἐν ᾧ συνελθόντες, περὶ ὁμο-
C νοίας καὶ εἰρήνης πράξουσι ταῖς ἐκκλησίαις. ἐπὶ τούτοις δὲ καὶ ὁ βασιλεὺς τῶν ἐν Γαλατᾷ διατριβόντων φίλων Ἰωάννην ὄνομα, τῆς τάξεως ὄντα τῶν κηρύκων, πρὸς πάπαν πέμψας, χάριτάς τε ὡμολόγει πολλὰς τῆς προθυμίας τε καὶ τῆς σπουδῆς, ἧς περὶ τῶν ἐκκλησιῶν τῆς εἰρήνης ἐπιδείκνυται. καὶ αὖθις ἠξίου τῶν ἴσων ἔχεσθαι, καὶ μὴ διὰ ῥᾳθυμίαν πόλεμον εἰσενηνεγμένον ταῖς ἐκκλησίαις περιορᾷν, δυναμένους καταλύειν.

D ι'. Τοῦ χρόνου δὲ ἐν τοῖς τοιούτοις τριβομένου, Κλήμης ὁ πάπας ἐτελεύτησεν ἐν τῷ μεταξὺ, καὶ ἡ περὶ τῆς συνόδου αὖθις διελύετο φροντίς. βασιλεὺς δὲ καὶ βασιλέα ἐπαγόμενος τὸν γαμβρὸν, ἐπεστράτευσε Μηδείᾳ τῇ κατὰ τὸν Πόντον παραλίῳ πόλει, ἧς κατὰ τὸν τοῦ πολέμου χρόνον ἄρχων ὁ Τομπροτίτζας ὑπὸ βασιλίδος Ἄννης ἀναδειχθεὶς, οὐδὲ

tiae alicui ne attribueret: se quidem ecclesiarum redintegrandae concordiae nihil antevertendum ducere, et hoc unum in summe necessariis numerare; bello autem maximo in Italia inter potentissimos regulos exorto, multisque hominum millibus concursuris, decere se in primis, ut patrem spiritualem, pacem illis et otium consuadere. Quo ex sententia perfecto, nihil antiquius habiturum, quam consultis episcopis suis, et tempus et locum ei significare, quo conveniant, et de coniungenda ac pacificanda ecclesia inter se disserant. Tum et imperator ex amicis Galatae habitantibus Ioannem, ordinis praedicatorum, ad papam mittens, gratias agit liberales de propensa voluntate ac diligentia, quam super ecclesiarum reconciliatione demonstret: petitque rursum, ad rem eandem incumbat, neu bellum ecclesiae illatum, quod tolli possit, per socordiam despiciatur.

10. Dum in his tempus volvitur, Clemens papa vivere desinit, et cura de synodo in nihilum recidit. Imperator, comitante genero, adversus Mediam, urbem maritimam, ad Pontum exercitum ducit, cuius, vigente bello, praefectus Tomprotitzas ab imperatrice Anna declaratus, neque post factam inter imperatores pacem parere Cantacuzeno volebat, sed numerosa praedonum ad se allecta manu,

μετὰ τῶν βασιλέων τὴν ὁμόνοιαν ὑπείκειν βασιλεῖ τῷ Καντα- A.C. 1347
κουζηνῷ ἠβούλετο, ἀλλὰ χεῖρα λῃστρικὴν πολλὴν περὶ αὐτὸν P.738
ἀθροίσας, τὰς περιοίκους πόλεις ἐληΐζετο καὶ ἐκάκου οὐκ ὀ-
λίγα. ὃν πρότερον μὲν ὁ βασιλεὺς ὑπ' ἄλλων ἀναγκαιοτέρων
ἐπειγόμενος περιεώρα· ἐπεὶ δὲ ἔβλαπτον αἱ ἐκ Μηδείας λῃ-
στεῖαι οὐ μικρὰ, πρῶτα μὲν ἐκ γῆς καὶ θαλάσσης πέμψας
στρατιὰν ἐπολιόρκει, ἔπειτα Μανουὴλ δεσπότην τὸν υἱὸν ἄρ-
χοντα καταλιπὼν ἐν Βυζαντίῳ καὶ τριήρεις κελεύσας ναυ-
πηγεῖσθαι, Φακεωλάτον τὸν πρωτοστράτορα τῷ ἔργῳ ἐπιστή-
σας, (πάνυ γὰρ ξυνεώρα ναυτικῆς δυνάμεως τὴν Ῥωμαίων
ἡγεμονίαν δεομένην,) ἐξεστράτευσεν αὐτὸς, ἔχων καὶ τὸν νέον
βασιλέα, καὶ ἐπεὶ ἐγένετο ἐν Μηδείᾳ, λόγους προσῆγε Τομ-
προτίτζᾳ περὶ τοῦ αὐτῷ ὑπείκειν καὶ τὴν πόλιν παραδιδό-
ναι. ὁρῶν δὲ ἐκεῖνος, ὡς ἀδύνατος εἴη ὅπλα ἀνταίρειν βα- B
σιλεῖ, προσεχώρησεν ὁμολογίᾳ καὶ τὴν πόλιν ἐνεχείρισεν. ὃν
ὁ βασιλεὺς εὐμενείας τε καὶ προνοίας ἠξίωσε τῆς προσηκού-
σης, καὶ τοῖς ἐπιφανεστέροις συγκατέλεξε Ῥωμαίων. ἐπεὶ δὲ
εἶχε Μήδειαν, βασιλέα μὲν τὸν νέον οἴκαδε ἐκέλευεν ἐπανι-
έναι καὶ τὸ πολὺ διέλυε τῆς στρατιᾶς κατὰ τὰς πόλεις, ἐκεῖ-
νος δὲ ὀλίγους ἔχων, ἐπὶ Ἀδριανούπολιν ἐχώρει δημοσίων
ἕνεκά τινων φροντίδων. μεταξὺ δὲ ὁδεύοντι ἠγγέλλετο, ὡς κα-
τὰ τὸν Ἑλλήσποντον στρατιὰ Περσῶν ἱππικὴ περαιωθεῖσα
ὀλίγῳ ἐλάσσους δισχιλίων ἐπιλέκτων, ἐτράπετο ἐπὶ λεηλασίαν C
κατὰ τὰς τῆς Θρᾴκης πόλεις. ἤχθετο μὲν οὖν εὐθὺς ὁ βα- V.592

vicina oppida populationibus non mediocriter vexabat. Eum imperator antea, potioribus negotiis necessario intentus, contemnebat. Quia vero latrocinia illa, quae ex Media fiebant, non parum detrimentosa accidebant, primum quidem terra marique eum missis copiis oppugnabat. Deinde filio Manuele despota Byzantii relicto praefecto, et triremibus fabricari iussis, Phaceolato Protostratore operi praeposito, (admodum enim navali potentia Romanum imperium egere intelligebat,) cum iuniore imperatore Mediam ipse venit, ubi de obedientia sibi praestanda et urbe dedenda Tomprotitzan appellavit. Qui ut vidit resisti non posse, seque urbemque dedidit, quem imperator benevolentia curaque convenienti dignatus, Romanis nobilioribus annumeravit. Recepta Media, imperatorem iuniorem domum remisit, copiarumque bonam partem, quosque in suas sedes abire iussit: ipse cum paucis publicae rei causa Adrianopolim tetendit; cum in itinere ad eum perfertur, manum Persicam paulo minus duo millia selectos, transito Hellesponto, per urbes Thraciae praedatum discurrere. Indoluit ista auditione confestim imperator ob dimissum militem, quem rursum cogere tam brevi tempore non poterat, metuebatque, ne interea, dum cogeret, Persae cum praeda in Asiam

A. C. 1347 σιλεὺς ἐπὶ τῆς στρατιᾶς τῇ διαλύσει· μεταπέμπεσθαι γὰρ αὖθις οὐκ ἐνῆν, οὐκ ἐξαρκοῦντος τοῦ χρόνου. ἐδεδίει γὰρ, μὴ ἐν ᾧ τὴν στρατιὰν συλλέγων διατρίβοι, οἱ Πέρσαι μὲν τὴν λείαν ἄγοντες αὖθις περαιωθῶσιν εἰς Ἀσίαν, ὑστερήσῃ δὲ ἐλθών. ὅθεν εἰς ἀνάγκην συνωθούμενος, ἐχώρει μεθ' ὧν εἶχεν ἐπ' ἐκείνους, καὶ εἰς τὴν ἐπιοῦσαν ἐγγὺς ἐγένετο Περσῶν, οἳ ἐστρατοπεδευμένοι ἦσαν κατὰ τὸ τοῦ Λίπικος ὄρος προσαγορευόμενον. συνέβη δὲ ἔν τε δυσχωρίαις τοὺς Πέρσας ἐστρατοπεδεῦσθαι καὶ μηδὲν εἰδέναι περὶ βασιλέως, ὡς ἐγγὺς εἴη συμπλέκεσθαι βουλόμενος. βασιλεῖ δὲ οὐκ ἐδόκει δεῖν ἐν δυσχωρίαις καὶ τάφροις καὶ φάραγξι διατετμημένοις χω- D ρίοις τοξόταις καὶ εὐσταλέσι καὶ κούφοις καταφράκτους ἄγων συμπλέκεσθαι πρὸς μάχην. πρὸς γὰρ τῷ πολλαπλασίους εἶναι καὶ ἡ δυσχωρία οὐκ ὀλίγα συμβαλεῖται πρὸς τὴν νίκην. δι' ἃ ἐκέλευε τὴν στρατιὰν καταζευγνύειν ἐν τόποις μάλιστα συνηρεφέσι καὶ δυναμένοις ἀποκρύπτειν, πολλὴν πρόνοιαν ποιουμένους, μὴ κατάδηλοι γενέσθαι τοῖς βαρβάροις. καὶ διήγαγον οὕτω τὸ λεῖπον τῆς ἡμέρας, τοῖς βαρβάροις ἀντιστρατοπεδευομένοις ἀγνοούμενοι. δύνοντος δὲ ἡλίου ἤδη, οἵ τε βάρβαροι ἐκ τοῦ στρατοπέδου ἄραντες, ἐβάδιζον, ᾗ αὐτοῖς ἐδόκει, ἐπὶ τῷ ληΐσασθαι. καὶ ὁ βασιλεὺς τὴν στρατιὰν ἔχων, ᾔει σχολῇ κατόπιν διὰ πάσης τῆς νυκτὸς, πᾶσαν πρό- P. 739 νοιαν ποιούμενος ἀγνοηθῆναι. τῇ ἐπιούσῃ δὲ ἐν Μεσήνῃ τῇ πόλει συνηνέχθη τὰ στρατόπεδα ἀμφότερα· καὶ γενομένης συμβολῆς, ἐνίκων οἱ Ῥωμαῖοι κατὰ κράτος. καὶ τοὺς πλεί-

renavigarent, et ipse incassum veniret. Itaque coactus praesentem copiam in illos ducit, et postridie apud montem Lippici appellatum castrametantibus appropinquat. Forte in loco impedito Persae tendebant, et imperatorem confligere volentem adesse nesciebant. Imperator autem locis difficilibus fossisque et vallibus interruptis, quos ducebat cataphractos sagittariis levibus et expeditis opponendos non putabat. Nam praeterquam quod plures erant, etiam difficultatem loci non parum iis ad victoriam momenti allaturam. Idcirco prospiciebat suis, ut in locis opacissimis et ad occultandum sese idoneis densarentur cum cautione multa, ne a barbaris conspicerentur. Ita reliquum diem consumebant, fallentes illos, qui e regione castra habebant. Sole iam occidente, barbari castris praedatum, quo lubebat, procedebant, et imperator eos lento gradu tota nocte, omnimodis latere studens, sequebatur. Postero die ad Mesenam oppidum agmina ambo veniunt, conflictuque inito, Romani, plurimis barbarorum occisis, multis etiam captis, virtute victoriam obtinuerunt. In pugna alter ducum, Caramachumet vocabulo, cecidit; pauci, qui in

στους μὲν ἔκτειναν τῶν βαρβάρων, εἷλον δὲ καὶ ζῶντας πολ- A. C. 1347
λούς. ἔπεσε δὲ καὶ ὁ ἕτερος τῶν στρατηγῶν κατὰ τὴν μά-
χην, Καραμαχούμετ προσαγορευόμενος. ὁ δὲ λοιπὸς, Μαρα-
τουμάνος, ὀλίγους τῶν ἐν τῷ αὐτίκα τὸ ἀποθανεῖν διαφυγόν-
των ἔχων, τῶν ἵππων ἀποβάντες λόφῳ προσεχώρησάν τινι
καὶ καταστάντες ἠμύνοντο βάλλοντες συχνοῖς τοῖς βέλεσιν ἀπὸ
τοῦ λόφου τοὺς Ῥωμαίους, καὶ πολλοὺς ἐτίτρωσκον στρατι-
ώτας τε καὶ ἵππους. κελεύσας δὲ ὁ βασιλεὺς ἀποσχέσθαι μά-
χης τὸ στρατόπεδον, ἐγγὺς γενόμενος αὐτὸς, ἐκέλευε τοῖς Πέρ- B
σαις προσχωρεῖν αὐτῷ, μηδὲν ὑποπτεύοντας δεινόν. ἦν γὰρ
αὐτοῖς οὐκ ἄγνωστος, πολλάκις συστρατεύσασι κατὰ τὸν τοῦ
ἐμφυλίου πολέμου χρόνον. οἱ δ' ἔφασαν γνώμης μὲν οὕτως
ἔχειν, ὡς ἐν τοῖς ὅπλοις ἀποθνήσκειν ἀμυνόμενοι καὶ μὴ
καταπροΐεσθαι τὰς τοῦ σώζεσθαι ἐλπίδας· μὴ δ' ἀλλάττεσθαι
δουλείαν αἰσχρὰν καὶ ἀγεννῆ ἀντὶ τοῦ μαχομένους γενναίως
ἀποθνήσκειν. αὐτοῦ δὲ καλοῦντος καὶ κελεύοντος θαῤῥεῖν,
ὡς οὐδὲν ὑπομενοῦντας ἀγεννὲς, προθύμως ἐγχειρίσειν σφᾶς,
καὶ προσῄεσαν αὐτίκα, καὶ περιιστάμενοι προσεκύνουν καὶ
ἠσπάζοντο τοὺς πόδας, μόνον ἔχοντες ἐν μέσοις. διαλεγομένου C
δὲ ἐκείνου τοῖς Πέρσαις καὶ τὴν ἀγνωμοσύνην ὀνειδίζοντος,
ὅτι τῶν φίλων ὄντες στρατεύσειαν ἐπὶ τὴν ἐκείνου, Νικηφό-
ρος δεσπότης, ὁ βασιλέως γαμβρὸς, μετά τινων ἑτέρων νέων
ἐξ εὐπατριδῶν, ἀταξίᾳ χρησάμενοι καὶ ἀβουλίᾳ, ἐν χρῷ κιν-
δύνου κατέστησαν τὸν βασιλέα. ἀθρόον γὰρ τοῖς περιεστηκόσι

17. οὐδὲ P. 18. προσίεσαν P.

praesens mortem effugerunt, cum Maratumano, altero duce, desertis equis, collem quendam occuparunt, unde crebro in Romanos iaculantes multosque et equos et milites vulnerantes, sese tuebantur. Imperator suis edicens, uti pugna abstinerent, propior factus, Persas se dedere iussit, nihil gravius formidantes: erat enim illis haud ignotus, quippe quicum saepius bello civili militaverant. Qui affirmarunt, in armis pro se dimicantes paratos occumbere, nec abiicere spem salutis, nec cum generosa morte in proelio turpem et abiectam servitutem commutare velle. Vocante autem eo hortanteque, uti confidentes, nihil secus passuros, libenter se traderent, statim accesserunt, et circumfusi, eum solum in medio habentes adorarunt, eique pedes osculati sunt. Quo illos alloquente et iniquum facinus exprobrante, quod, amici cum essent, in suam provinciam irruissent, Nicephorus despota, gener, cum adolescentibus quibusdam nobilibus, temere perturbatis ordinibus, in extremum discrimen imperatorem coniecit. Etenim repente in circumstantes Persas incurrentes, eos neci dabant. Qui, nudatis ensibus, facile, si voluissent, imperatorem, in medio eorum consistentem, trucidassent. Rati autem, id quod

A.C. 1347 ἧς ἐγένετο ἢ ἐλύθη. ἐτρέφετο δὲ συνήθως, μηδὲν παραβλαπτόμενος ὑπὸ τῆς ἀλγηδόνος τῶν νεφρῶν, καὶ ἐπέβαινεν οὐκ ὀλιγάκις ἵππου, πρὸς τὴν ἐπὶ κλίνης ἀχθόμενος διατριβὴν, δυσχερῶς δὲ καὶ οὐκ ἄνευ ἀλγηδόνων.

A.C. 1348 ια'. Ἐν ὅσῳ δὲ ἐκεῖνος ἐνόσει ἐν Διδυμοτείχῳ, ὁ παρὰ P. 741 B τῶν ἐν Γαλατᾷ Λατίνων πόλεμος ἀνήπτετο, ἔσχε δὲ τὴν V. 594 ἀρχὴν ἐξ αἰτίας τοιαύτης. τοῦτο τὸ γένος ἀεὶ μὲν ἐπίβουλον καὶ πολέμιον Ῥωμαίοις καὶ πρὸς ἐπιορκίας ἑτοιμότατον, ἂν συνορῴη δυνατὴν τὴν ἐπιχείρησίν τινος· καὶ βασιλέως γὰρ τοῦ νέου Ἀνδρονίκου περιόντος, Φώκαιαν κατέσχον ἐπιορκήσαντες καὶ Μιτυλήνην, εἰ καὶ μηδὲν ἠδυνήθησαν ἀπόνασθαι τῆς πονηρίας, καλῶς καὶ μετὰ τῆς προσηκούσης αὐτοῖς αἰσχύνης ἐξελαθέντες, καὶ μετὰ τὴν ἐκείνου τελευτὴν, καθ' ὃν ὁ συγγενικὸς πόλεμος χρόνον Ῥωμαίοις ἦν, Χίῳ ἐπιθέμενοι, ἐκράτησαν ἀμελήσαντες τῶν ὅρκων καὶ τῶν συνθη- C κῶν τῶν πρὸς Ἄνναν τὴν βασιλίδα· ὕστερον δὲ, ἐπεὶ ἡ εἰρήνη ἦν καὶ βασιλεὺς ὁ Καντακουζηνὸς ἐκράτει τῶν πραγμάτων, ἐδέοντο προσελθόντες παραχωρῆσαί σφισι τοῦ ὑπὲρ τὸ φρούριον χωρίου, πρόφασιν μὲν ὡς μείζω τοῦ φρουρίου τὸν περίβολον ποιήσοντες, τοῦ ὄντος πρὸς οἴκησιν οὐκ ἐξαρκοῦντος, τῇ δ' ἀληθείᾳ τὸ χωρίον βουλόμενοι τειχίσματι διαλαβεῖν, ἵνα μὴ ῥᾴδιοι πολιορκεῖσθαι εἶεν· ἄναντες γὰρ ὂν καὶ οἷον ἐπικρεμάμενόν σφισι κατὰ κεφαλῆς, οὐ μικρὰν πα-

perierit aut desierit, cognoscere. Tenebat autem consuetam victus rationem, nec raro assiduitatem in lectulo non ferens, in equum se, tametsi difficulter, nec sine cruciatu, sustollebat.

11. Eo apud Didymotichum aegro, a Latinis Galataeis bellum oritur, tali initio. Genus hoc hominum semper insidiosum et infestum Romanis fuit, atque ubi commoditatem aggrediundi animadvertit, ad fidem prodendam paratissimum. Nam et imperatore Andronico iuniore superstite, Phocaeam et Mitylenen perfidiose occuparunt, (etsi pravitas nil eis profuit, quandoquidem egregie et quo debuerunt cum dedecore inde pulsi sunt,) et post illius obitum tempore belli civilis Chium adorti, foedus cum Anna imperatrice sancitum posthabentes, eam subegerunt. Postea pace composita et Cantacuzeno summam tenente rem publicam, adeuntes rogarunt, ut quod supra oppidulum esset regionis, ipsis concederetur; specie quidem oppiduli ampliandi, cum, qui nunc esset ambitus, ad habitandum non sufficeret, revera autem spatium illud muro volentes intercipere, ne facile obsideri possent. Nam quod acclive et velut imminens ipsorum capitibus, incommodum erat valde, si quando cum Romanis bellum gererent. Nihil enim humile cogitabant, sed mari volebant imperitare et Romanos navigatione excludere, quasi id ipsis debe-

ρεῖχε βλάβην, εἴποτε συμβαίη πρὸς πόλεμον Ῥωμαίοις κατα- A. C. 1348 στῆναι. ἐνενόουν γὰρ οὐδὲν μικρὸν, ἀλλὰ θαλασσοκρατεῖν ἐβούλοντο καὶ Ῥωμαίους ἀπείργειν πλεῖν, ὡς σφισι προσηκούσης τῆς θαλάσσης, (ἑώρων γὰρ Ῥωμαίους τότε μᾶλλον τῶν ἄλλων χρόνων προσχόντας τῇ θαλάσσῃ καὶ ὁλκάδας καὶ D ναῦς ἑτέρας φορτηγοὺς οὐκ ὀλίγας κτησαμένους, πολλὴν πρόνοιαν Καντακουζηνοῦ τοῦ βασιλέως ποιησαμένου περὶ τοῦτο,) ἃ ὑπενόουν βασιλέα οὐκ ἀνέξεσθαι. διὸ καὶ πρότερον ἢ ἐκφαίνειν, ἃ διενοοῦντο, τοὺς ὑπόπτους ἐβούλοντο προκαταλαμβάνειν τόπους, ἐξ ὧν ᾤοντο βλαφθήσεσθαι. βασιλεὺς δὲ αὐτῶν τὴν ἐπίνοιαν οὐκ ἀγνοῶν, ναῦς τε παρεσκευάζετο, ὡς, εἰ δέοι πολεμεῖν, ἑτοίμους εἶναι, καὶ τοῦ χωρίου τὴν παράληψιν αὐτοῖς ἀπηγόρευε παντάπασιν. ᾔδει γὰρ αὐτοὺς φόβῳ μᾶλλον, ἢ εὐγνωμοσύνῃ καὶ εὐορκίᾳ ἀποσχησομένους τῶν ἀτόπων βουλευμάτων. διὸ καὶ ὑπὸ τῶν ἄλλων Λατίνων ὄνοις P. 742 παρεικάζεται τὸ γένος τοῦτο. ἐκεῖνός τε γὰρ, ἂν ὁ ἐλαύνων μὴ δύνηται βαρείας πληγὰς ἐντείνειν, οὐκ ὀρθοποδεῖ πρὸς τὴν ὁδὸν, ἀλλὰ παραφέρεται παρατρεπόμενος καὶ τῆς ὁδοιπορίας ἀμελῶν διὰ τὴν ἀδυναμίαν τοῦ ἐλαύνοντος· καὶ οὗτοι, ἂν μὴ τὸν τοῦ κακῶς παθεῖν φόβον ἔχωσιν ἐπηρτημένον, ἐξ οὐδεμιᾶς αἰτίας ἄλλης τὰ δέοντά ποτε βουλήσονται ποιεῖν. βασιλεὺς μὲν οὖν αὐτῶν εἰδὼς τὴν μοχθηρίαν, οὐ παρεχώρει τοῦ χωρίου. ἐκεῖνοι δὲ τάς τε τριήρεις ὁρῶντες κατασκευαζομένας, ἀχθόμενοί τε ὁμοίως πρός τε τὴν ἀπο-

4. τότε om. P. 21. βουλεύσονται P.

retur, (videbant quippe Romanos magis tunc, quam antea, id frequentantes, eorumque naves longas et alias onerarias non paucas, multum studii in id Cantacuzeno impendente,) quod imperatorem minime toleraturum verebantur. Quare priusquam cogitata aperirent, locos suspectos, unde se laedi posse existimabant, praeoccupare cupiebant. Imperator vafrum illorum commentum non ignorans, naves comparabat, ut, si bello opus foret, ne imparatus esset: et spatium illis negabat penitus, quod eos timore magis, quam aequitate et iuramenti religione, perversis consiliis temperaturos noverat. Quare et ab aliis Latinis cum asinis conferuntur. Etenim asinus, si agaso forte debilior non possit valide fustem incutere, haud recta ingreditur via, sed exorbitat et deflectit et propter agentis imbecillitatem ambulare desinit. Ita hi, nisi poenam supra caput adstantem metuant, nulla alia de causa, quod debent, praestabunt. Quocirca imperator, ut dicebamus, eorum improbitatis haud nescius, loco, quem expetebant, minime cessit. Illi, triremes compingi, cernentes, pariterque et loci frustrationem et multitudinem onerariarum, quas Romani habebant, indignantes, bellum facere decernunt, ut simul et

A. C. 1348 τυχίαν τοῦ χωρίου καὶ πρὸς τὸ πλῆθος τῶν φορτίδων, ἃς
B ἐκτήσαντο Ῥωμαῖοι ναῦς, ἐσκέψαντο πόλεμον κινεῖν, ἵν' ὁ-
μοῦ τε εἴργωσι Ῥωμαίους τῆς θαλάττης, καὶ τὸ χωρίον, εἰ
δύναιντο, τειχίζωσι, βασιλέως ἄκοντος. καὶ συνέλεγον λίθους
λογάδην ἐφ' ἑτέραις δή τισι προφάσεσι, καὶ τὴν ἄλλην ὕλην
συνεπόριζον ἐν ἀποῤῥήτῳ. ἐπεὶ δὲ βασιλεὺς νοσεῖν ἐν Διδυ-
μοτείχῳ ἔγνωσται, καιρὸν εἶναι οἰηθέντες ἐπιτηδειότατον αὐ-
τοῖς πρὸς ἐπιχείρησιν, ἀθρόον ἐπιτίθενται νυκτὸς τοῖς κατὰ
τὴν περαίαν οἰκοῦσι Ῥωμαίοις πρῶτον, καὶ τὰς οἰκίας ἁπά-
σας ἐνέπρησαν πυρί. εἰς τὴν ὑστεραίαν δὲ τὰς σφῶν τριή-
ρεις ἐφοπλίσαντες, οὔσας παρεσκευασμένας, καὶ ἀκάτια καὶ
C λέμβους, ὅσα ἦν, τὰς ἔξω τειχῶν παρὰ τὴν θάλασσαν Βυ-
ζαντίου οἰκίας ἐνεπίμπρων καὶ ὁλκάδας τὰς μὲν ἐλάμβανον,
τὰς δὲ ἐνεπίμπρων· κατέκαυσαν δὲ καὶ τὰς κατασκευαζομέ-
νας ἁπάσας τριήρεις πλὴν τριῶν, ἃς, ἐπεὶ τὸ κακὸν πάντα
V. 595 ἐπενέμετο, ἄραντες ἐξ οὗ κατεσκευάζοντο τόπου τοῦ Κοσμι-
δίου προσαγορευομένου, τοῦ βασιλέως υἱοῦ κελεύσαντος, διὰ
τοῦ κατὰ τὴν καλουμένην Πίσσαν διιόντος ποταμοῦ διαγα-
γόντες, ἀνείλκυσάν τε πρὸς τὴν χέρσον, καὶ φρουρὰν ἑκατέ-
ρωθεν ἐπιστήσαντες, ἐφύλαττον. οὕτω μὲν οἱ Λατῖνοι τὸν
πόλεμον κατὰ Ῥωμαίων φανερῶς ἐξήνεγκαν, καὶ ἐξ ἐκείνου
ἤδη τῆς θαλάσσης ἄρχοντες, πάντα ἄνω καὶ κάτω τὰ πα-
ράλια παραπλέοντες, ἐκάκουν καὶ πυρὶ τὰ πάντα ἐπενέμον-
D το, πανδημεί τε ἐξελθόντες, πρῶτα μὲν ἐτείχιζον τὸν λόφον,

8. τοῖς ante κατὰ om. P.

Romanos mari arceant, et locum, si possint, vel invito imperatore communiant. Iamque selectos lapides, quamvis aliud simulantes, colligebant reliquamque materiam clam convehebant. Postquam autem imperatorem Didymotichi morbo affectum cognoverunt, rati, advenisse rei incipiendae occasionem maximam, noctu de improviso Romanos primum e regione incolentes invadunt, aedes omnes inflammant. Postridie triremes suas iam paratas, item acatia et lembos, quotquot erant, armatis instruunt, Byzantii aedificia extra muros ad mare incendunt, et onerarias alias quidem capiunt, alias exurunt. Quin etiam constructis triremibus universis, tribus tantum exceptis, ignem iniiciunt. Quas tres, reliquis flamma absumptis, tollentes Byzantii e loco, ubi parabantur, Cosmidio appellato, filio imperatoris Manuele mandante, per fluvium Pissam interfluentem in terram subduxerunt, et custodiam illis utrinque adhibuerunt. Sic Latini bellum Romanis apertum inferentes et ex eo iam maris potentes, oras legebant omniaque direptionibus et incendiis permiscebant: et egressus populus frequentissimus primum quidem collem, in eius iugo turri excitata, muniebant, omnique in eam rem conatu mulieres iuxta atque viri incumbebant: nec vel illustrissimi ad aedificationem

πύργον ἐγείροντες πρὸς τῇ ἀκρολοφίᾳ, καὶ πᾶσαν ἐπεδείκνυν- A. C. 1348
το σπουδὴν, καὶ ἄνδρες ὁμοίως καὶ γυναῖκες· καὶ οὐδ' οἱ περιφανέστατοι αὐτῶν ἀπηξίουν τὸ τοῖς ἄλλοις συναίρεσθαι πρὸς τὴν οἰκοδομίαν. ἔπειτα καὶ τὸ ἐπίλοιπον τοῦ χωρίου διαλαβόντες διετείχιζον ἄχρις οὗ ἐξήρκεσεν ἡ ὕλη, καὶ εἰς ὕψος τε ἤρετο τὸ τεῖχος ἱκανὸν αὐτοῖς, καὶ ἄλλην πᾶσαν ἐκ κατασκευῆς ἀσφάλειαν ἐπετεχνῶντο. ὅσον δὲ οὐκ ἐξῆν τειχίζειν δι' ὕλης ἀπορίαν, χαρακώμασι μεγάλοις καὶ σταυροῖς περιελάμβανον, καὶ ἐν ὀλίγῳ χρόνῳ τὸ χωρίον ἅπαν εἴχετο. βασιλεὺς P. 743
δὲ ἐπεὶ ἐπύθετο τὰ παρὰ τῶν ἐν Γαλατᾷ τετολμημένα, ἤλγησε μὲν οὐ μέτρια ἐφ' οἷς τοιαῦτα ἔπασχεν ὑπὸ Λατίνων, τὴν Ῥωμαίων οἰκούντων γῆν καὶ δικαίων ὄντων ἀκριβῶς δουλεύειν. ὅμως ὡς εἶχε, καίτοι πιεζόμενος ὑπὸ τῆς νόσου ἔτι, εἰς Βυζάντιον ἀφῖκτο. αὐτίκα δὲ οἱ ἐν Βυζαντίῳ, μάλιστα οἱ περὶ ἐμπορίας ἠσχολημένοι καὶ οἱ ἐν ἐργαστηρίοις διατρίβοντες, ἐν βασιλείοις συνελθόντες, ἐδέοντο βασιλέως, μὴ σφᾶς περιιδεῖν οὕτως ὑπὸ Λατίνων τῶν ἐν Γαλατᾷ περιφρονουμένους καὶ τὰ ἀνήκεστα ὑπομένοντας, ἀλλὰ δίκας τῶν τετολμημένων ἀπαιτῆσαι τριήρεις ἐφοπλίσαντα. αὐτοὺς δὲ ἑτοίμους εἶναι χρήματα παρέχειν πρὸς τὸν πόλεμον, ᾗ ἂν ἕκαστος εὐπο- B
ροίη. μᾶλλον γὰρ τῶν ἄλλων ἐκείνων ἥψατο ἡ παρὰ Λατίνων φθορὰ γεγενημένη. νῆές τε γὰρ καὶ χρήματα καὶ οἰκίαι αἱ ἐμπρησθεῖσαι, τὰ σύμπαντα σχεδὸν ἐκείνων ἦσαν. βασιλεὺς δὲ πρῶτα μὲν ἐμέμφετο αὐτοῖς, ὡς οὐ χρωμένοις κατὰ καιρὸν τῇ προθυμίᾳ· τότε γὰρ ἔδει παρέχεσθαι τὰ χρήματα

1. ἐπιδείκνυντο P.

sociare operam dedignabantur. Deinde et reliquum spatii occupantes, muro includebant, quoad calx et caementa suppeditarent, qui in altitudinem magnam satis surrexit. Quin alias quoque structuras omnes ad securitatem facientes adiungebant. Qua autem defecti murali materia, producere opus non poterant, excelsis aggeribus et crucibus eam partem circumdabant, brevique tempore, quidquid erat spatii, comprehensum est. Imperator de audacia Galataeorum factus certior, maximopere doluit, propterea quod haec a Latinis Romanum solum accolentibus, et qui merito subesse ac parere sedulo deberent, pateretur. Tamen, quamquam adhuc morbo cruciaretur, ut potuit, Byzantium inivit: ubi eum statim mercatores potissimum et opifices in palatio convenerunt, orantes, ne se ita contemni a Latinis Galataeis et intolerandis exagitari iniuriis sineret, sed armatis triremibus nefarie perpetratorum poenas exigeret: se impensam ad bellum prompte pro facultate collaturos: illata siquidem a Latinis detrimenta magis ad ipsos pertinebant, quod naves, supellex et domus incensae, omnia fere illorum erant. Imperator eos primum de in-

A. C. 1348 προθύμως, ὅτε συνεβούλευεν αὐτὸς, καὶ νῦν Λατίνοις οὐδὲν ἂν τοιοῦτον ἐτολμᾶτο. τοῦτο γὰρ ἐκ τῆς πολυπειρίας τῶν πραγμάτων προορώμενον αὐτὸν, καὶ πρὶν γενέσθαι, συμβουλεύειν, ἅπερ ᾤετο μετὰ μικρὸν τὰ μέγιστα λυσιτελήσειν. ὅμως καὶ αὐτὸς, ἐπεὶ ἐδόκει πρὸς τὸν πόλεμον χωρεῖν, χρή- C ματά τε ἐκέλευεν εἰσφέρειν Βυζαντίους, καὶ Κωνσταντῖνον τὸν Ταρχανειώτην ἐφίστη πρὸς τὴν εἴσπραξιν, καὶ αὐτὸς ἐτρέπετο τριήρεις κατασκευάζειν. τῆς θαλάττης δὲ ὑπὸ τῶν Γαλατίων κατεχομένης, ἐπεὶ ἐν ἀπόρῳ ἦν ξύλα ναυπηγήσιμα κομίζειν ἐκ θαλάττης, ζεύγεσι καὶ ἡμιόνοις ἐκ τῶν κατὰ τὸ Σεργέντζιον ὀρῶν ἐκέλευε κομίζειν. καὶ ἤγοντο μοχθηρῶς ἄγαν καὶ δυσέργως· καὶ πρὸς τῷ λεγομένῳ Κοντοσκαλίῳ νεωρίῳ αἱ τριήρεις ἐναυπηγοῦντο. οἱ ἐν Γαλατᾷ δὲ Λατῖνοι ἤλπιζον μὲν αὐτίκα ἐλθόντα βασιλέα τὸν πρὸς αὐτοὺς ἀπογνόντα πόλεμον, πάντων αὐτοῖς παραχωρήσειν, ὧν ἐβούλοντο, καὶ χωρήσειν πρὸς συμβάσεις, ἄρχοντας καταλιπόντα τῆς θαλάσσης. ὡς δ' ἀπήντα κατὰ γνώμην αὐτοῖς οὐδὲν, D ἀλλὰ ναῦς ἑώρων ναυπηγούμενον καὶ παρασκευαζόμενον πρὸς μάχην, μεταβαλόντες πρεσβείαν ἐποιοῦντο καὶ περὶ εἰρήνης διελέγοντο. βασιλεὺς δὲ αὐτοῖς τὴν πονηρίαν καὶ τὴν ἀγνωμοσύνην ὀνειδίσας, ὅτι μηδὲν μήτε πρότερον, μήθ' ὕστερον ὑπ' αὐτοῦ ἀδικηθέντες, μηδὲ πρόφασιν πολέμου παρεσχημέ-

12. ἐν ἑπτασκάλῳ M. pro λεγομένῳ Κοντοσκαλίῳ. Utrique loco navale adiacebat. Vid. Ducang. Constant. Christ. I. p. 56. et 60. Rectius tamen, quod P. hic et infra p. 74, 7. habet. Vid. Cantacuzen. IV. p. 796. P.

tempestiva cupiditate reprehendere. Tunc enim prompte conferendam fuisse, cum ipse auctor fiebat. Ita nunc Latinos nihil tale ausuros fuisse. Nam cum hoc longa rerum experientia doctus praevideret, antequam fieret, suadere voluisse, quae paulo post plurimum profutura putaret. Nihilo minus et ipse, postquam bellum visum est capessendum, Byzantios pecuniam numerare iussit et Constantinum Tarchaniotam exactioni praefecit, eique triremium aedificandarum negotium dedit. Tenentibus autem mare Galataeis, cum per id ligna construendis navibus subvehere difficile esset, bobus et mulis iunctis, ex Sergentii montibus advehi iussit: quod operose admodum et difficulter fiebat, atque in Heptascalo navali triremes fabricabantur. Ceterum Galataei imperatorem, ut venit, statim bello adversus ipsos desperantem, quae vellent, omnia concessurum et ad pacta descensurum eosque maris dominos relicturum, confidebant. At ubi nihil eis pro opinione evenit, sed naves compingi, et ad pugnam instrui viderunt, mutata voluntate, legationem de pace miserunt. Imperator eis iniquitatem stultitiamque exprobrare, quod nihil unquam ab eo laesi, nec ulla belli occasione data, tam improbi

νου μηδεμίαν, αὐτοὶ τοσαῦτα ἠγνωμόνησαν καὶ τοσαύτης ἦρ- A. C. 1348 ξαν ἀδικίας καὶ φθορᾶς. ἔπειτα ἐκέλευε τὸ τειχισθὲν χω- V. 596 ρίον καταλείπειν καὶ τὰ τείχη καθαιρεῖν. οὕτω γὰρ ἔσεσθαι σπονδὰς αὐτοῖς καὶ εἰρήνην πρὸς αὐτὸν, συγγνώμην παρασχόμενον, ὧν ἐζημίωσαν κατὰ τὸν πόλεμον. οἱ δὲ οὐδ' ἄκροις κατεδέχοντο ὠσὶν, ἀλλὰ δεῖν ἔφασαν αὐτοῖς τοῦ χωρίου παραχωρεῖν τετειχισμένου, ἢ οὐδενὸς τῶν πρὸς αὐτοὺς ἡκόν- P. 744 των ἀμελήσειν. καὶ ἅμα ἐπετείνετο ὁ πόλεμος, καὶ περιπλέοντες διέφθειρον τοὺς προστυχόντας. ἐπεὶ δὲ τὴν θάλατταν ἄπλωτον ἐποίησαν Ῥωμαίοις, ἐφ' ὁλκάδος μυριοφόρου μηχανὴν ἐπιστήσαντες τειχομαχικὴν, ἀφ' ἧς λίθου βάρος, ὅσον εὔρωστος ἀνὴρ ἂν ἄροιτο, ἠφίετο. εἶτα τριήρει περιέλκοντες τὴν ὁλκάδα, λίθους ἠφίεσαν πανταχοῦ τῆς πόλεως, ἔβλαπτον δὲ οὐδέν. βασιλεὺς δ' ἐπεὶ ἐκ τοῦ αὐτίκα ἀντιτάττεσθαι αὐτοῖς οὐκ εἶχεν ἐκ θαλάττης, τριηρέων ἀπορῶν, στρατιὰν ἐκ τῆς ἠπείρου πέμπων, ἐφόδους ἐκέλευε συχνὰς ποιεῖσθαι, καὶ ἔβλαπτον ὅσα δυνατά. οὐ μὴν οὐδὲ τῆς θαλάττης παντάπασιν ἠμέλει, ἀλλὰ πετροβόλους στήσας μηχανὰς τὸ μέγεθος B ὑπερφυεῖς, λίθους ἐκέλευεν ἐκ Βυζαντίου ἀφιέναι πρὸς Γαλατᾶν. διικνοῦντο γὰρ καὶ πολλὰς κατέστρεψαν οἰκίας, μάλιστα τὰς παρὰ θάλασσαν, καὶ ταῖς ὁλκάσι τῶν Λατίνων οὐκ ὀλίγα ἐλυμήναντο οἱ λίθοι. τήν τε τὴν μηχανὴν ἀνέχουσαν ὁλκάδα κατέδυσαν βαλόντες, μόλις τῶν ἐπιβατῶν τὸν κίνδυνον διαφυγόντων. οἱ Λατῖνοι δὲ καὶ δὶς καὶ τρὶς περὶ

exstitissent et tantas aliis iniurias tantamque perniciem ultro intulissent. Deinde campum muro septum relinqui, murum deiici imperare: sic enim secum, damna data ignoscente, foedus et pacem fore. Illi iussa auribus aversari ac dicere, oportere ipsis locum iam munitum cedere, aut nihil, quod quidem in se sit, omissuros: et simul bellum invalescebat, et navibus vagantes, obvios dire multabant. Sublata Romanis navigatione, in praegrandi oneraria muralem machinam constituerunt, ex qua saxa tanti ponderis emittebantur, quantum homo robustus ferre posset. Tum triremi onerariam circumtrahentes, undique in urbem, sed citra damnum, iaculabantur. Imperator, quoniam in praesens mari occurrere illis nequibat, quod triremibus careret, misit, qui ex continente crebris incursionibus, quantum possent, illis incommodarent. Neque tamen mare penitus negligebat, sed tormenta statuebat immensae magnitudinis, unde lapides Byzantio Galatam explodebantur. Pertingebant enim eo, ac domos complures, praesertim ad littus positas, conterebant: nec parum ea saxa Latinorum onerariis nocebant. Quin etiam illam, qua machina sustentabatur, classiariis vix effugientibus, lapidum iactu Byzantii summerserunt. Latini de pace oratores iterum ac tertium

A.C. 1348 εἰρήνης πρεσβείαν ἐποιήσαντο, οὐκ ἠνέσχετο δὲ ὁ βασιλεὺς, εἰ μὴ τὰ τείχη καθελόντες, τὸ χωρίον καταλίποιεν. ἐν τούτοις δὲ οὐκ ὀλίγου τριβέντος χρόνου, καὶ τῶν τριηρέων ναυπηγηθεισῶν, ναύτας τε κατέλεγεν ὁ βασιλεὺς καὶ ὁπλίτας, C καὶ τὰ ἄλλα πάντα ἐξηρτύετο πρὸς μάχην· στρατηγούς τε ἐφίστη, ταῖς μὲν πρὸς τῇ Πίσσῃ τρισὶ τριήρεσι Φακεωλάτον τὸν πρωτοστράτορα, ταῖς δ' ἐν τῷ Κοντοσκαλίῳ ναυπηγηθείσαις Τζαμπλάκωνα τὸν μέγαν δοῦκα. ἐφιλονείκησε δὲ ὁ μέγας δοὺξ φιλοτιμότερον προσεξεργάσασθαι τὰς ἰδίας· ἦσαν γὰρ καὶ μέγισται μεγέθει, καὶ ξυλίνους ἐπιστήσας πύργους καὶ τοὺς ἐρέτας ἄνωθεν ἐρέψας, διπλᾶς ἐποίει τὰς τριήρεις, καὶ πλῆθος ὁπλιτῶν ἐπέστησε καὶ ψιλῶν, ὃ καὶ μάλιστα ἔβλαψε κατὰ τῆς μάχης τὸν καιρὸν, ὡς ὀλίγῳ ὕστερον εἰρήσεται. τῇ προτεραίᾳ δὲ, ἧς ἔμελλον ἀνάγεσθαι αἱ τριήρεις ἐκ τοῦ νεωρίου, ὁλκὰς ἀναπλέουσα ἐφαίνετο ἐκ Γεννούας, D πλοῦτον ἄγουσα, ὡς ἐλέγετο, πολύν. ἀπλοίας δὲ, τῶν ἀνέμων παυσαμένων, κατασχούσης, πρὸς Πριγγίπῳ τῇ νήσῳ ὡρμίζετο ἐπ' ἀγκυρῶν. ἐφ' ἣν δύο τῶν βασιλικῶν τριηρέων ἐκ τοῦ νεωρίου ἀνήγοντο νυκτός· παρείποντο δὲ καὶ μονήρεις ἴσαι. καὶ προσβαλόντες τῇ ὁλκάδι, ἐπεὶ ἠμύνοντο οἱ ἔνδον κραταιῶς, πῦρ ἐνίεσαν οἱ τριηρῖται, καὶ οὕτω περιγενόμενοι, ἐπέβησάν τε τῆς ὁλκάδος, οὐκ ὀλίγους τῶν ἀμυνομένων ἀποκτείναντες, καὶ πάντων ἦσαν ἤδη κύριοι. φήμης δὲ ἀδήλως ταῖς τριήρεσιν ἐπιπεσούσης, ὡς τριήρεις ἐπιπλέουσιν ἐκ Γα-

3. τριβομένου M. mg. 7. ἐν τῷ Ἑπτασκάλῳ M. 18. ἐπαγκερῶν P.

mittere: Imperator, eos se auditurum, negare, nisi, muro everso, quod loci vindicarent, relinquerent. Consumpto in his multo tempore, confectis triremibus, remiges et milites legit et alia ad pugnam omnia adornavit, ducesque praefecit: illis quidem apud Pissam ternis triremibus Phaceolatum protostratorem, aliis in Heptascalo constructis Zamplaconem, magnum ducem, qui contendebat enixius, insuper suas allaborari ac perfici: erant enim visenda mole, quas ligneis turribus impositis, et remigibus desuper tabulato contectis, (super quo gravis armaturae et velitum multitudinem constituebat, quod magno ei in pugna detrimento fuit, ut paulo infra dicetur,) duplicabat. Pridie porro illius diei, quo triremes e navali educendae erant, oneraria, quae Genua solverat, in alto conspecta est, magnis, ut aiebant, onusta divitiis. Malacia autem ventis ponentibus oppressa, ad Principis insulam ancoris fundata est. In eam ex imperatoriis triremibus duae cum totidem uniremibus noctu e navali profectae, invaserunt, vectoribusque fortiter se defendentibus, ignem iniecerunt, atque ita victores in eam insiluerunt, nec paucis obtrun-

λατᾶ Λατινικαὶ, ἐτράπησαν εἰς φυγὴν, ὀλίγῳ ἐλάσσους A. C. 1348
πεντήκοντα τῶν οἰκείων καταλιπόντες ἐπὶ τῆς ὁλκάδος. ἦσαν
δὲ παντάπασι ψευδεῖς αἱ φῆμαι. οἱ δὲ καταλειφθέντες P. 745
Ῥωμαῖοι ἐπὶ τῆς ὁλκάδος, αἰσθόμενοι ἀποπλευσάσας τὰς
τριήρεις, ἐν ἀμηχανίᾳ καταστάντες, εἰς λόγους ἦλθον τοῖς Λα-
τίνοις νενικημένοις ἤδη κατὰ κράτος. καὶ συνέβησαν ὥστε
κοινῇ σβεννύειν καταχαιομένην τὴν ὁλκάδα, ἵνα μὴ συνδια-
φθαρῶσι καὶ αὐτοί. εἰς τὴν ἐπιοῦσαν δὲ, ἂν μὲν Ῥωμαῖοι
ἐπιπλεύσαντες, κύριοι τῆς ὁλκάδος γένωνται, συνδιασώζειν
τοὺς ἀπολειφθέντας Ῥωμαίους τοὺς Λατίνους ἐξαιτησαμένους
παρὰ τῶν ἀρχόντων· ἂν δ' οἱ Λατῖνοι ἐπιπλέωσι καὶ κυ-
ριεύωσι τῆς ὁλκάδος, τὰ ἴσα Λατίνους ποιεῖν πρὸς τοὺς Ῥω- V. 597
μαίους, ὃ καὶ ἐγένετο ἅμα ἕῳ. ἐπεὶ γὰρ οὔπω πᾶσαι πα- B
ρεσκευασμέναι ἦσαν αἱ βασιλικαὶ τριήρεις, οἱ Λατῖνοι ἐπι-
πλεύσαντες, ἡμιφλεγῆ ἀνεῖλκον τὴν ὁλκάδα. διέσωζον δὲ καὶ
τοὺς Ῥωμαίους κατὰ τοὺς ὅρκους οἱ ἐν τῇ νηΐ. αἱ βασιλι-
καὶ δὲ τριήρεις ἐπεὶ πᾶσαι παρεσκευασμέναι ἦσαν, καὶ οὐδὲν
ἐνέδει ἔτι, ἀνήγοντο ἐκ τοῦ νεωρίου πᾶσαι διαπρεπῶς κε-
κοσμημέναι, καὶ πλήθει ὁπλιτῶν καὶ λαμπρότητι καὶ μεγέθει
παρασκευῆς οὐδενὶ τῶν ἐκ πολλοῦ γεγενημένων Ῥωμαίοις
στόλων ἐλασσούμεναι. παρείποντο δὲ καὶ μονήρεις οὐκ ὀλί-
γαι καὶ λέμβοι καὶ ἀκάτια ὁπλίτας ἄγοντα, ἔχθει τῶν Λατί-
νων προθύμως ἁπάντων συστρατευομένων. οἵ τε Λατῖνοι C
πρὸς τὸ μέγεθος τῆς παρασκευῆς ἐκπεπληγμένοι, πάντα μᾶλ-

9. γένονται P. 13. ἐγίνετο P.

catis, onerum potiti sunt. Verum ubi rumor incerto auctore manavit, Latinas triremes e Galata eo cursum dirigere, perculsi Romani, circiter quinquaginta de suis in oneraria relictis, fugam arripuerunt. Sed hic rumor plane mendax erat. Deserti in oneraria Romani triremes abnavigasse cum sentirent, consilii inopes, cum Latinis iam victis colloquuntur; et convenit, ut communiter incendium restinguerent, ne et ipsis una pereundum foret. Postero die, si Romani adnavigantes onerariam caperent, ipsi Latinos, exoratis ducibus, conservarent: sin Latini, ut Romanis idem officium Latini praestarent, quod et factum prima luce. Paratis enim ita omnibus imperatoris triremibus, Latini adlabentes semiustam onerariam abstraxerunt, quique in ea vehebantur Latini, ex iuramento Romanis incolumitatem impetrarunt. Imperatoriae triremes instructae omnes et paratae penitus ornataeque insigniter, et armatorum numero, splendore ac magnitudine apparatus nihilo antiquis Romanorum classibus inferiores, e navali deducuntur. Uniremes non paucae sequuntur, lembi item et actuaria, et in iis cataphracti, qui omnes odio Latinorum cupide militatum proficiscebantur. Latini tanto apparatu attoniti, omnia potius cogita-

A. C. 1348 λον ἢ πρὸς τὰς βασιλικὰς τριήρεις διαναυμαχεῖν διενοοῦντο, ἀλλὰ τὰς σφετέρας τριήρεις πεπληρωμένας ἔχοντες, ὡρμίζοντο πρὸ τοῦ φρουρίου, δόκησιν μὲν παρέχοντες, ὡς ἐμβαλοῦντες ἐπιοῦσι τοῖς βασιλικοῖς, οὕτω δὲ ἦσαν παρεσκευασμένοι, ὡς τὰς μὲν τριήρεις καλωδίοις ἀνελκύσοντες, ἂν αἴσθωνται τὰς βασιλικὰς ἐπιπλεούσας, αὐτοὶ δ' ἀμυνούμενοι ἀπὸ τῶν τειχῶν. ἦσαν δὲ φαυλοτάτας ἔχοντες τὰς ἐλπίδας τοῦ καὶ ἐν τοῖς τείχεσι διασωθήσεσθαι. αἱ μὲν οὖν βασιλικαὶ τριήρεις ἀναχθεῖσαι ἐκ τοῦ νεωρίου, αὐτοῦ που πλησίον ηὐλίσαντο τὴν νύκτα, διανοούμενοι, ὡς ἐς τὴν ὑστεραίαν ταῖς με-
D τὰ τοῦ Φακεωλάτου τρισὶ τριήρεσιν εἰς ἓν γενόμενοι, Γαλατίοις ἐπιπλεύσωσι. Φακεωλάτος δὲ καὶ αὐτὸς τὰς τριήρεις ἐφοπλίσας, παρεσκευασμένος ἦν ὡς ἐς τὴν ὑστεραίαν ἐξορμήσων, καὶ ὁ βασιλεὺς ἱππικὴν ἔπεμπε στρατιὰν ἅμα δεσπότῃ τῷ υἱῷ πολλήν τε καὶ ἀγαθήν, ὡς, τῆς συμβολῆς γενομένης τῶν τριηρέων, καὶ αὐτοὶ προσβάλοιεν ἐκ τῆς ἠπείρου. ἐπεὶ δὲ ἡμέρα ἤδη ἦν, αἱ μὲν ἐκ τοῦ νεωρίου τριήρεις ἀναχθεῖσαι πρὸς τῇ Εὐγενίου καλουμένῃ πύλῃ ἤδη ἦσαν, αἱ δὲ μετὰ Φακεωλάτου τοῦ πρωτοστράτορος καὶ αὐταὶ τοῦ ποταμοῦ ἐξορμηθεῖσαι, ἠπείγοντο ταῖς ἄλλαις ἐν ταὐτῷ γενέσθαι· τοῦ δὲ πάντα ἄγοντος θεοῦ καὶ πᾶσι ταλαντεύοντος δικαίως Ῥωμαίους, ὡς ἔοικεν, εἰς πολλῶν ἄλλων ἔκτισιν ἁμαρτημάτων τιμωρουμένου καὶ τοῖς πολλῷ χείροσιν ἡττᾶσθαι παραχωροῦντος, ἀθρόον πνεύματος ἀκρίτου προσπεσόντος,

7. τὰς om. P.

bant, quam cum triremibus imperatoriis decertare. Suas autem ante oppidum instructas habebant, opinionem praebentes, in imperatorias, si venirent, ituras. Sic autem erant comparati Galataei, ut, si imperatorias accurrere viderent, funibus suas retraherent, ac de muris sese tuerentur. Verum enim vero etiam in muris sui servandi spem gerebant inanissimam. Triremes imperatoris deductae ea nocte prope navale steterunt, ut altero die cum tribus, quas Phaceolatus ducebat, coniunctae, in Galataeos agerentur. Phaceolatus et ipse paratus erat, ut postridie erumperet. Et imperator cum filio despota frequentem ac strenuum equitatum mittebat, ut, congressis triremibus, ipsi quoque a continente irruerent. Die iam procedente, naves e navali ad portam Eugenianam cernebantur: quibus autem Phaceolatus protostrator praeerat, et ipsae pulsu remorum agitatae, aliis sese aggregare festinabant. At enim Deo, qui gubernat omnia et cuique sua iuste dispensat, Romanos, ut apparet, propter praeterita eaque multa delicta puniente et a multo inferioribus superari permittente, ecce tibi magna vis venti cooritur, et primas triremes, in quibus ligneae turres, evertit, simulque milites cum ipsis armis et

καὶ πρώτας ἀνατρέψαντος τὰς τρεῖς τριήρεις, ἐφ' αἷς οἱ ξύλινοι A.C. 1348 πύργοι ἦσαν, καὶ οἱ ἄλλοι αὐτοῖς ὅπλοις κατέπιπτον P. 746 ἀπὸ τῶν νεῶν ἐπὶ τὴν θάλασσαν, καὶ ναῦται ὁμοίως καὶ ὁπλῖται, καὶ ἐν μιᾷ ῥοπῇ χρόνου πᾶσαι ἑωρῶντο κεναὶ ἐπιβατῶν. τῷ αὐτῷ δὲ χρόνῳ καὶ ὧν ὁ Φακεωλάτος ἐστρατήγει, τῶν καταστρωμάτων καὶ αὐτοὶ ἐπὶ τὴν θάλασσαν κατέπιπτον, καὶ ὄλεθρος ἦν παντοῖος ναυτῶν ὁμοῦ καὶ ὁπλιτῶν. οἱ μὲν οὖν πολλοὶ διεσώθησαν, ἐγγὺς τῆς γῆς γεγενημένης τῆς τροπῆς, ἀπέθανον δὲ ἐν τοῖς ὕδασιν ὀλίγῳ ἐλάσσους διακοσίων, καὶ ἐκ τῶν μετὰ τοῦ Τζαμπλάκωνος τεταγμένων τοῦ μεγάλου δουκὸς ὁ Φιλανθρωπηνὸς Μανουὴλ, τῆς ναυαρχίδος ἄρχων, ἀνὴρ κατὰ χεῖρα γενναῖος καὶ τῆς παρὰ βασιλέως εὐμενείας B ἀπολαύων μάλιστα. οἱ ἐν Γαλατᾷ δὲ Λατῖνοι ἀναθαρσήσαντες, ἀναχθέντες ἀνεῖλκον τὰς τριήρεις ἀναψάμενοι, κωλύοντος οὐδενὸς, οὐδὲ ἀμυνομένου, καὶ ἀναιμωτὶ τὴν νίκην εἶχον. ἡ δὲ ἐκ τῆς ἠπείρου στρατιὰ μετὰ βασιλέως τοῦ υἱοῦ ἔργου μὲν ἔχεσθαι ἐβούλοντο, οἰόμενοι καὶ τὸ ναυτικὸν ἐκ τῆς θαλάττης ἐμβαλεῖν. ἐπεὶ δὲ ἑώρων τὰς Ῥωμαίων ναῦς κενὰς ἀνελκομένας, ἀνεχώρουν καὶ αὐτοί. βασιλεὺς δὲ τὴν τοσαύτην δύναμιν ἐκ προφάσεως οὐδεμιᾶς ὁρῶν ἀπολωλυῖαν, ἐστέναξε μὲν τὴν τοιαύτην κακοπραγίαν τῶν Ῥωμαίων, οἵων αἴτιον κακῶν τὸ θεῷ προσκρούειν συνορῶν, οὐδὲν δὲ ὑφῆκε C τοῦ φρονήματος, οὐδὲ κατέπεσε πρὸς τὴν ἧτταν, ἀλλ' εὐθὺς ἐπὶ ξυλισμὸν ἐκέλευε χωρεῖν, ὡς τριήρεις ἑτέρας κατασκευά- V. 598

1. τρεῖς om. M. 20. ἀπολωλεῖαν P. 23. εὐθὺς om. P.

remiges in pelagus decidunt, et uno momento omnes vectorum vacuae adspiciuntur. Eodem puncto temporis qui stabant in tabulatis earum, quas Phaceolatus ducebat, similiter in undas delapsi sunt, eratque multiplex nautarum ac militum interitio. Complures sane, quoniam iuxta littus naves evertebantur, evaserunt: aquis suffocati circiter ducenti: et de Zamplaconis, Magni ducis, grege Manuel Philanthropenus, praefectus navis praetoriae, vir manu promptus imperatorique carissimus. Tum Galataei, instauratis animis, provehuntur: naves hostium retrahunt, easque, nemine prohibente aut ulciscente, flammis implent, et victoriam sine sanguine consequuntur. Qui vero in continente cum filio imperatoris erant, operi quidem sese accingebant, putantes etiam navales socios e mari impressionem facturos. At ubi naves Romanas inanes subduci conspexerunt, etiam ipsi retro cesserunt. Imperator videns, tantam copiam gratis periisse, tam gravi Romanorum calamitate ingemuit, ut qui Deum offensum hoc egisse intelligeret. Nihil tamen de altitudine animi discessit, nec quia victus, etiam fractus: quin subito ad novas triremes aedificandas lignatum ire praecepit, et operi curatores praefecit. Galataei

A. C. 1348 σων αὖθις, καὶ ἐφίστη τοὺς ἐπιμελησομένους πρὸς τὰ ἔργα. οἱ ἐν Γαλατᾷ δὲ εὐτυχεστάτην νομίσαντες ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ τοσούτων νεῶν ἐκράτησαν πολεμίων, οὐδὲν αὐτοὶ εἰσενεγκόντες πρὸς τὴν ἧτταν, ἑώρταζον οὐκ ἐπινίκια μόνον, ἀλλὰ καὶ σωτήρια. πᾶσαι γὰρ αὐτοῖς ἐν στενῷ αἱ περὶ τοῦ σώζεσθαι κατέστησαν ἐλπίδες. ἐς τὴν ὑστεραίαν δὲ πάσας ἐφοπλίσαντες τὰς ἑαυτῶν τριήρεις ἐστεφανωμένας ὡς ἐπὶ νίκῃ καὶ κεκοσμημένας ἐκπρεπῶς, ἀντικρὺ παρέπλεον βασιλείων, D σύροντες ἀτίμως καὶ τὰς βασιλικὰς σημαίας, ὥσπερ ἔθος, τὰς νενικημένας. ᾤοντο δὲ βασιλέα πρὸς τὴν δυσπραγίαν καὶ τὴν γνώμην ἡττημένον, αὐτίκα καταθήσεσθαι τὸν πόλεμον καὶ χωρήσειν πρὸς τὴν εἰρήνην, παραχωροῦντα τοῦ χωρίου. ὡς δὲ ἀπήντα κατ' ἐλπίδας αὐτοῖς οὐδὲν, ἀλλ' ἐπυνθάνοντο, βασιλέα αὖθις παρασκευαζόμενον τριήρεις ναυπηγεῖσθαι, πέμψαντες πρεσβείαν ἐκεῖνοι διελέγοντο περὶ εἰρήνης. καὶ πρῶτα μὲν ἐπειρῶντο βασιλέως, εἰ αὐτοῖς παραχωροίη τοῦ χωρίου· ὡς δ' ἑώρων οὐδαμῶς ἐκπεπληγμένον, οὐδὲ τὴν γνώμην ἡττημένον, ἀλλὰ τὴν μὲν δυσπραγίαν ἐκείνην νομίζοντα ἑτέρων τινῶν ἁμαρτημάτων εἴσπραξιν, αὐτὸν δὲ τῆς προτέ- P. 747 ρας γνώμης ἀκριβῶς ἐχόμενον, καὶ οὐδ' ἂν, εἰ μυρία τοιαῦτα γένοιτο, ἑκόντα εἶναι τοῦ χωρίου παραχωρήσοντα, ἀλλ' ὀργῇ φερόμενον μᾶλλον πρὸς τὴν ἧτταν καὶ προθυμότερον πρὸς τὴν παρασκευὴν, ὥσπερ ἄρτι τότε πρῶτον ἡμμένον τοῦ πολέμου, δείσαντες, μὴ εἰς κακὸν αὐτοῖς ἡ πολλὴ φιλονεικία τελευτήσῃ,

3. πολεμιῶν M. mg. 12. τὴν om. P.

porro diem illum faustissimum numerantes, quo tot hostium navibus nullo suo labore potiti essent, non solum epinicia, sed insuper soteria celebrabant. Iam enim tota spes salutis levi momento illis pependerat. Die sequenti omnibus triremibus suis instructis et tamquam in victoria coronatis elegantemque in modum exornatis, ex adverso palatii sursum ac deorsum navigantes, imperatoria signa capta ad ludibrium, ut mos est, trahebant. Et imperatorem propter adversum casum etiam animo succubuisse, statimque bello posito, pacem expetiturum et spatium, de quo supra, illis donaturum arbitrabantur. Sed ut spem eventus fefellit, eumque novas triremes compingendas locavisse audiverunt, pacem per legatos poposcerunt. Ac primum quidem de loco sibi relinquendo imperatorem tentaverunt: quem ut intrepidum et animo invictum putantemque, tristem illam fortunam aliorum quorumdam delictorum esse pretium, et in priore sententia immobilem viderunt, nec, si millies talia contingerent, locum illis donaturum, et iratum frementemque potius, quod victus, et ad vires reparandas alacriorem, velut tum primum arma capessivisset, metuentes, ne sibi parum feliciter caderet diuturna

συνέθεντο τὸ χωρίον καταλείπειν. καὶ ἐγένετο ἡ εἰρήνη ἐπὶ A. C. 1348 τούτοις, ὥστε παραδόντας βασιλεῖ αὐτοὺς, ἐπὶ τὸν πρότερον περίβολον χωρεῖν. καὶ γεγενημένων τῶν σπονδῶν, παρεδίδοσαν τὸ νέον φρούριον πρὸς δεσπότην τὸν βασιλέως υἱὸν, ἐλθόντα μετὰ στρατιᾶς. βασιλεὺς δὲ αὐτῶν μεταπεμψάμενος τοὺς ἀρίστους, ἡμέρως τε διειλέχθη καὶ προσηνῶς, καὶ τὸ χωρίον αὐτὸς ἑκὼν εἶναι ἐχαρίζετο. ἔφη γὰρ πρὸς αὐτοὺς, οὐ περὶ γῆς τοσαύτης φιλονεικεῖν, οὐδενὸς ἀξίας οὔσης, ἀλ- B λὰ περὶ τῶν προσηκόντων δικαίων τῇ Ῥωμαίων βασιλείᾳ. ἄτοπον γὰρ, ἐπήλυδας ὄντας αὐτοὺς καὶ πολλὰ ὑπὸ τῶν Ῥωμαίων βασιλέων εὐηργετημένους καὶ δικαίους ὄντας ἐν δουλευόντων εἶναι μοίρᾳ, ἔπειτα ἀναισχυντεῖν καὶ παρασπᾷν τι τῆς ἡγεμονίας βούλεσθαι ἀκόντων. διὰ ταῦτα ἔλεγε τὸν πόλεμον αἱρεῖσθαι μᾶλλον, οὐ διὰ τὴν κτῆσιν τοῦ χωρίου, καὶ γνώμην ἔχειν, ὡς πολεμήσων διηνεκῶς ἄχρι τοῦ διαφθερεῖν, εἰ μὴ βουληθεῖεν τὰ δίκαια ποιεῖν. ἐπεὶ δὲ αὐτοὶ τῆς ἀγνωμοσύνης ἀποσταῖεν καὶ καταλείποιεν τὰ ἡρπασμένα, μηδ᾽ αὐτὸν μικρολογήσειν οὕτως, ὥστ᾽ ἀποστερεῖν, οὗ τοσοῦτον ἐξέ- C χονται καὶ ποιοῦνται περὶ πλείστου. καὶ αὐτίκα ἐκέλευε τὸν υἱὸν ἐξάγειν τὴν στρατιὰν, τὸ χωρίον τοῖς Γαλατίοις παραδόντα. οἱ δὲ βασιλεῖ πολλὰς ὡμολόγουν χάριτας μετὰ πλείστων τῶν εὐφημιῶν, καὶ πρὸς τὸν βασιλέως υἱὸν ἐλθόντες, ἐπεὶ κατὰ τὸ τοῦ πατρὸς ἐπίταγμα τὸ χωρίον παρεδίδοτο, αὖθίς τε εὐφήμουν βασιλέα, καὶ χρυσίῳ πολλῷ τὴν βασιλι-

contentio, locum remittere de compacto statuerunt: factaque pax in hanc conditionem, ut spatium illud imperatori redderent, veteri ambitu contenti. Et inito foedere, novam munitionem despotae, imperatoris filio, cum agmine armatorum venienti restituerunt. Imperator autem, accersitis eorum optimatibus, comiter ac placide illos affatus, locum sponte donat. Aiebat enim, non de tantilla ac nullius pretii regiuncula, sed de iure imperii Romani cum ipsis sibi controversiam esse. Haud enim cum ratione congruere, cum sint advenae et a Romanis imperatoribus complura consecuti beneficia, ut subesse ac parere iure optimo debeant, adhuc impudenter agere, et ipsis nolentibus, aliquid de imperio velle decerpere. Atque ob hanc causam magis, quam ob loci possessionem, se ad bellum aggressum. Quod nisi iustitiae serviant, certum sibi esse, tamdiu arma continuare, quoad eos deleverit. Quoniam vero ipsi scelere desisterent, et quae rapuissent, ea relinquerent, nec se rei exiguae ita magnam rationem habiturum, ut eos privet, quod illorum tantopere intersit, quodque longe plurimi faciant: statimque filio praecipit, loco illis attributo inde militem abducere. Galataei gratias agere cum innumeris laudibus, et ad filium eius post locum iussu paterno

A.C. 1348 κὴν περιέῤῥαινον σημαίαν, ἃ διήρπασαν οἱ στρατιῶται, κελεύσαντος τοῦ δεσπότου, παιδιᾶς ἕνεκα καὶ ἡδονῆς. τοιαύτην D μὲν ὁ πόλεμος ἔσχε τὴν ἀρχὴν καὶ εἰς τοῦτο ἐτελεύτησε.

V. 599 ιβ΄. Βασιλεὺς δὲ κατά τε τὸν τοῦ πολέμου χρόνον βιαίαν τῶν χρημάτων τὴν εἴσπραξιν ἀκούων παρὰ Ταρχανειώτου γεγενημένην, καὶ θορύβων μεστὴν καὶ ὀδυρμῶν τὴν πόλιν δι' ἐκείνην γινομένην, καὶ τοὺς ὑβριστὰς καὶ συκοφάντας P. 748 προφάσεως λαβομένους καὶ λογοποιοῦντας ἄπιστα, εἴκοσι μυριάδων τὴν εἴσπραξιν χρυσίου γεγενῆσθαι λέγοντας, πολλοὺς δὲ καὶ τριάκοντα, ἐσκέψατο αὐτοῖς ἔργοις τοὺς συκοφάντας ἐπιστομίζειν. καὶ ἐκκλησίαν αὖθις πάνδημον συναγαγὼν, εὐθύνας ᾔτει περὶ τῶν χρημάτων Ταρχανειώτην. καὶ ἀπεδείκνυτο, καὶ τῶν τὰ χρήματα παρασχομένων συνομολογούντων, μὴ πλέον εἰσπεπρᾶχθαι πέντε μυριάδων, ἃ ἀνάλωτο πρὸς τοῦ στόλου τὴν παρασκευὴν, καὶ ἕτερα οὐκ ὀλίγῳ πλείω τούτων ἐκ τῶν δημοσίων καὶ βασιλικῶν. ὁρῶν δὲ τῶν δεόντων πολλὰ διὰ τῶν χρημάτων τὴν ἔνδειαν παραλειπόμενα, καὶ τότε ἐκ τῶν ἰδίων εἰσφέρειν Ῥωμαίους οὐ προθυμουμέ- B νους, καὶ τὰς δημοσίας προσόδους παντάπασιν ἐκλελοιπυίας, φόρους ἔταττε μὴ πρότερον νενομισμένους, ὥστε πᾶσαν ὁλκάδα σῖτον ἄγουσαν ἐξ ἀλλοδαπῆς ἐωνημένον, ὑπὲρ μεδίμνου ἥμισυ χρυσίου τῷ δημοσίῳ φέρειν, καὶ τῶν ἄλλων καρπῶν ἀναλόγως· τοὺς δὲ περὶ γεωργίαν ἠσχολημένους οἴνου ὑπὲρ πεντήκοντα χοῶν χρυσίον ἓν τελεῖν· τοὺς μέντοι ἐκ τῶν γε-

15. πολέμου M. mg. 24. ἐντέλειν M. mg.

illis traditum veniendo rursus imperatorem in coelum ferre, magnamque nummum aureorum vim circa vexillum imperatorium spargere, quos, despota iubente, milites lusus et voluptatis gratia diripuerunt. Huiusmodi igitur initium ac finem id bellum accepit.

12. Imperator autem per id bellum Tarchaniotam immane quantum exegisse, et turbarum querelarumque plenam esse urbem audiens, convitiatoresque ac sycophantas, captata occasione, incredibilia comminisci, bis centenum, immo, ut multi garriebant, ter centenum millium aureorum exactum fuisse, ipso facto os illis obturare decrevit. Mox convocato toto populo, Tarchaniotam imperatae pecuniae rationem poposcit. Reddidit, iis ipsis, qui pensitarant, confitentibus, non plus quinquaginta millia exegisse: praeter alia non paulo plura ex aerario publico et fisco imperatoris, quae in apparatum classis consumpta fuerint. Cum porro animadverteret, necessaria multa propter difficultatem omitti, et tum Romanos ad conferendum de suo parum faciles publicaque vectigalia omnino defecisse, tributa prius inusitata imposuit: ut oneraria quaelibet frumentum in extera regione coëmptum advectans pro medio medimno

ωργούντων ὠνουμένους διπλάσιον παρέχειν, οὐ μόνον ὡς A. C. 1348 εὐπορωτέρους, ἀλλ' ὅτι καὶ ἀμογητὶ ἐκ τῶν ἑτέρων πόνων αὐτοὶ πολλαπλασίω τὰ κέρδη φέρονται. νόμου δὲ ὄντος ἀρχαίου δεκάτας τοὺς ἐμπορευομένους ἅπαντας τελεῖν τῷ δημοσίῳ, πεντηκοστύας ἔταξεν αὐτός. ἐξ ὧν ὀλίγῳ δέουσαι C διακοσίων ὁλκάδες προσεγένοντο Ῥωμαίοις ἐν ὀλίγῳ χρόνῳ, οὐδέπω ἄχρι τότε γεγενημένον, καὶ μεγάλην δύναμιν ἐκτήσαντο ναυτικὴν καὶ πολλὰ ἐκ τῆς ἐμπορίας ὠφελοῦντο, θαλάσσης ἤδη ἄρχοντες γεγενημένοι. ἐχομένης δὲ τῆς Χίου, ὥσπερ ἱστόρηται ἡμῖν, ὑπὸ τῶν ἐκ Γεννούας ἀδίκως ἐν σπονδαῖς, πρὸς τὸν ἄρχοντα αὐτῆς, δοῦκα ἐγχωρίως προσαγορευόμενον, καὶ τὴν βουλὴν καὶ τὸν δῆμον ὁ βασιλεὺς ἔπεμψε πρεσβείαν, ἀπαιτῶν τὴν νῆσον κατὰ τὰς σπονδὰς καὶ τοὺς ὅρκους, οὓς ἔχουσι μετὰ τῶν Ῥωμαίων βασιλέων. δοὺξ δὲ καὶ ἡ βουλὴ καὶ ὁ δῆμος δίκαια μὲν ἔφασαν προκαλεῖσθαι βασιλέα, οὐ κατὰ γνώμην δὲ αὐτοῖς ἔχεσθαι τὴν νῆσον, οὐ- D δὲ ψήφῳ τῆς βουλῆς, ἀλλὰ τῶν παρ' αὐτοῖς εὐπατριδῶν τινας οἰκείοις ἀναλώμασι τὸν στόλον ἐφοπλίσαντας κατασχεῖν, οὓς μὴ δύνασθαι νῦν βιάζεσθαι· δεήσει γὰρ πολλῶν χρημάτων καὶ παρασκευῆς οὐ τῆς τυχούσης, ὥστε ἀκόντων τὴν νῆσον ἀφαιρεῖσθαι· ἀλλὰ τοῦ χρόνου προϊόντος προνοίᾳ μᾶλλον ἀφελομένους καὶ οἰκονομίᾳ ἀποδοῦναι βασιλεῖ ἀναμφιβόλως. τοιαῦτά τε εἶπον πρὸς τοὺς πρέσβεις βασιλέως, καὶ ἅμα Ἑρμίνιον Ἰά-

20. οὐκ ὄντων M.

aureum dimidium aerario penderet, et pro fructibus pro portione similiter. Agricolae pro quinquaginta congiis vini aureum persolverent. Qui a rusticis mercarentur, duplum darent, non solum ut copiosiores, sed quod etiam citra laborem ipsi ex aliorum laboribus lucra maiora factitarent. Cumque vetus esset lex, ut mercatores singuli aerario decumas solverent, ipse quinquagecumas instituit: unde paulo minus ducentis onerariae brevi tempore Romanis accesserunt, quod antea nunquam factum: valebantque navali potentia, et iam domini maris ex mercimoniis quaestum non mediocrem colligebant. Quia vero Chius, ut narravimus, iniuste et contra foedus a Genuensibus teneretur, ad principem eorum, (ducem ipsi appellant,) ad senatum populumque imperator legatos misit, insulamque secundum sancita cum Romanis foedera repetivit. Dux, senatus populusque responderunt, iusta quidem imperatorem postulare, verumtamen insulam non sententia ac suffragio suo, sed quorumdam apud se nobilium seu patriciorum, qui suis sumptibus classem instruxissent, audacia obtineri, quos in praesens coërcere non possent: opus enim fore grandi impensa et apparatu non minimo, quibus cum carerent, eos insula nequire depellere, sed tempore procedente, industria potius ac providentia quadam illis ademptam imperatori haud dubie

A. C. 1348 κωβον καὶ Πινέλον Ἀνταρὼ, ὄντας ἐκ τῶν παρ' αὐτοῖς ἐπιφανῶν,
V. 600 πρὸς βασιλέα πρέσβεις ἔπεμψαν ἰσχυριζομένους περὶ τῶν αὐ-
P. 749 τῶν. βασιλεῖ δὲ ἐδόκει ἡ ἀπολογία οὐκ ἀρκοῦσα, ἀλλὰ προθεσμίαν τινὰ ἐζήτει, καθ' ἣν ἀποδώσουσι τὴν νῆσον, ἢ μὴ ἐγκαλεῖν ἐπιορκίαν, ἂν αὐτὸς ἀφέληται δυνηθείς. καὶ συνέβησαν, ὥστε Λατίνους μὲν τὴν κατὰ τὴν νῆσον πόλιν, Χίον καὶ αὐτὴν προσαγορευομένην, ἐπὶ δέκα ἔτεσι κατέχειν καὶ καρποῦσθαι τὰς προσόδους, παρέχοντας ἐνιαύσιον τῷ βασιλεῖ δισχιλίους καὶ μυρίους χρυσοῦς. ἐγείρειν δὲ καὶ σημαίαν βασιλικὴν ἐντὸς τῆς πόλεως κατὰ τὸ ἔθος, καὶ ἀρχιερέα εἶναι ἐκ τῆς ἐν Βυζαντίῳ ἐκκλησίας κεχειροτονημένον, καὶ εὐφημεῖν τοὺς βασιλέας κατὰ τὰ σάββατα, ὡς ἔθος· μνείαν τε αὐτῶν τοὺς ἱερέας ἐν ταῖς ἱεροτελεστίαις ποιεῖσθαι καὶ μηδὲν κωλύεσθαι
B παρ' οὐδενός. τὴν δὲ ἄλλην νῆσον ἅπασαν καὶ τὰ φρούρια καὶ κώμας ὑπὸ βασιλέως ἔχεσθαι καὶ ἄρχοντα αὐτοῖς, ὃν ἂν ἐθέλῃ, ἐφιστᾶν· τὸν δὲ καὶ τῶν ἐντὸς Χίου τῆς πόλεως Ῥωμαίων ἄρχειν. κἂν μὲν Ῥωμαίῳ πρὸς Ῥωμαῖον ὑπὲρ ἰδίων ἀδικημάτων ἀμφισβήτησις ᾖ, παρὰ τὸν Ῥωμαίων ἄρχοντα δικάζεσθαι· ἂν δὲ Λατίνῳ πρὸς Ῥωμαῖον, ἢ τὸ ἔμπαλιν, τοὺς δύο ἄρχοντας συνερχομένους, διαλύειν τὴν ἀμφιβολίαν, ἑκατέρῳ τὸ δίκαιον περισώζοντας, ὁποτέρῳ ἂν προσῇ. μετὰ δὲ τὰ δέκα ἔτη, ἐξ ὅτου βασιλεὺς ὁ Καντακουζηνὸς ἐκράτησε Βυζαντίου ἀριθμούμενα, παντάπασιν ἀφίστα-
C σθαι Χίου τοὺς Λατίνους. τοιαῦτα μὲν οἱ ἐκ Γεννούας πρέ-

15. ἄρχοντας P.

restituturos. Haec responderunt, et simul Iacobum Herminium et Antarum Pinellum de nobilitate fidei faciendae miserunt. Imperatori responsum non placuit, voluitque diem praestitui reddendae insulae: aut se periurii ne accusarent, si eam extorquere potuisset. Et conventum est in eam conditionem, ut Latini urbem insulae, etiam Chium nominatam, ad decennium retinerent fruerenturque redditibus, pendentes in annos singulos imperatori duo et viginti aureorum millia. Insuper vexillum imperatorium in urbe pro consuetudine erigerent; episcopum ex ecclesia Byzantina acciperent, et sabbatis pro more faustum imperatoribus acclamarent: eorumque memoriam sacerdotes in sacrificio missae frequentarent, nec ab ullo prohiberentur. Reliqua insula tota cum castellis et vicis sub imperatore esset: qui praefectum pro arbitratu constitueret: et is Romanos, qui intra urbem versarentur, regeret privatasque eorundem controversias disceptaret. Quodsi Latinus quispiam Romano, aut Romanus Latino litem intenderet, praetores seu praefecti simul ius illis dicerent, et litem secundum alterutrum darent. Post decem vero annos ab occupato a Cantacuzeno Byzantio Latini Chio peni-

σβεις συνέθεντο πρὸς βασιλέα. Βενιοῦζος δὲ Συμεὼν, ὃς ἦν A.C. 1348 διαφορώτατος τῶν τὴν Χίον κατεχόντων, καὶ οἱ ἄλλοι οὐ προσεδέξαντο τὰς συμβάσεις, ἀλλὰ φανερῶς ἀπείπαντο, πολέμιοι μᾶλλον ψηφίζεσθαι τῆς βουλῆς καὶ τοῦ δήμου Γεννούας ἢ Χίου ἀποστῆναι προελόμενοι. ἐν ᾧ δὲ οἱ βασιλέως πρέσβεις χρόνῳ ἐν Γεννούᾳ ἦσαν, Τζυβός τις, ὁ δυνατώτατος τῶν Χίων, Φωκαίας τῆς παλαιᾶς ὑπὸ Γεννουϊτῶν ἄρχων καταστὰς, ὅτε πρὸς αὐτοὺς ἡ Χίος παρεδίδοτο, (ὁμολογίᾳ γὰρ προσεχώρησαν, ὥσπερ ἔφημεν, σίτου ἐνδείᾳ πιεσθέντες,) πρὸς βασιλέα πέμψας, πρῶτα μὲν συγγνώμην ᾔτει ἐπὶ τῇ παραδόσει Χίου, ὡς οὐ κακίᾳ μᾶλλον, ἢ ἀνάγκῃ πεπραγμένῃ, παρῄνει δὲ μὴ τῆς νήσου ἀμελεῖν, ὡς, εἰ μικρὰν παράσχοιτο D ἐπικουρίαν, ῥᾳδίως αὖθις αὐτοῦ Ῥωμαίοις ἀνασωσομένου. βασιλεὺς δὲ ἐπῄνει τε τὸν Τζυβὸν καὶ μεγάλα ἐπηγγέλλετο τῆς προθυμίας ἕνεκα. ἐκέλευε δὲ τὸ νῦν ἔχον ἀτρεμεῖν, ἄχρις ἂν οἱ ἐν Γεννούᾳ πρέσβεις ἐπανήξουσιν. ἄδηλον γὰρ εἶναι, εἰ μὴ χωρὶς κινδύνων ἀπολήψεται τὴν νῆσον· ἄλλως τ' οὐδ' αὐτῷ προσῆκον ὂν, περί τε εἰρήνης καὶ σπονδῶν διαλέγεσθαι πρεσβεύοντα καὶ πρὸς ἐπιβουλὰς ἐν ταὐτῷ καὶ πόλεμον χωρεῖν. καὶ ἦν ἂν βέλτιον, εἰ ἐπείθετο τῇ βασιλέως παραινέσει. ὑπὸ δὲ προθυμίας καὶ τῆς πρὸς τοὺς κινδύνους καὶ τὰς μάχας εὐτολμίας μὴ περιμείνας καὶ τὴν ἐκ βασιλέως ἐπικουρίαν, ἀλλὰ μόνῃ τῇ σφετέρᾳ θαῤῥήσας ἀπώλετο δυνά- P. 750 μει. συναγαγὼν γὰρ ὅσους μάλιστα ἐκ Φωκαίας ἐνῆν Ῥωμαίους, διέπλευσεν ἐπὶ τὴν Χίον ἀπροσδοκήτως καὶ τοῖς Λα-

tus excederent. Haec pacta legati Genuensium cum imperatore inierunt. Simeon vero Beniuzus, eorum, qui insulam tenebant, facile princeps, ceterique manifeste repugnarunt, praeoptantes hostes senatus populique Genuensis iudicari, quam Chio discedere. Dum legati Genuae versantur, Zybus quidam, Chiorum potentissimus, Phocaeae veteris praefectus a Genuensibus creatus, quando illis Chius dedebatur, (deditione enim ad eos venit, victu defecta, ut diximus,) ad imperatorem mittens, primum quidem veniam propter Chium traditam rogabat: id enim non magis nequitia sua, quam necessitate factum. Deinde hortabatur, ne insulam sibi negligendam duceret: nam si parvo adiuvaretur auxilio, se illam Romanis haud operose recuperaturum. Imperator Zybo laudem impertiri et ob voluntatem adeo propensam magna polliceri: monere tamen, se contineret, donec legati Genua revenirent. Fortassis enim citra dimicationem eam recepturum. Addebat, alienum esse a dignitate sua, de pace et foedere legatos mittere, et interim inimica inire consilia bellumque moliri. Ac melius de se meruisset, si imperatori obtemperasset.

A. C. 1348 τίνοις συμβαλὼν, ἐνίκα κατὰ κράτος καὶ τειχήρεις ἐποίησεν ἐν Χίῳ, πολλῶν πεσόντων καὶ Βενιούζου τοῦ ἄρχοντος τραυματίου γενομένου. τοῦ θεοῦ δὲ ἑτέρως ταλαντεύοντος, συνέβη κατ' αὐτὴν τὴν ἡμέραν, ἐν ᾗ ἡ μάχη ἐγεγένητο, Ἀνδρέαν Πετρίλαν, ἐκ Γεννούας ὄντα καὶ αὐτὸν, ἅμα δυσὶ τριήρεσιν ἐκ Σμύρνης τὴν Χίον παραπλέοντα πρὸς Βυζάντιον ἐπείγεσθαι· πυθόμενον δὲ, ὡς ὑπὸ Τζυβοῦ πολιορκοῖντο οἱ ὁμόφυλοι, ἀποβῆναί τε πρὸς τὴν Χίον καὶ ἐπικουρεῖν τοῖς πολι-
B ορκουμένοις. δευτέρας δὲ μάχης γενομένης καὶ τῆς νίκης αὖ-
V. 601 θις ἀφορώσης πρὸς Ῥωμαίους, ὁ Τζυβὸς ἀγωνιζόμενος εὐψύχως ἔπεσε, βέλει τρωθεὶς κατὰ τὴν μάχην, καὶ πάλιν οἱ Λατῖνοι τῆς Χίου κύριοι ἦσαν, τῶν Φωκαέων εἰς τὴν Φώκαιαν περαιωθέντων μετὰ τοῦ στρατηγοῦ τὴν τελευτήν· ἣν καὶ βασιλεῖ παρέδοσαν κατασχόντες πρότερον τελοῦσαν ὑπὸ Γεννουΐταις ὅσον χρόνον καὶ ἡ Χίος. βασιλεὺς δὲ ἔπεμψεν εἰς Φώκαιαν Λέοντα τὸν Καλόθετον ἄρχειν, Χῖον μὲν ὄντα καὶ αὐτὸν, κατὰ δὲ τὸν τοῦ πολέμου χρόνον τῆς νήσου παρὰ Ἀποκαύκου ἐκβληθέντα τοῦ μεγάλου δουκὸς καὶ πολλὴν ὑποστάντα κάκωσιν διὰ τὴν πρὸς Καντακουζηνὸν τὸν βασιλέα
C εὔνοιαν, Τζυβὸν ἀντ' ἐκείνου καταστήσαντος ἄρχοντα. ὃ καὶ μάλιστα αἴτιον τῆς Χίου ἀπωλείας ἐδόκει γεγενῆσθαι. πολὺ γὰρ ἐκείνου βελτίων ἦν συνέσεως ἕνεκα καὶ προμηθείας καὶ τοῦ διασώζειν εἰδέναι τὴν πιστευθεῖσαν πόλιν ἀπὸ τῶν πο-

7. οἱ om. P.

Prae cupiditate enim audaciaque militari non exspectato subsidio, sed suis dumtaxat viribus confisus, periit. Coactis enim, quot maxime licebat, ex Phocaea Romanis, repentino Chium navigavit, et cum Latinis conserto proelio, palam eos vicit, multisque occisis et Beniuzo principe vulnerato, reliquos intra moenia compulit. Deo autem aliter statuente, eo ipso die, quo pugnatum est, contigit Andream Petrilam Genuensem cum duabus triremibus Smyrna Chium urbem praeternavigantem, Byzantium festinare, et audientem, cives suos a Zybo obsideri, et in insulam descendere obsessisque succurrere. Conflictu iterato et rursum ad Romanos spectante victoria, Zybus, animose pugnans, ictu sagittae moribundus concidit, et Chius, Phocaeensibus post caedem ducis sui Phocaeam reversis, ad Latinos rediit, quam a se tamdiu obtentam, quamdiu et urbem Chium, imperatori tradiderunt. Imperator Phocaeam Leonem Calothetum praefectum mittit, qui et ipse Chius erat, ac belli tempore ab Apocaucho, magno duce, in Zybum translata praefectura, propter studium erga Cantacuzenum magnopere afflictatus et insula denique pulsus erat, quae praecipua Chii amittendae causa visa est: intelligentia enim ac provisione futurorum scientiaque tuendae urbis sibi creditae multum illi prae-

λεμίων. ὃς εἰς Φώκαιαν ἐλθὼν, περιεποίησεν αὐτὴν Ῥωμαί- A.C. 1348 οις ἄχρι νῦν κατεχομένην.

ιγ'. Ἐπεὶ δὲ καὶ Πελοπόννησος διέφθαρτο παντάπασιν D οὐ μόνον ὑπὸ τῶν Περσῶν στόλοις μεγάλοις ἐπιόντων καὶ ὑπὸ Λατίνων τῶν τὴν παρ' Ἕλλησιν Ἀχαΐαν λεγομένην κατεχόντων, ὑπηκόων ὄντων πρίγγιπι, ἀλλὰ καὶ μᾶλλον ὑπὸ σφῶν αὐτῶν, διηνεκῶς ἀλλήλοις ἀντικαθισταμένων καὶ διαρπαζόντων τὰ ἀλλήλων καὶ ἀποκτεννόντων, καὶ κῶμαι μὲν ἀτείχιστοι ὑπὸ τῶν ἔξωθεν ἀνάλωνται πολεμίων, αἱ πόλεις δὲ ὑπὸ τῶν ἐνοικούντων, καὶ παντάπασι προσεδοκῶντο ἐκλιπεῖν· πρόνοιάν τινα αὐτῶν ποιήσασθαι ἐσκέψατο ὁ βασιλεύς. μείζω P. 751 δὲ οὐκ ἔχων, τὸν υἱὸν ἔπεμψε δεσπότην τὸν Μανουὴλ τριήρεσιν, ἄρξοντα Πελοποννησίων καὶ πρόνοιαν ποιησόμενον τὴν δυνατήν. ὃς ἐλθὼν πρῶτα μὲν τὰς ἐμφυλίους ἔλυσε στάσεις, τούς τε πρώτους ἀρχομένους κολάζων, ὥσπερ δίκαιον, καὶ τοὺς ἄλλους ἐκφοβῶν μὴ τοῖς ὁμοίοις ἐγχειρεῖν. ἔπειτα δὲ καὶ πρὸς Λατίνους θέμενος σπονδὰς, ἀβλαβεῖς τοὺς οἰκείους ἐξ ἐκείνων διετήρει, καὶ πρὸς τοὺς βαρβάρους ἀντικαθιστάμενος καὶ μάχαις πολλαῖς νικήσας, ἔπεισε μὴ πάνυ Πελοποννησίων καταφρονεῖν. ἐξ ὧν αἵ τε πόλεις ἀνεῤῥώννυντο καὶ ὥσπερ ἀναφέρειν ἐκ μεγάλων συμφορῶν ἐδόκουν, καὶ ἡ χώρα συνῳκίζετο, ἀδείας οὔσης τοῖς ἀγροῖς ἐνδιατρίβειν, B καὶ ἡ Σκυθῶν ἐρημοτέρα Πελοπόννησος ἐν ὀλίγῳ χρόνῳ ἐ-

8. ἀποκτενόντων M.

stabat. Hic Phocaeam veniens, eam in fide Romanorum usque hodie conservavit.

13. Quoniam vero et Peloponnesus omnino labefactata erat, non a Persis solum, classibus magnis eam invadentibus, et a Latinis, quam Graeci Achaiam vocant, occupantibus et principi suo parentibus, sed etiam, et quidem amplius, a semet ipsis, continenter mutuo belligerantibus, diripientibus, occidentibus: et vici muris carentes ab externis hostibus, urbes autem a civibus incolis vastabantur, ut ab extrema pernicie non procul abesse viderentur, curam aliquam eis impendere' imperator cogitavit. Maiorem autem filium ad manum non habens, minorem, nempe Manuelem despotam, cum triremibus praetorem Peloponnesiis misit, pro virili iis commodaturum. Qui ante omnia civiles discordias sanavit, punitis earum, ut decuit, auctoribus et territis aliis, ne similia conarentur. Postea cum Latinis foedere composito, suos ab eorum servavit iniuriis, et cum barbaris acie congrediens ac saepe vincens effecit, ne ita Peloponnenses contemnerent. Quibus ex rebus et civitates pristinas vires recipiebant, et ex magnis calamitatibus respirabant quodammodo, et agris parta securitate regio domiciliis frequentabatur, ac demum Peloponnesus Scythia desertior, brevi culta apparebat, beneque ha-

A. C. 1348 φαίνετο γεωργουμένη, καὶ τῆς μελλούσης εὐεξίας οὐκ ἀγεννεῖς παρείχετο ἐλπίδας. οὐ μόνον δὲ ταῖς πόλεσι κοινῇ παρείχετο τὰς εὐεργεσίας, ἀλλὰ καὶ ἰδίᾳ εὖ τοὺς δυνατοὺς ἐποίει τῶν Πελοποννησίων· τοῖς δὲ οὐδὲν τῶν γινομένων ἤρκει, ἀλλὰ πάντα μᾶλλον ἦσαν ἀνεκτὰ, ἢ τὸ μὴ στασιάζειν καὶ τῷ σφετέρῳ χρῆσθαι ἤθει. ὅθεν πρὸς ἀλλήλους μὴ δυνάμενοι διὰ τὸ πρὸς τὸν δεσπότην δέος, μιᾷ γνώμῃ πάντες ἐπ' αὐτὸν συνέστησαν καὶ πόλεμον ἤραντο κοινῇ. συνεσκεύ-
C ασε δὲ τὴν ἐπιβουλὴν Λαμπούδιός τις ὁ περὶ ταῦτα δεινότατος τῶν Πελοποννησίων· ὃς ἐπειδὴ πρότερον οἱ ἀνθιστάμενοι ἐνίκων, πάντων ὧν εἶχεν ἀποστερηθεὶς, εἰς ἐσχάτην ἤλασε πενίαν, διὰ τῶν τρόπων τὴν μοχθηρίαν καὶ τὸ περὶ
V. 602 τὸ στασιάζειν ἐξησκῆσθαι καὶ ὑπὸ τοῦ δεσπότου παροφθείς. εἶτα προσελθὼν καὶ δεηθεὶς καὶ πίστεις παρασχόμενος, ὡς οὐδὲν οὐδέποτε νεωτερίσειεν, ἀλλ' εὔνους αὐτῷ καὶ τῶν φιλούντων ἄγαν μενεῖ, ἀνελαμβάνετό τε καὶ εἰς τὴν προτέραν τύχην ἤγετο, πολλὰς ἀφορμὰς εἰς τὸ πλουτεῖν παρεχομένου τοῦ δεσπότου. καὶ πρὸς τοὺς ἀντιπάλους ἀξιόμαχος ἤδη ἦν.
D οὔτε γὰρ κακοπραγία, οὔτ' εὐημερία, οὔτε χρόνος ὁ πάντα λύων διαλύειν δύναται αὐτοῖς τὴν πρὸς ἀλλήλους ἔχθραν, ἀλλὰ διὰ βίου τε πολέμιοί εἰσιν ἀλλήλοις, καὶ μετὰ τελευτὴν ὥσπερ τινὰ πατρῷον κλῆρον καταλείποντες τοῖς παισὶ τὴν πρός τινας διαφοράν. καὶ τῶν Λυκούργου νόμων πάν-

bitura etiam atque etiam sperabatur. Nec solum urbibus communiter, sed separatim quoque proceribus Peloponnesiacis benefaciebat, quibus tamen nihil sufficiebat, sed ferre poterant omnia, praeterquam non exercere factiones, nec suis uti moribus. Quare cum id inter se metu despotae non possent, una mente omnes in eum conspirant pariterque arma sumunt. Insidias autem et dolos quidam Lampudius machinatur, harum artium ex omnibus Peloponnesiis peritissimus, qui ab adversa factione victus et facultatibus suis usque ad assem nudatus, ad ultimam redactus inopiam, propter morum improbitatem exercitationemque in concitandis seditionibus a despota quoque despiciebatur. Ad quem deinde adiens et cum precibus fidem obstringens, nihil unquam novarum rerum moliturum, sed eius cupidissimum semper fore, ab eo susceptus atque in priorem statum restitutus est, multaeque ad opes exaggerandas illi occasiones datae, ut iam potentia adversariis exaequaretur. Nec enim vel secundae vel turbidae res, nec tempus omnia consumens mutua illorum odia valet consumere, sed usque ad mortem inimicitias gerunt: et post mortem velut patrimonium quoddam filiis simultatem cum aliquibus relinquunt, ac Lycurgi legum parum observantes, uni tantum Solonis studiose obediunt, notantis infamia cives, qui

τῶν ἀμελήσαντες, ἑνὸς μόνου τῶν Σόλωνος ἐξέχονται τοῦ A.C. 1348 Ἀθηναίου ἀκριβῶς, ὃς ἀτίμους ποιεῖ τῶν πολιτῶν τοὺς ἐν στάσει μηδεμιᾷ μερίδι προσκειμένους. τοῦ δεσπότου δὲ διὰ τὰς ληστείας τῶν Περσῶν, (ἐποιοῦντο γὰρ πολλὰς καὶ συνεχεῖς ἐκ τῆς Ἀσίας περαιούμενοι ὀλίγοι καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν,) δεῖν οἰομένου τριήρεις κατασκευάζειν ἐφ' ᾧ περιπλέοιεν τὴν νῆσον καὶ κωλύοιεν τοὺς πειρατὰς, ἐπεὶ P. 752 πᾶσι λυσιτελεῖν ἐδόκει, καὶ ἔδει πάντας χρήματα εἰσφέρειν, ὁ Λαμπούδιος ὑπέρχεται τὴν εἴσπραξιν ἑκοντὶ, πολλὰ τοῦ δεσπότου δεηθεὶς, ὡς τῶν ἄλλων μᾶλλον αὐτὸς καταπραξόμενος βέλτιον διὰ τὴν ἐμπειρίαν καὶ τὴν πρὸς ἐκεῖνον εὔνοιαν. ἀδείας δὲ τυχὼν, τὴν Πελοπόννησον ἅπασαν περιιὼν, ἐξεπολέμου τῷ δεσπότῃ, καὶ πόλεσιν ἁπάσαις καὶ κώμαις τὴν ἐθελοδουλίαν ὀνειδίζων, καὶ τὸ μὴ ἀξίως τῶν προγόνων ἐπὶ τὴν ἐλευθερίαν προθυμεῖσθαι, ἀλλ' ὥσπερ ἀνδράποδα ἀνέχεσθαι ἄγεσθαι καὶ φέρεσθαι ὑπὸ τοῦ δεσπότου, καὶ τέλος πάντας ἔπειθεν ὁμοίως τῷ δεσπότῃ πολεμεῖν, ἰσχυριζόμενος, ὡς ἢ οὐκ ἀντισχήσει κοινῇ πρὸς πάντας πολεμῶν, B ἀλλὰ φεύξεται καταλιπὼν τὴν Πελοπόννησον, ἀγαπητὸν ἡγούμενος τὸ σώζεσθαι, ἢ διαφθαρήσεται μένων, πανταχόθεν τοῦ πολέμου περιῤῥέοντος. οὕτω μὲν ἐκείνους ἔπειθε καὶ πᾶσιν ἔδωκε σύνθημα κοινὸν, ἵν' ἐν ἡμέρᾳ τῇ αὐτῇ τοῖς σφισιν ἄρχουσι πάντες ἐπιθέμενοι, πρῶτον μὲν αὐτῶν κρατήσωσιν,

5. γῆν καὶ κατὰ om. P.

in seditione neutrarum partium fuissent. Despota vero propter Persarum depraedationes, (quas multas et assiduas terra marique pauci ex Asia traiicientes inferebant,) iudicante, triremes comparandas, quibus insula circumnavigaretur, et piratae arcerentur, cum id pro utili placeret omnibus, et in id pecuniam conferri viritim oporteret, Lampudius munus exactionis, ut prae ceteris universis ob experientiam et amorem erga illum melius eo functurus, multis precibus sibi a despota ultro deposcit, nactusque potestatem, totam Peloponnesum obiens, animos ad arma in eum sollicitat; urbibus ac vicis omnibus voluntariam servitutem exprobrat: eos maiorum suorum dissimiles, ad asserendam libertatem torpere, ac mancipiorum instar agi se ferrique a despota perpeti. Sic tandem peraeque omnibus armorum corripiendorum auctor fuit, affirmans, aut nihil ipsum contra universitatem valiturum, sed Peloponneso relicta fugiturum, contentum servasse animam, aut si maneat, cum bello undique coarctetur, periturum. Sic illos seduxit, communeque pactum proposuit, ut omnes eodem die suos praefectos aggressi, primum quidem illos in potestate haberent, deinde in despotam iam imbecilliorem infesti irent. Acta transacta ex illius consilio omnia. Uno enim

A. C. 1348 ἔπειτα ἐπιστρατεύσωσι δεσπότῃ, ἀσθενεστέρῳ γεγενημένῳ ἤδη. καὶ κατὰ τὴν ἐκείνου παραίνεσιν πάντα ἐξελεῖτο. ἡμέρᾳ γὰρ τῇ αὐτῇ πάντων ἐκράτησαν, ὅσοι πόλεων ἦρχον ἢ κωμῶν· ἔπειτα ἁπανταχόθεν ἀθροισθέντες παμπληθεῖς πεζοί τε καὶ C ἱππεῖς ἐπῄεσαν δεσπότῃ, Λαμπουδίου μετὰ τῶν ἄλλων τῶν δυνατωτέρων ἡγουμένου. δεσπότης δὲ τοὺς ἰδίους ἐφοπλίσας, ὅσοι εἵποντο ἐκ Βυζαντίου, περὶ τριακοσίους ὄντας λογάδας πάντας, ἀντεπεξῄει τοῖς Πελοποννησίοις, καὶ μισθοφόρους ἔχων ὀλίγους Ἀκαρνᾶνας. οἱ δὲ οὐδὲ εἰς ὄψιν ὑπομείναντες ἐλθεῖν, εἰς φυγήν τε ἐτράποντο καὶ διελύθησαν κατὰ πόλεις· καὶ οἱ μὲν αὐτίκα προσεχώρουν παραιτούμενοι καὶ ἐτύγχανον συγγνώμης, ὅσοι δὲ ἦσαν τολμηρότεροι πρὸς νεωτερισμοὺς, τὰς πόλεις κατασχόντες, οὐκ ἐδέχοντο δεσπό-D την ἀνοήτως. οἳ γὰρ ὁμοῦ σύμπαντες ἀντισχεῖν οὐκ ἠδυνήθησαν, οὗτοι κατ' ὀλίγους διαιρεθέντες, ἤλπισαν περιγενήσεσθαι. ὕστερον μέντοι καὶ αὐτοὶ μετὰ πολλὴν κάκωσιν καὶ τὰς συνεχεῖς ἐπιδρομὰς καὶ λεηλασίας τὸ συνοῖσον συνιδόντες, προσεχώρουν τῷ δεσπότῃ δεόμενοι τυχεῖν συγγνώμης. ὁ δὲ παρείχετο πᾶσιν, οὐ μισῶν μᾶλλον, ἢ τῆς ἀνοίας ἐλεῶν, ὅτι V. 603 ἀκινδύνως σώζεσθαι ἐνὸν, ἀπώλοντο τοῖς ὑπὲρ δύναμιν ἐπιχειροῦντες. ἡσύχασαν δὲ χρόνον οὐκ ὀλίγον, τὴν ὑπὸ δεσπότῃ δουλείαν οὐ μᾶλλον ὑπ' εὐγνωμοσύνης εὐμαρῶς φέροντες, ὅσον ὑπὸ δέους. τοῦ πρὸς ἀλλήλους δὲ τῶν βασιλέων αὖθις πολέμου

eodemque die sub iugum missi omnes, qui urbibus aut vicis praeerant. Post undequaque conflata ingens peditum equitumque vis, Lampudio et potentioribus praeeuntibus, in despotam tendit. Is cum suis quotquot Byzantio adduxerat, (adduxerat autem circiter trecentos, selectos omnes,) paucisque conductitiis Acarnanibus contra Peloponnesios procedit, qui ne in conspectum quidem hostium venire sustinentes, in fugam versi et oppidatim dilapsi sunt. Tum de his alii quidem in eius fidem statim se tradidere, veniam poscentes, quam mox consequebantur; alii, quibus ad studium rerum novarum plus inerat audaciae, urbibus occupatis, despotam non admittebant, stolide profecto; qui enim omnes simul resistere non poterant, hi per cohorticulas dissipati, victoriam sibi pollicebantur. Tandem aliquando et ipsi, tot perlatis incommodis et incursionibus direptionibusque assiduis oculos aperuerunt, et petita venia, in despotae auctoritatem concesserunt. Ille ignoscere omnibus, nec eos odisse magis, quam, ut amentes, miserari: qui cum sine periculo servari possent, iniqua viribus conati, sese perditum iverant. Nec diu requierunt, quod despotae imperium non tam propter aequanimitatem libentes, quam cum timore nolentes sufferrent; et bello inter imperatores resuscitato iunioreque imperatore Palaeologo rerum potiente, rursum, quia pa-

ἀναῤῥιπισθέντος, καὶ τοῦ νέου βασιλέως τοῦ Παλαιολόγου τῶν A. C. 1348
πραγμάτων ἄρξαντος, αὖθις οἱ Πελοποννήσιοι διὰ τὸ βασιλέα P. 753
τὸν πατέρα πεπαῦσθαι τῆς ἀρχῆς δυνήσεσθαί τι πλέον οἰηθέντες, ἄλλως τε καὶ τῶν Ἀσάνη τοῦ Ἰσαακίου υἱῶν ἐναγόντων πρὸς τὸν πόλεμον, οἳ ἦσαν ἐκεῖ ὑπὸ βασιλέως τοῦ νέου ἐπιτροπεύειν πεμφθέντες τῆς Πελοποννήσου, σύμπαντες ὁμοῦ ἀπέστησαν δεσπότου, πλὴν μιᾶς πόλεως, ἧς φρουρὰ κατεῖχε τὴν ἀκρόπολιν ἀνάλωτον οὖσαν διὰ καρτερότητα τήν τε φυσικὴν καὶ τὴν κατεσκευασμένην. ὁ δὲ τῇ σφετέρᾳ χρώμενος δυνάμει μόνῃ, αὖθίς τε ἐκράτει συμπάντων καὶ τοῖς ὅπλοις χρώμενος κατεδουλοῦτο. ἐξ ἐκείνου δὲ παντάπασιν ἀπειπόντες τὸ ἐκείνῳ πολεμεῖν, τήν τε πρὸς ἀλλήλους ἀσπάζονται εἰρήνην καὶ B
τὴν πρὸς ἐκεῖνον εὔνοιαν, καὶ τὰ μέγιστα ὠφέληνται ἐκ τούτου, ἐπὶ γεωργίας τραπόμενοι καὶ βοσκημάτων ἐπιμέλειαν, καὶ κτήσεις ἐκτήσαντο ἐν τοῖς ἀγροῖς πολλὰς, πρότερον καθ' ὃν ὁ δεσπότης ἀφῖκτο χρόνον οὐδενὸς ὄντος πλὴν τῶν πόλεων, καὶ τούτων ὑπὸ τῶν στάσεων διεφθαρμένων. Λατῖνοι δὲ οἱ πρίγγιπι ὑπήκοοι πρῶτα μὲν καὶ αὐτοὶ ὥρμηντο δεσπότῃ πολεμεῖν καὶ κακῶς ποιεῖν τὰς πόλεις, οὐδὲ πρότερον ἀμελοῦντες. εἰς τοὐναντίον δὲ ἅπαν τὸ τόλμημα ἐν ὀλίγῳ χρόνῳ ἐκείνοις περιέστη. μᾶλλον γὰρ αὐτοὶ κακῶς ἔπασχον κατὰ τὸν πόλεμον. συνιδόντες δὲ αὐτοῖς οὐκ ὀλίγα λυμαινόμενον C
τὸν πόλεμον, πρεσβείας ποιησάμενοι καὶ πολλὰ δεσπότου δεηθέντες, ἔπεισαν θέσθαι πρὸς αὐτοὺς σπονδὰς εἰρηνικὰς, ὥστε εἶναι ὑπηκόους μὲν πρίγγιπι, αὐτῷ δὲ φίλους καὶ συμμάχους,

16. ὁ om. P.

ter imperio se abdicasset, plus se posse confisi, et insuper Asanis Isaaci filiis, qui illuc a Palaeologo ad insulam procurandam missi erant, ad arma eos revocantibus, universi simul a despota, praeter unicam urbem, cuius praesidiarii milites arcem natura loci et opere inexpugnabilem tenebant, defecerunt. Ceterum despota suis dumtaxat copiolis et armis denuo subiugavit omnes. Ex illo bellum adversus eum penitus valere iubentes, ad pacem ipsumque colendum se dederunt plurimumque inde emolumenti senserunt; quando et arvis imperare et pecuariam facere et possessiones ac fundos multos acquirere licebat, cum prius, despota adveniente, praeter urbes, et has seditionibus ac discordiis intestinis aegras ac depositas, nihil fuisset. Latini vero principi subiecti primum quidem et ipsi despotam armis aggredi constituerant et infestare urbes, quod nec ante omiserant. Verum tota audacia brevi tempore secus cessit; ipsi enim bello potius afflicti sunt vehementer. Quod cum intelligerent, per legatos obnixe precantes, a despota pacis foedus impetrarunt, ut in ditione quidem ac potestate principis, ipsius autem amici ac so-

A. C. 1348 καὶ ἔνδον τε Πελοποννήσου προθύμως συμμαχεῖν, ᾗ ἂν δέ-
οιτο αὐτῶν, ἐκ τῶν οἰκείων τρεφομένους, καὶ ἐκτὸς ὁμοίως.
ὅθεν μαχομένῳ τε πρὸς Πέρσας ναυσὶν ἐπιστρατεύοντας πολ-
λάκις συνεμάχησαν, καὶ πολλῶν αὐτῷ τροπαίων ἐκοινώνησαν
κατὰ βαρβάρων, καὶ εἰς Βοιωτίαν συνεισέβαλον πρός τινα
τῶν ἐκεῖ δυναστευόντων Λατίνων πολεμοῦντι, Ῥουντζέρην Ντε-
λωρίαν προσαγορευόμενον, πολλήν τε εὔνοιαν πρὸς αὐτὸν ἐ-
D κτήσαντο διὰ τὴν ἐπιείκειαν καὶ τὸ φιλάληθες. ἐν χρόνῳ γὰρ
ἤδη οὐκ ὀλίγῳ οὐδέποτε οὐδὲν ἐφάνη τῶν ἐπηγγελμένων ἐ-
ψευσμένος. ὅθεν οὐδὲ ὅρκων δέονται, ἤν τι δέωνται ἐκείνου,
ἀλλ' ἀξιόχρεως αὐτοῖς πρὸς πίστιν καὶ λόγος προϊέμενος ἁ-
πλῶς. ἡ μὲν οὖν Πελοπόννησος οὕτως ἄγεται μέχρι νῦν ὑπὸ
δεσπότου Μανουὴλ τοῦ Καντακουζηνοῦ πολλὰ ὠφελουμένη
ἔκ τε ὧν τοῖς πολεμίοις ἀήττητος ἄχρι νῦν διατετέλεκε, καὶ
τοῖς ὑπηκόοις προσηνὴς καὶ κηδεμονικός.

P. 754 ιδ'. Βασιλεὺς δὲ καὶ πρὸς τὸν Αἰγύπτου καὶ Συρίας
V. 604 καὶ Ἰουδαίας Σουλτὰν ὑπὲρ τῶν ἐκείνῃ Χριστιανῶν πρεσβεί-
αν ἐποιεῖτο. πρεσβευταὶ δὲ ἦσαν ἔκ τε τῶν Βυζαντίου πολι-
B τῶν ὁ Σεργόπουλος Μανουὴλ καὶ ὁ τῶν Ἱεροσολύμων πατρι-
άρχης Λάζαρος, ὃν ἔδει προστάγματι Σουλτὰν εἰς τὸν θρό-
νον ἀποκαταστῆναι. ἄλλως γὰρ οὐκ ἔξεστιν οὐδένα τῶν κα-
τὰ τὰς πόλεις ἐπισκόπων, αἳ δουλεύουσι τούτοις τοῖς βαρβά-
ροις, οὕτω συγκεχωρηκότος τοῦ θεοῦ διὰ τὸ πολλὰ ἡμᾶς τοὺς
καλουμένους ἀπὸ Χριστοῦ αὐτῷ προσκεκρουκέναι. καὶ προσ-

1. οἱ M. mg.

cii essent, et sicubi eorum operam in insula, et extra insulam requireret, prompte illum suis stipendiis militantes adiuvarent. Hinc et contra Persas praedones saepius ei auxilium tulerunt, multaque cum eo contra barbaros trophaea statuerunt, et in Boeotiam contra quendam e Latinis dynastam, Runtzerem de Loria appellatum, una irruperunt: deque morum suavitate et fidelitate eximie illum dilexerunt. Iam enim pridem nullius promissi fidem fefellisse compertus est. Unde si quid eo egent, eius tamen iureiurando non egent, cum ad fidem verbum ipsius nudum sufficiat. Peloponnesus itaque a Manuele, Cantacuzeni filio, multis cumulata bonis, (ob quae usque hodie ab hostibus invicta manet,) ab eodem mansuete et cum sollicitudine erga subiectos etiam nunc administratur.

14. Iam vero imperator ad Aegypti, Syriae et Iudaeae Sultanum legationem pro illarum regionum Christianis misit. Legati erant Manuel Sergopulus, civis Byzantius, et Hierosolymitanus patriarcha Lazarus, quem concessu ac mandato Sultani in sedem restitui oportebat: aliter quippe non erat licitum quemquam episcoporum per urbes hisce barbaris subditas restituere, sic Deo permittente

κρούειν ἄχρι νῦν. οὗτος γὰρ δὴ ὁ πατριάρχης, ἔτι βασιλέως (A.C. 1348) Ἀνδρονίκου περιόντος, ὑπὸ τῶν συνεπισκόπων ἐν τῇ ἁγίᾳ πόλει κεχειροτονημένος, ὥσπερ ἔθος, εἰς Βυζάντιον ἔπειτα ἀφῖκτο προβληθησόμενος καὶ παρὰ βασιλέως. Γερασίμου δέ τινος μοναχοῦ ἐκεῖθεν ὡρμημένου καὶ ἄλλων τινῶν πρὸς τὸ C τόλμημα συναιρομένων, τοῦ πατριάρχου πρὸς συκοφαντίαν τινὰ αἰτιωμένου, δι' ἃ ἐδόκει δίκαιος ἀποχειροτονεῖσθαι, οὔθ' οὕτως ἔσχεν ὁ βασιλεὺς, ὥστε αὐτίκα διὰ τὸ αἰτιᾶσθαι Γεράσιμον ἀποχειροτονεῖν, οὔτε παντάπασιν ἠπίστει, ἀλλ' ἐν Βυζαντίῳ κελεύσας μένειν ἄχρις ἂν τὰ κατ' αὐτὸν ἐξετασθείη, πρεσβείαν ἐποιεῖτο πρὸς Σουλτὰν, ἅμα μὲν καί τινων πέρι ἀναγκαίων ἄλλων καὶ τῶν ἐν Αἰγύπτῳ Χριστιανῶν, οὐχ ἧττον δὲ καὶ τούτου ἕνεκα τοῦ πατριάρχου· καὶ ἐκέλευε τοῖς πρέσβεσιν ἐν Παλαιστίνῃ γενομένοις, ἐξετάζειν τὰ κατ' αὐτὸν μετὰ τῶν ἐπισκόπων. τοῦ βασιλέως δὲ ἐν τῷ μεταξὺ χρόνῳ τετελευτηκότος, καὶ τοῦ πρὸς βασιλέα τὸν Καντακουζηνὸν πολέμου κεκινημένου, καὶ ὁ πατριάρχης Λάζαρος D ὑποπτευθεὶς ᾑρῆσθαι τὰ ἐκείνου, ὑπὸ πατριάρχου τοῦ Ἰωάννου ἐρήμην κατεψηφίσθη, οὔτ' ἐλέγχων, οὔτε συνόδου, οὔτε τινὸς ἑτέρου τῶν νομίμων δεηθέντος· ἀντ' ἐκείνου δὲ ὁ κατηγορῶν Γεράσιμος ἐπίσκοπος τῆς ἁγίας παρανόμως ἐχειροτονεῖτο πόλεως. Λάζαρος δὲ ὁ πατριάρχης οὕτως ἰδὼν ἑαυτὸν ἀτιμωθέντα ἐπ' οὐδεμιᾷ τὸ εὔλογον αἰτίᾳ κεκτημένῃ, ἀλλὰ διὰ τὸ πρὸς βασιλέα μόνον ἔχθος, ἄλλως θ' ὅτι καὶ

6. συναιρομένου P. 14. πρέσβευσιν P.

ob multa, quae in ipsum peccavimus et etiamnum peccamus nos, qui a Christo nomen ducimus. Hic namque patriarcha, adhuc Andronico imperatore superstite, a coëpiscopis in sancta civitate, ut mos est, electus, postea Byzantium ab imperatore confirmandus venit. Tum Gerasimus monachus indidem profectus, cum aliis quibusdam audaciae suae satellitibus, patriarcham in iis calumniose accusat, ob quae gradu movendus videbatur. Imperator nec statim patriarchatum propter Gerasimi accusationem ei abrogat, nec audita omnino pro falsis ducit, sed Byzantii manere iubet, donec eius causa cognoscatur: interim legationem ad Sultanum cum de aliis necessariis quibusdam, tum de Christianis in Aegypto, nec minus de hoc etiam patriarcha mittit, et legatis mandat, ut, cum in Palaestina fuerint, una cum episcopis in eius res inquirant. Per id tempus defuncto imperatore, et bello contra Cantacuzenum excitato, etiam Lazarus Cantacuzenismi suspectus, a Ioanne patriarcha, nec synodum, nec aliquid aliud legibus praescriptorum quaerente, indicta causa condemnatur, et in eius locum Gerasimus accusator episcopus sanctae civitatis contra fas eligitur. Lazarus patriarcha tali se ignominia prorsus immerentem affectum intuens, nec probabili de causa,

A. C. 1348 τῶν ἐπιτηδείων ἐχορήγουν οὐδὲν ὡς ἀπεῤῥιμμένον, καὶ γλί-
P. 755 σχρως διέζη καὶ τῶν πρὸς τὴν χρείαν ἐνδεῶς, ἐσκέπτετο πρὸς
Καντακουζηνὸν τὸν βασιλέα διαδιδράσκειν μετὰ τὴν ἐπάνο-
δον εἰς Διδυμότειχον ἐκ τῆς ἑσπέρας. οὕτω δὲ δόξαν, πρὸς
Γαλατᾶν τὸ Λατίνων φρούριον διαβὰς, τρόπον ἐπεζήτει, καθ᾽
ὃν ἀφίξεται εἰς βασιλέα. οἱ δὲ ἐν Βυζαντίῳ ἄρχοντες φω-
ράσαντες τὸν δρασμὸν, καὶ πατριάρχης ὁ Ἰωάννης, πέμψαν-
τες εἰς Γαλατᾶν, ἐκέλευον Λατίνους πατριάρχην αὐτοῖς τὸν
Ἱεροσολύμων ἐκδιδόναι. οἱ δ᾽ αἵρεσιν αὐτῷ προὐτίθεσαν,
ἢ κοινωνεῖν αὐτοῖς πρὸς τῶν δογμάτων τὴν διαφορὰν καὶ
τὸν ἐπίλοιπον συνεῖναι χρόνον, ὡς νῦν τε αὐτῶν πολλὴν φι-
λοτιμίαν περὶ τῆς εἰς αὐτὸν εὐποιίας ἐπιδειξομένων, καὶ τοῦ
B Ῥώμης ἐπισκόπου ὕστερον εὐεργετήσοντος μεγάλα καὶ τοῖς
ὑπ᾽ αὐτὸν συναριθμήσοντος ἐπισκόποις, ἢ ἠπείλουν ἐκδιδόναι
τοῖς αἰτοῦσιν, ὑφ᾽ ὧν πείσεται ἀνήκεστα. ὁ δὲ οὐ τοσοῦτον ἔδει-
σε τὰς ἀπειλὰς, ὅσον τῆς ἐκείνων ἀνοίας κατεγέλα, εἰ μικρῶν ἕνε-
κα καὶ εὐκαταφρονήτων τῆς πατρίου δόξης ἤλπισαν ἀποστήσειν,
ἀντηπείλησέ τε καὶ αὐτὸς, ὡς ῥᾷον ἂν αὐτὸς αὐτοὺς τῶν κακῶς
μεταστήσειε δεδογμένων, ἢ αὐτὸς συναπαχθείη, ἢ μεγάλαις ἀγα-
θῶν ἐπαγγελίαις, ἢ τῶν πάνυ φοβερωτάτων ἀπειλαῖς. ἐπεὶ δὲ
αὐτὸν ἀμεταθέτως εἶδον ἔχοντα, δεσμώτην ἐξεδίδουν τοῖς αἰτοῦ-
σιν. οἱ δὲ ἤγαγον πρὸς πατριάρχην, προσδόκιμον ὄντα ἀφιλαν-
C θρώπως χρήσεσθαι αὐτῷ. ὁ δὲ τὴν ἀρετὴν τοῦ ἀνδρὸς αἰδε-

sed propter odium dumtaxat, quo in Cantacuzenum fervebant, haec pati: praeterea nihil paene sustentando corpori necessarium sibi, tamquam reiectamento, praeberi, seque tenuissimo cibo ali et egere rebus omnibus, ecquid ad Cantacuzenum imperatorem Didymotichum ex occidente redeuntem transfugeret, secum deliberat, probatoque consilio, Galatam, Latinorum oppidum, vadens, modum captat, quo ad illum pervenire queat. Archontes Byzantii, comperta eius fuga, patriarcha Ioanne conscio, Galatam mittunt, Hierosolymorum patriarcham dedi postulant. Galataei optionem illi integram relinquunt, aut secum communicare in dogmatis, et de cetero inter ipsos habitare, quem et ipsi nunc beneficentissime tractaturi, et Romae episcopus postea magnis meritis prosecuturus suisque episcopis annumeraturus sit: aut (quod minabantur) petentibus tradi, a quibus immania pateretur. Ille vero non tantum terrebatur comminationibus, quantum eorum ridebat stultitiam, qui minutorum et despicabilium bonorum promissis a patriis eum institutis se aversuros sperarent: contraque et ipse pollicebatur, facilius se illos ab adulterinis dogmatis revocaturum, quam ut ipse cum illis aut ingentium bonorum sponsionibus, aut teterrimorum suppliciorum minis simul in errorem abriperetur. Galataei ut obfirmatum ac praefractum viderunt, vinctum petentibus transdiderunt: qui eum ad patriarcham,

σθεὶς, (οὐδὲ γὰρ ἠγνόησεν ὅσα ἀντεῖπε τοῖς Λατίνοις ἐπὶ τὴν A.C. 1348 κοινωνίαν προκαλουμένοις, οὐδ' ὡς μᾶλλον εἵλετο ἀποθανεῖν, V. 605 ἢ τῆς πατρίου δόξης ἀποστῆναι,) προσιόντι τε ὑπανέστη, καὶ προσαγορεύσας ἡμέρως καὶ προσηνῶς, παρεκάθισέ τε καὶ ὁμιλίας ἠξίωσε πρεπούσης φίλῳ, ὁμολογητὴν ἐν ταῖς διαλέξεσιν ἀποκαλῶν. ἔπειτα ἀπέπεμπεν εἰς τὴν οἰκίαν, οὐδὲ ἴχνος ἐπιδεδειγμένος δυσμενείας, προνοίας δὲ ἠξίωσεν οὐδεμιᾶς. διὸ καὶ μετὰ μικρὸν, ἐπεὶ ὑπ' ἐνδείας οὐ μετρίως ἐπιέζετο, ᾤχετο ἀποδρὰς πρὸς βασιλέα, καὶ τόν τε ἐπίλοιπον τοῦ πολέμου χρόνον συνῆν φροντίδος ἀξιούμενος, καὶ μετὰ τὸ πάντων D κύριον καταστῆναι εἰς Βυζάντιον ἐπανελθὼν, πολλῆς παρὰ βασιλέως ἀπήλαυε προνοίας. τοῦτον δὴ τὸν πατριάρχην μετὰ Σεργοπούλου ὕστερον πρὸς τὸν Σουλτὰν Αἰγύπτου πέμψας πρεσβευτὴν, ἄλλα τε ἠξίου τὸν Σουλτὰν ποιεῖν, ἃ λυσιτέλει τοῖς ἐκεῖ Χριστιανοῖς, καὶ τὸν πατριάρχην εἰς τὸν θρόνον ἀποκαταστῆσαι, τὸν παρανόμως ἐπισκοποῦντα ἀπελάσαντα Γεράσιμον. Σουλτὰν δὲ τά τε ἄλλα φιλοτίμως πρὸς τὴν βασιλέως πρεσβείαν διετέθη, καὶ πάντα ἐξεπλήρου, ὧν ἐδέοντο οἱ πρεσβευταὶ, πολλὴν χάριν ὁμολογῶν περὶ τῆς εἰς αὐτὸν πρεσβείας. ἦν γὰρ θαυμάσιά τινα περὶ βασιλέως πε- P. 756 πυσμένος, καὶ τοῦ παντὸς ἐτιμᾶτο τὴν πρὸς αὐτὸν φιλίαν, καὶ τὸν πατριάρχην πρὸς τὴν ἁγίαν πόλιν πέμψας, ἐκέλευε τοῖς ἐκεῖσε τῶν βαρβάρων ἄρχουσι τὸν μὲν Γεράσιμον ἀπελαύνειν, Λάζαρον δὲ τὸν πατριάρχην ἄγειν διὰ τιμῆς, καὶ μηδὲν αὐτῷ παρενοχλεῖν τοῖς ἐν Παλαιστίνῃ Χριστιανοῖς ἐ-

3. ὑπέστη P.

a quo crudeliter accipiendus putabatur, deduxerunt. Atqui is virtutem viri reveritus, (neque enim nesciebat, quantopere Latinis ad communionem religionis eum allicientibus repugnasset, neque quomodo mori maluerit, quam a patrum suorum recto sensu discedere,) accedenti assurrexit, humaniterque ac leniter salutatum, assidere sibi iussit, et amanter cum eo sermonem miscens, confessorem appellavit. Post in domum designatam dimisit, nec minimo malevolentis animi dato indicio: nulla autem cura dignatus est. Quamobrem paulo post, cum egestate admodum premeretur, ad imperatorem confugiens, per reliquum belli tempus apud eum diversatus, eiusdem liberalitate procurationeque etiam Byzantii, postquam ille imperium obtinuit, usus est. Hunc ergo patriarcham cum Sergopulo postmodum ad Sultanum Aegypti legans, simul alia ab eo petebat pro Christianis illic degentibus: simul, ut patriarcham, deiecto Gerasimo, contra ius et fas episcopatum gerente, in sedem suam reponeret. Sultanus et ad cetera quod attinet, honorifice legatos suscepit, et omnia, quae peterent, praestitit, multasque ob legationem ad se missam gratias egit.

A. C. 1348 πισκοποῦντι. ἔπεμπε δὲ καὶ πρὸς βασιλέα γράμματα οὕτως ἔχοντα ἐν λέξει· „εἰς τὸ ὄνομα τοῦ θεοῦ τοῦ ἐλεοῦντος καὶ ἐλεήμονος. μακροημερεύσοι ὁ θεὸς ὁ ὕψιστος πάντοτε τὰς ἡμέρας τῆς βασιλείας τοῦ μεγάλου, τοῦ εὐεργετικοῦ, τοῦ φρονίμου, τοῦ λέοντος, τοῦ ἀνδρείου, τοῦ ἐν πολέμοις ὁρμητικοῦ, εἰς ὃν οὐ B δύναταί τις σταθῆναι ἔμπροσθεν αὐτοῦ, τοῦ σοφωτάτου εἰς τὸ δόγμα αὐτοῦ, τοῦ δικαιοτάτου εἰς τὸν τόπον καὶ τὴν χώραν αὐτοῦ, τοῦ θεμελίου τῆς πίστεως καὶ τοῦ δόγματος τῶν Χριστιανῶν, τοῦ κίονος τοῦ ἀσείστου ἁπάντων τῶν βεβαπτισμένων, τοῦ βοηθοῦ τῶν δογμάτων τοῦ Χριστοῦ, τῆς σπάθης τῶν Μακεδόνων, τοῦ Σαμψὼν, τοῦ βασιλέως τῶν Ἑλλήνων, τοῦ βασιλέως τῶν Βουλγάρων, τῶν Ἀσανίων, τῶν Βλάχων, τῶν Ῥώσων καὶ τῶν Ἀλανῶν, τῆς τιμῆς τοῦ δόγματος τῶν Ἰβήρων καὶ τῶν Σύρων, τοῦ κληρονόμου τῆς βασιλείας τῆς γῆς αὐτοῦ, τοῦ αὐθέντου τῶν θαλασσῶν καὶ τῶν ποτα- C μῶν τῶν μεγάλων καὶ τῶν νήσων, Ἀγγέλου Κομνηνοῦ Παλαιολόγου τοῦ Κανταχουζηνοῦ. πάντοτε ἡ βασιλεία σου τὸ θέλημα αὐτῆς νὰ τὸ ζητῇ ἀπὸ τὴν Σουλτανικὴν ἐξουσίαν μου, καὶ ἀπὸ τὸ ὀσπήτιόν μας τὸ ἡγιασμένον καὶ πεφωτισμένον, καὶ ὡς ἔχομεν πᾶσαν δύναμιν νὰ πληρῶμεν τὴν ἀγάπην τῆς βασιλείας σου, καὶ καθὼς εὑρίσκετο τῶν προγόνων τῆς βασιλείας σου μετὰ τῶν προγόνων τῆς Σουλτανικῆς ἐξουσίας μου, καὶ καθὼς ἐπληροῦτο ἡ ὄρεξις τῶν βασιλέων τῶν προγόνων

3. ὁ ante ὑψ. om. P.

Audierat enim de imperatore quaedam mirifica, et eius amicitiae cupidissimus erat, patriarchamque ad sanctam civitatem mittens, barbarorum illic magistratui praecepit, Gerasimum expellerent, Lazarum patriarcham honorarent, nihilque illi, episcopum Christianorum per Palaestinam agenti, molestiarum facesserent. Ad haec litteras ad imperatorem dedit in haec verba: „In nomine Dei misericordis et miseratoris. Producat Deus altissimus semper dies imperii, magni, benefici, prudentis, leonis, fortis, bellatoris strenui, cuius conspectum ferre adversarius nemo potest, sapientissimi in religione, iustissimi in loco et regione sua, fundamenti Christianorum fidei atque dogmatis, omnium sacro fonte initiatorum, columnae immobilis, doctrinae Christi propugnatoris, gladii Macedonum, regis Graecorum, regis Bulgarorum, Asaniorum, Blachorum, Rhossorum et Alanorum, ornamenti dogmatis Iberorum et Syrorum, heredis imperii regnorum eius, marium et magnorum fluminum et insularum, domini Angeli Comneni Palaeologi Cantacuzeni. Maiestas tua, quod ei placitum est, a Sultanica potentia nostra, et sanctificata atque illuminata domo nostra semper requirat. Nam pro eo amore, quo amborum maiores inter se coniuncti fuerunt, et nos erga te sumus, quantum viribus possumus, tantum tibi gratificabimur. Ut quemadmodum patrum

τῆς βασιλείας σου ἀπὸ τῆς αὐθεντίας μας, καὶ ηὐχαρίστουν A. C. 1348
μας πάντοτε ἐκεῖνοι, καὶ ἔπεμπαν εἰς τὴν ἡγιασμένην αὐλήν
μας, καὶ συνετύγχαινάν μας, οὕτως πάλιν νὰ εὐεργετῆται ἡ
ἀγάπη τῆς βασιλείας σου, καὶ νὰ πληροῦται ἡ ὄρεξις αὐτῆς
ἀπὸ τῆς αὐθεντίας μας. καὶ διότι ἀπεκόπη καὶ ἐμάκρυνεν D
ἡ συνήθεια ἐκείνη, ἀπεστάλη ἡ γραφὴ αὕτη ἀπ' ἐμᾶς νὰ ἀ-
ναγνωσθῇ ἔμπροσθεν εἰς τὸν μέγαν βασιλέα, εἰς ἔπαινον τῆς
προτέρας φιλίας καὶ εἰς παρακίνησιν τῶν ζητημάτων, ὅτι
πάντοτε μετὰ χαρᾶς νὰ ἔναι πεπληρωμένα, καὶ περισσότερα
νὰ γίνωνται, καὶ τὸ ἦλθεν ἀπ' ἐσᾶς εἰς τὸν πλατυσμὸν τῆς
καλοσύνης μας τὸν γλυκύτατον, νὰ τὸ δεχώμεθά με τὴν κα- V. 606
λογνωμίαν, καθὼς τὰ ἐδεξάμεθα, καὶ τῶρα καλὰ ἀπὸ τὰ χέρια
τοῦ ἀποκρισιαρίου τῆς βασιλείας σου τοῦ ἄρχοντος τοῦ Μα-
νουὴλ, καὶ παρελάβομεν αὐτὰ μετὰ εἰρήνης, καὶ ἐγνωρίσαμεν τὸ
ἔγραφεν ἀπέσω. ἐκεῖνο τὸ ἐζήτει, ὅτι νὰ ἔναι ἀγάπη καὶ φι-
λία τὸ ἦτον μέσον εἰς τὸν πατέρα μου τὸν Σουλτάνον τὸν μέγαν,
ὁ θεὸς ὁ ὑψηλὸς νὰ ἁγιάσῃ τὴν ψυχὴν αὐτοῦ, καὶ εἰς τὸν P. 757
βασιλέα τῶν Ῥωμαίων τὸν ἀδελφὸν τῆς βασιλείας σου, ὡς
εἶχον συνήθειαν, καθὼς λέγεις, νὰ ἔναι τὰ δύο ὀσπήτια ἕν,
καὶ ἤρχοντο ἀπ' αὐτοῦ ἐδῶ ἀποκρισιάριοι, καὶ ἀπ' ἐδῶ πά-
λιν αὐτοῦ, καὶ τὸ θέλεις νὰ γίνεται. καὶ νὰ ὑπαγαίνουν,
καὶ νὰ ἔρχωνται κατὰ τὴν πρώτην συνήθειαν. πάλιν ἐζήτησε
διὰ τὰς ἐκκλησίας τῶν Ῥωμαίων ἐκείνας ὅπου ἔναι εἰς τὰ

3. ἐνεργῆται M. mg. 11. καλονῆς M. mg. 15. ὅ τινα ἔναι P.

tuorum desiderio a nostra auctoritate respondebatur, nobisque illi gratias habebant, et ad nos legatos mittebant, et commercium inter nos erat: sic iterum quae tibi grata sunt, fiant, et voluntati tuae ad nos provocanti a nostra potestate satisfiat. Et quoniam consuetudo illa interrupta et in longum dilata est, denuo a me mittuntur istae litterae, ut coram magno imperatore legantur, ad laudem veteris amicitiae et ad invitamentum petendi, utpote nobis omnia libenter cum auctario praestituris. Quidquid autem a vobis ad honestatis dulcissimam propagationem pertinens venerit, id omne animo benevolentissimo suscipimus: quomodo et nunc de manu praefecti Manuelis, vestrae maiestatis legati, mira cum laetitia et pace eius litteras suscepimus, et quam continebant petitionem, legimus. Aio igitur, caritate et amicitia colligatos fuisse magnum Sultanum, patrem meum, cuius animae Deus excelsus sit propitius et maiestatis tuae fratrem, Romanorum imperatorem, ut propter consuetudinem amborum domus una, ut dicis, esset, et inde legationes ad nos et rursum hinc illuc mitterentur, et fierent, quae ille vellet. Praeterea de sacris Hierosolymae sanctae templis petebat, quod etiam legimus, et ecclesiis, de quibus significastis, curam adhiberi iussimus. Quod au-

A. C. 1348 Ἱεροσόλυμα τὰ ἅγια, καὶ ἐγνωρίσαμεν καὶ αὐτό. καὶ ὡρίσαμεν νὰ προσέξουν τὰς ἐκκλησίας, δι' ἃς ἐμηνύσατε, καὶ ἐκεῖνο τὸ ἐζητήσατε νὰ ἀκούσωμεν τὸν λόγον τοῦ ἄρχοντος τοῦ ἀποκρισιαρίου τοῦ Μανουὴλ, καὶ νὰ τὸν ἀπολογηθῶμεν, B καὶ νὰ πληρώσωμεν τὰς δουλείας του, ἐπληρώσαμεν τὸ ἤθελεν αὐτοῦ, καὶ ὡρίσαμεν ἵνα ἀκουσθῇ ὁ λόγος του. πάλιν ἐζήτησεν ὁ ἀποκρισιάριος, ὅτι χάλασμα ἦν παλαιᾶς ἐκκλησίας εἰς τὴν γειτονίαν τῶν Ῥωμαίων ὁ ἅγιος Γεώργιος, νὰ ὁρίσωμεν νὰ κτισθῇ, καὶ ἠκούσαμεν τὸν λόγον του, καὶ ἐπληρώσαμέν τον. πάλιν ἐζήτησεν οὗτος τὸν ὁρισμόν μας τὸν ἅγιον νὰ ὑπάγῃ εἰς τὴν ἁγίαν ἀνάστασιν, νὰ προσκυνήσῃ καὶ ἐκεῖνος, καὶ οἱ εὑρισκόμενοι μετ' ἐκείνου ἀπὸ τῆς βασιλείας σου, καὶ ἠγαπήσαμεν εἴ τι ἐζήτησες, καὶ ἐπληρώσαμέν το, καὶ ἐγράφη ὁρισμὸς εἴ τί μας παρεκάλεσεν ὁ ἀποκρισιάριος νὰ πληρωθῇ εἰς τὴν ἁγίαν ἀνάστασιν. καὶ ὡς C ἐζήτησεν νὰ ὑπάγῃ, ἐδώκαμεν ἄρχοντα μετ' αὐτοῦ, καὶ ἀπέσωσέν τον ἐκεῖ, καὶ προσεκύνησεν ὡς ἤθελε, καὶ ἐγύρισε μετ' εὐχαριστίας. πάλιν ἐζήτησεν ὁ ἀποκρισιάριος νὰ γένηται ὁρισμός μας ὑψηλὸς, νὰ φυλάσσωνται οἱ εὑρισκόμενοι Χριστιανοὶ εἰς τὸν ἁγιώτατον τόπον τῶν Ἱεροσολύμων, καὶ τὰ μοναστήρια, καὶ αἱ ἐκκλησίαι, καὶ νὰ ἔχωσιν ἀγάπην, καὶ δεφένδευσιν ἀπὸ τὸν ἀμηρᾶν τὸν εὑρισκόμενον ἐκεῖ, καὶ οὐ μόνον οἱ τοπικοὶ, ἀλλὰ καὶ οἱ κατὰ καιροὺς ἐρχόμενοι εἰς τὴν προσκύνησιν τῆς ἁγίας ἀναστάσεως, καὶ οἱ κατὰ καιροὺς εὑρισκόμενοι δουλευταὶ Μουσουλμάνοι εἰς τὴν ἁγίαν ἀνάστασιν, νὰ

8. γειτονείαν M. 19. φυλάσσονται M. 21. δεφέντευσιν M. 23. ἐχόμενοι P.

tem apposuistis, ut copiam fandi daremus Manueli praefecto legato, ut conficeret, quorum causa veniret, invenit, quod optavit: nam eum audiri iussimus. Post haec petivit legatus vester, ut quoddam veteris templi ruinosum aedificium, vicinum Romanis, sancti Georgii renovaretur: id etiam fecimus. Insuper sacram a nobis facultatem petebat, ut cum sociis a tua maiestate illi attributis ad sanctam resurrectionem adorandi causa proficisci posset, quod permisimus et libenter eius voluntati respondimus. Nam de eo, quod legatus petebat, ut fieret, quod ad sanctam resurrectionem pertinet, scriptum est mandatum, et roganti illuc proficisci, comitem praefectum adiunximus, adoravitque quantum voluit, et cum gratiarum actione reversus est. Etiam hoc idem legatus adiecit, ut edictum serium ederemus, quo qui in sanctissimis Hierosolymae locis habitant Christiani, item monasteria et ecclesiae ne violarentur, et per caritatem coniungerentur, qui illic est Amerae seu praefecto eiusque auxilio defenderentur. Nec solum indigenas, sed et qui distinctis tem-

μηδὲν ἀφήνουν, νὰ καταφρονοῦν, καὶ νὰ δέρνουν, καὶ νὰ A. C. 1348 ὀχλῶσι τοὺς κατὰ καιρὸν ἐρχομένους εἰς τὸ αὐτὸ ἅγιον προσκύνημα, ἢ εἰς τοὺς τοπικούς· ἀλλὰ μᾶλλον νὰ τιμῶσι, καὶ νὰ ἀναδέχωνται, καὶ νὰ κυβερνῶσιν αὐτούς. καὶ ὡρίσαμεν D καὶ ἐπληρώθη ὑψηλότατος ὁρισμὸς διὰ τὰ ζητήματα αὐτὰ εἰς τὸν τόπον ἐκεῖνον. πάλιν εἰς τὸ ἐνεθύμιζεν ἡ βασιλεία σου ἡ μεγάλη διὰ τὴν ὑπόθεσιν τοῦ πατριάρχου τοῦ Λαζάρου ὅτι εἶχεν ἀποστείλειν αὐτὸν ὁ ἡγιασμένος Σουλτὰν ὁ Μελὴκ Νάσαρ. ὁ θεὸς συγχωρήσοι τὰ κρίματά του εἰς τὰς ἡμέρας τὰς ἁγίας αὐτοῦ. ὁ ἀποκρισιάριος νὰ δείξῃ, καὶ νὰ πληροφορήσῃ τὴν μεγάλην βασιλείαν σου διὰ τὴν τοιαύτην ὑπόθεσιν ὅπως ἐγένετο, καὶ ἀπεπληρώθη ἕνεκεν τοῦ τοιούτου πατριάρχου, ἀπελύθη γοῦν ὁρισμὸς ὑψηλὸς εἰς τὰ ἅγια Ἱεροσόλυμα, νὰ στέργωσι τὸν πατριάρχην τὸν Λάζαρον, P. 758 καὶ νὰ τὸν φυλάσσωσι καλά, καθὼς καὶ τοὺς πρώην πατριάρχας. καὶ ὡρίσαμεν καὶ ἐγένετο ἡ κατάστασις τοῦ τοιούτου πατριάρχου, καὶ ἀπεστάλη καὶ αὐτὸς εἰς τὰ ἅγια Ἱεροσόλυμα μετὰ τοῦ ἀποκρισιαρίου. πάλιν ἐζήτησεν ὁ ἀποκρισιάριος δια τοὺς αἰχμαλώτους, οἵτινες εὑρίσκονται ἀπὸ τὴν χώραν τῆς Ῥωμανίας, ἵνα ἐλευθερώσωμεν αὐτούς. καὶ ἡμεῖς νὰ γνωρίσῃ ἡ βασιλεία σου, ὅτι τοιαύτην συνήθειαν ἀρχαίαν εἴχομεν διὰ τὰ αἰχμάλωτα, ὅτι νὰ γίνεται ἀνταλλαγὴ, καὶ νὰ ἀπολύωμεν ἡμεῖς ἐξ ὧν ἔχομεν, καὶ ἡ βασι- V. 607

2. ὀχλοῦσι P.

poribus ad sanctam resurrectionem adorandam eo venirent, et praecipue qui illic serviunt Musulmanos, ne sineret conviciis lacerare ac verberare aut ulla molestia afficere, tum eos, qui ad sanctam adorationem certo tempore adveniunt, tum eos, qui in loco illo habitant, sed potius in honore illos haberent eosque susciperent, iisdemque ministrarent. Ita mandatum a nobis, prout petebatur, super illo loco sacrosanctum est editum. Quod vero postea nos maiestas tua de causa Lazari patriarchae admonuit, quem sanctae memoriae Sultanus Melec Nasar, dum viveret, (propitius sit peccatis eius Deus,) throno depulit, ut legatus docebit, ac plenam fidem faciet, quo modo res acta sit, et quem finem habuerit, missum est a nobis mandatum Hierosolymam, ut Lazarum patriarcham libenter recipiant eumque velut antegressos patriarchas observent; qui etiam ipse cum legato Hierosolymam missus et restitutus est. Praeterea et hoc legatus vester petebat, qui invenirentur ex imperio Romano captivi, libertate eos ut donarem. Nos autem, ut et istud maiestas tua noverit, iam pridem in captivis morem hunc habemus, ut eos permutemus et dimittamus, quos a vobis habemus, vicissimque maiestas tua, quos a nobis habet. Quin etiam de hoc consilio certiorem te fieri iussimus, et quotquot legatus petivit, eos manumisi-

A. C. 1348 λεία σου πάλιν ἐξ ὧν ἔχει ἀφ' ἡμῶν σκλάβων νὰ πέμπῃ πρὸς
B ἡμᾶς. ὅμως ὡρίσαμεν καὶ ἐπληρώθη καὶ τὸ ζήτημα τοῦτο, καὶ ἠλευθερώσαμεν ὅσους ἐζήτησεν ὁ ἀποκρισιάριος, καὶ παρέλαβεν αὐτούς. πάλιν ἐζήτησεν ὁ ἀποκρισιάριος νὰ ἔναι ἀσφάλεια, εἰς τοὺς ἐρχομένους ἐδῶ ἀπ' αὐτοῦ πραγματευτάς, καὶ ἐγροικίσαμέν το, καὶ ἐγένετο ὁρισμός, ἵνα ἀναδέχωνται τοὺς τοιούτους πραγματευτάς, καὶ φυλάσσωσιν αὐτούς, καθὼς ἐζήτησεν ὁ ἀποκρισιάριος. καὶ μὲ τὸν ὑψηλότατον ὁρισμόν, καὶ μὲ τὴν ἀπολογίαν ἐγυρίσαμεν τὸν ἀποκρισιάριον, καὶ ἂς γινώσκῃ τοῦτο ἀληθινὰ ἡ βασιλεία σου. καὶ ὅταν ἔχῃ θέλημα ἂς μας φθάνῃ μανδάτον, νὰ πληρώσωμεν τὸ θέλημα τῆς βασιλείας σου. ἡμεῖς πρότερον ἐγνωρίσαμεν ὅπως ὡς εἰσ-
C ῆλθεν ἡ βασιλεία σου μὲ τὸν ὁρισμὸν τοῦ θεοῦ, καὶ μετὰ ἰσχύος μεγάλης εἰς τὴν πόλιν, οὐδὲν ἐμνήσθης κακῶν, ἀλλὰ ἐφύλαξες τὸν υἱὸν τοῦ βασιλέως, καὶ ἐσυνεπάθησες τοὺς ἐχθρούς σου, καὶ ἐχάρημεν εἰς τοῦτο πολλά, καὶ ἐπαινέσαμεν τὴν βασιλείαν σου. τώρα πάλιν ἐμάθαμεν τοῦτο πλατύτερα καὶ καθαρώτερα καὶ ἀπὸ τὸν πατριάρχην τὸν Λάζαρον καὶ ἀπὸ τὸν ἄρχοντα τὸν ἀποκρισιάριον τὸν Μανουήλ, καὶ τὸ πῶς τὸν ἔδωκες τὴν θυγατέρα σου, καὶ ἐποίησες αὐτὸν υἱόν σου καὶ γαμβρόν σου, καὶ εἰς αὐτὸ πλεώτερον ἐχάρημεν, καὶ ὁ θεὸς τὴν καρδίαν σου νὰ τὴν πλατύνῃ, καὶ τὴν χώραν σου εἰς τὸ ἓν ἑκατὸν νὰ τὴν ποιήσῃ, καὶ τὸ σπαθίν σου εἰς τοὺς ἐχθρούς σου φοβερὸν νὰ τὸ ποιήσῃ.

8. μετὰ τὸν P. 21. πλεότερον P. 24. σπαθὶ M.

mus, quos et secum abduxit. Apposuit et hoc rogatis legatus, ut mercatoribus inde huc venientibus tuto commorari liceat. Cui aures praebuimus ediximusque publice, ut huiusmodi mercatores admittantur et defendantur, quemadmodum legatus rogaverat. Sic cum gravissimo edicto et responsione legatum dimisimus, et hoc tuae maiestati, ut verissimum, notum esse cupimus. Quodsi quid aliud voluerit, nobis indicet, et voluntati eius satisfaciemus. Nos te post tuum in urbem Dei nutu cum robusta manu ingressum malorum tibi irrogatorum oblitum esse, imperatoris filium conservasse, inimicis misericordiam tribuisse, antehac cognovimus. Ex quo magnam cepimus delectationem, teque commendavimus. Id modo fusius et clarius a patriarcha Lazaro et praefecto Manuele didicimus, ut etiam illud, te, data in matrimonii societatem adolescenti filia tua, et generum tibi et filium cooptasse: unde etiam uberiore gaudio perfusi sumus. Deus dilatet cor tuum atque imperium tuum, ac pro uno centum tribuat, gladiumque tuum hostibus formidabilem efficiat, et te conservet, misericordiaque ac beneficentia sua beatum reddat. Etiam, ita fiat, precor, Deus altissime. Scripta est epistola die

ὁ θεὸς ὁ ὕψιστος νά σε διακρατῇ, καὶ νὰ εὐτυχῇς ἀπὸ τοῦ A. C. 1348 ἐλέους του καὶ ἀπὸ τῆς εὐεργεσίας του. ναὶ ἄμποτε θεὲ D ὑψηλέ. ἐγράφη εἰς τὰς δεκαπέντε τοῦ Σααπὰν, τῷ ἑπτακοσιοστῷ πεντηκοστῷ ἔτει τοῦ Μαχούμετ. ἐγράφη κατὰ τὸν A. C. 1349 ὁρισμὸν τὸν ὑψηλόν. δόξα τῇ μεγάλῃ δόξῃ τοῦ μόνου θεοῦ. εὐχαὶ καὶ προσκυνήματα εἰς τὸν αὐθέντην ἐκεῖνον τὸν Μαχούμετ, μετὰ τῶν μαθητῶν του τὸ ἐντιμότερον πλάσμα τοῦ θεοῦ. εὐχαριστῶ τὸν θεὸν παντοκράτορα ὁποῦ ἐλπίζω εἰς ἐκεῖνον." καὶ ταῦτα μὲν τὰ τοῦ Σουλτάν.

ιε'. Γεράσιμος δὲ ἐπεὶ ἐξηλαύνετο τῶν θρόνων, ὥρμητο P. 759 μὲν αὖθις, ὡς ἐπὶ Σουλτὰν ἐλθὼν, καταψεύσοιτο τοῦ πατριάρχου καὶ πείσοι τοῦ θρόνου ἐξελαύνειν. μετὰ τρίτην B δὲ ἡμέραν τῆς ἐκ τῆς ἁγίας πόλεως ἀποδημίας ἐτελεύτα κατὰ τὴν ὁδὸν, οὕτω τοῦ θεοῦ δικάσαντος, ὡς ἂν δικαίῳ θανάτῳ πειρασμῶν ἀδίκων ὁ δίκαιος ἀπαλλαγείη. χρόνον μὲν οὖν οὕτως οὐ μικρόν τινα ὁ πατριάρχης διήγαγεν ἐπὶ τῶν θρόνων. τοῦ δὲ Σουλτὰν ἐκείνου τετελευτηκότος, ἄρχων ἕτερος ἀνεδείκνυτο, ὃς ὑπ' οὐδεμιᾶς αἰτίας προφανοῦς πρὸς τὸν κατὰ Χριστιανῶν κεκίνητο διωγμὸν, Σειχοῦν τινος τῶν παρ' αὐτῷ δυνατωτάτων ἀρχισατράπου πρὸς τὸ ἔργον μάλιστα ἐνάγοντος καὶ χαλεπωτάτου Χριστιανοῖς γεγενημένου πᾶσι, πλὴν V. 608 τῶν ἐκ τῆς αἱρέσεως Ἰακώβου, πολλῶν ὄντων μάλιστα ἐν τῇ ἁγίᾳ πόλει καὶ κατ' Αἴγυπτον καὶ Συρίαν καὶ ἀρχιερέα ἰδίᾳ C τῆς αὐτῆς αἱρέσεως ἐχόντων. ἐφείδετο δὲ αὐτῶν οὐ μᾶλλον

2. καὶ ἀπὸ τῆς εὐεργεσίας του om. P. 12. πείσει P.

decimo quinto mensis Saapan, septingentesimo quinquagesimo anno Mahometi, et scripta est ex summo Dei mandato. Gloria magnae gloriae unius Dei. Vota et adorationes nostro illi auctori Mahometo, simul et discipulis eius, honorabiliori plasmati Dei. Gratias ago Deo omnipotenti, in quem spero." Hactenus Sultanus.

15. Gerasimus throno eiectus, rursum ad Sultanum venire mendaciisque patriarchae depositionem ei persuadere properavit. Ceterum profectus ex urbe sancta, post diem tertium in itinere spiritum edit, sic Deo iudicante, ut iusta illius morte tentationibus iniustis iustus liberaretur. Atque ita diu satis patriarcha suos honores gessit. Sed, Sultano illo mortuo, alius in principatu suffectus est, quem nulla causa manifesta ad Christianos persequendos commovit: sed quidam Sichun archisatrapa, plurimum gratia et auctoritate apud illum valens, incitavit, homo Christianis omnibus infensissimus, praeterquam Iacobitis haereticis, quorum in sancta civitate praesertim ac per Aegyptum et Syriam magna multitudo cum episcopo proprio visebatur: quibus non tam propter bonitatem, quam metum parcebat. Fertur enim gens magna, Iacobi haeresin pertinacissime

A. C. 1349 δι' εὐγνωμοσύνην ἢ δέος. λέγεται γὰρ, ὡς πρὸς τὴν Νείλου δίοδον μέγα ἔθνος ἐστὶ κατῳκισμένον τὴν Ἰακώβου πρεσβεῦον αἵρεσιν καθάπαξ, οὓς ἀνάγκην ἔχει θεραπεύειν ὁ Σουλτὰν Αἰγύπτου διὰ τὸ δύνασθαι τὸν Νεῖλον ἐπ' ἄλλην γῆν μετοχετεύειν. ὃ εἰ γένοιτο, σύμπασα ἄρδην Αἴγυπτος καὶ ἡ ἄλλη Συρία ἀπολοῦνται τρεφόμεναι ὑπ' ἐκείνου φιλοτίμως. δι' ἣν αἰτίαν καὶ τότε οἱ βάρβαροι τοῖς Ἰακώβου αἱρεσιώταις μόνοις ἦσαν εὐμενεῖς. τοῖς δ' ἄλλοις ἅπασιν οὕτως ἐπετέθησαν σφοδρῶς, ὡς πολλοὺς μὲν τῷ διὰ μαρτυρίου τέλει παραπέμψαι ποικίλαις καὶ διαφόροις κολάσεων ἰδέαις, οὐκ ὀλίγους
D δὲ καὶ τῆς εἰς Χριστὸν ἀποστῆσαι πίστεως καὶ τῆς σφετέρας πεῖσαι ἔχεσθαι θρησκείας, ὃ καὶ μάλιστα δακρύων ἄξιον, ὅσοι δῆτα καὶ μετὰ τῆς εἰς Χριστὸν πίστεως συναπήγοντο τῷ πονηρῷ διὰ τῶν ἔργων καὶ τῆς αὐτῆς ἐκείνῳ γεέννης ἦσαν κληρονόμοι. οὐ γάρ ἐστιν, οὐκ ἔστι τὸν ὀρθοῦ βίου μετὰ τῆς πίστεως ἐχόμενον ναυαγῆσαί ποτε περὶ τὴν πίστιν, τῆς παρὰ θεοῦ ἐπικουρίας ἔρημον γενόμενον. ὅτε δὴ καὶ Λάζαρον τὸν πατριάρχην συλλαβόντες, πρῶτα μὲν πολλαῖς ὑπήρχοντο θωπείαις καὶ παραλύειν τὸν τόνον ἐπειρῶντο καὶ τῆς εἰς Χριστὸν ἀπάγειν πίστεως, νομίζοντες, ἂν τοῦτον ἕλωσι,
P. 760 πάντας ὑπάξεσθαι Χριστιανοὺς πρὸς ἄρνησιν αὐτίκα τοῦ Χριστοῦ, τῷ σφετέρῳ προστάτῃ τῆς πίστεως ἑπομένους, καὶ μὴ ἀναγκασθήσεσθαι ἀποκτιννύναι. μᾶλλον γὰρ ἠβούλοντο μεταστήσαντες τῆς πίστεως ζῶντας ἔχειν, ἢ ἀναιρεῖν, ἐξ ὧνπερ

23. ἀποκτινύναι M. hic et infra.

complexa, Nilum accolere, quam Sultanus Aegypti officiis demereri necesse habet, propterea quod illa Nilum alio potest derivare. Quod si fiat, tota Aegyptus et Syria, quae inde affatim aluntur, fame funditus intereant. Hac de causa et tunc barbari solis Iacobitis erant propitii, reliquos Christianos omnes sic premebant, ut complures variis tormentorum generibus excruciatos e medio tollerent, non paucos etiam a fide in Christum ad sua sacra pellicerent. Dignum sane lacrimis, adeo multos cum fide Christi per opera ad cacodaemonem abripi, et eiusdem gehennae coheredes illi evadere. Non enim est, non, inquam, est vitae integritatem cum vera fide sectantem aliquando circa fidem, divino auxilio destitutum, naufragari. Tum igitur et Lazarum patriarcham comprehendentes, primum quidem blanditiis eum captabant, eiusque invictam constantiam labefactare et a religione Christiana abstrahere nitebantur, confisi, si hunc expugnassent, universos statim Christianos, ducis sui exemplum sequentes, ad Christum negandum adacturos, nec ad eos mactandos compulsum iri; siquidem eos, a sacris ipsorum dimotos, habere vivos, quam nullo cum fructu occidere malebant

οὐδεμία ὄνησις. ὡς δὲ οὐδεμία τις αὐτοῖς ἐκ τοῦ ἐκεῖνον A.C. 1349 κολακεύειν ὑπεφαίνετο ἐλπὶς, (πάντα γὰρ ἐκεῖνος μᾶλλον ἕτοιμος ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως ὑπομένειν ἦν, καὶ δημίων ἐξεκαλεῖτο χεῖρας, καὶ ξεσμοὺς καὶ στρεβλωτήρια ἐδόκει μᾶλλον ποθεῖν, καὶ „οὐδὲν τῶν ὄντων" ἔλεγε „τῆς εἰς Χριστόν με δυνήσεται πίστεως ἀποστῆσαι,") ἀπεγίνωσκον μὲν B οἱ βάρβαροι τὴν μετάθεσιν, καὶ τὸ κολακεύειν ὥσπερ τι τῶν ἀχρήστων ἀπετίθεντο, ἐχώρουν δὲ ἐπὶ τὴν σύντροφον ὠμότητα καὶ φίλην, καὶ Σειχοῦν μὲν θάνατον εὐθὺς κατεψηφίζετο τοῦ πατριάρχου, Σουλτὰν δὲ, ὡς ἐλέγετο, ἐδεῖτο μὴ ἀποκτιννύναι, ἀλλὰ τρόπον ἕτερόν τινα τῆς ἀπειθείας ἕνεκα κολάζειν. οὐ γὰρ τοσοῦτον ἦν βαρὺς Χριστιανοῖς ἐκεῖνος, μᾶλλον δὲ ἐλέγετο καὶ ἄχθεσθαι ἀναιρουμένων, ὅσον Σειχοῦν, τὸ τοῦ πονηροῦ πονηρότερον οἰκητήριον, ὁ τῆς ἀπωλείας υἱὸς, ὃς τῷ ἀνθρωποκτόνῳ πατρὶ πειθόμενος κατάκρας, κόρον οὐδένα κτεινομένων ἐλάμβανε Χριστιανῶν, ἀλλ' ἤχθετο μᾶλλον, ὅτι μὴ ταχέως τὸ τοῦ Χριστοῦ ὄνομα τῆς γῆς ἠδύ- C νατο ἐξελαύνειν. ἡ μὲν οὖν τοῦ ἀποκτείνειν ψῆφος ἐκωλύετο· πληγὰς δὲ ἐκέλευε Σειχοῦν ἐπὶ γυμνῶν τῶν σαρκῶν βουνεύροις ἐντείνειν πεντακοσίας. ᾤετο γὰρ οὐκ ἀντισχήσειν πρὸς τοσοῦτον πλῆθος, ἀλλὰ πρὶν εἰς τέλος ταύτας ἥκειν, ἀπολείψειν αὐτὸν τὸ ζῆν, ὅσον εἰς τὴν ἀνθρωπίνην δύναμιν ἀποσκοπῶν. ἐπεὶ δὲ οἱ δήμιοι διαλαβόντες ᾔκιζον καὶ οἱ μὲν πρὸς τὸ πλῆθος ἔκαμνον τῶν πληγῶν, ὁ ἀθλητὴς δὲ τὸν νοῦν

Ubi adulatio frustra fuit, (omnia siquidem ille potius pro fide Christiana perpeti paratus erat carnificumque in se manus provocabat, et laniatus ac membrorum distorsiones exoptare magis videbatur, et, „Nihil," inquit, „me a fide Christi separare poterit,") desperata viri mutatione, barbari blandimenta, ut supervacanea, omittunt, ad ingenitam et amicam sibi immanitatem se convertunt. Et Sichun quidem statim illum morte damnat, Sultanus autem, ut accepimus, ne occidatur, rogat, sed alio quodam modo de inobedientia puniatur. Non enim ille tam infestus erat Christianis, (immo vero eorum neces dolenter ferre dicebatur,) quam Sichun, mali illius peius domicilium, hoc est, ipso daemone peior, filius perditionis, qui homicidae, patri suo, obsequentissimus, Christianorum caedibus saturari nequibat, sed cruciabatur potius, quod non celeriter Christi nomen e terris eradere posset. Sententia igitur mortis inhibebatur, plagas autem quinquaginta nervis bubulis nudato corpori Sichun iubebat imponi, quod ad tot verbera minime duraturum putaret, sed ante finem animam emissurum, ad vires humanas videlicet respiciens. Carnifices postquam seductum flagellarunt, et illi quidem plagarum, quas inferebant, numero defecerunt, athleta vero mentem in Deo,

A. C. 1349 πρὸς ὃν ἐπόθει Χριστὸν εἶχε καὶ τὴν ἐκεῖθεν βοήθειαν ἐξεκαλεῖτο, οὐδὲν ἀγεννὲς οὔτε πράττων, οὔτε φθεγγόμενος πρὸς τὰς πληγὰς, ὁ τύραννος ἔτι μᾶλλον ἐξαπτόμενος ὑπὸ θυμοῦ,
D καὶ ὥσπερ ἑαυτοῦ μαλακίαν καὶ μικρολογίαν καταγνοὺς, καὶ ἑτέρας τοσαύτας ἐκέλευεν ἐντείνειν. θᾶττον δὲ ἢ λόγος τὰ κεκελευσμένα πραττόντων τῶν δημίων, αἵμασι μὲν τὸ ὑπο-
V. 609 κείμενον ἅπαν ἔδαφος ἐφοινίσσετο, σάρκες δὲ κατέῤῥεον ἀποσπώμεναι καὶ νεῦρα κατελείπετο καὶ ὀστέα γυμνὰ σαρκῶν. ὁ πατριάρχης δὲ πρὸς τοσαύτην ἀπειπὼν τῶν δεινῶν ἐπιφορὰν, ἔκειτο μικρὸν ἐμπνέων, καὶ τοῖς βαρβάροις ἔκπληξιν ἐνεποίει, ὅτι πρὸς τοσαύτας διαρκέσειεν αἰκίας. ἔπειτα ἠρώτων αὖθις, εἰ μὴ τοῖς Σουλτὰν προστάγμασιν εἴκων, τῆς εἰς Χριστὸν πίστεως ἀποστῆναι βούλοιτο καὶ συμμετέχειν αὐτοῖς πρὸς τὴν θρησκείαν· ὡς δ' ἐκεῖνος μετὰ παῤῥησίας ἀπηγόρευε, καὶ „οὐδέν με τῆς εἰς Χριστὸν" ἔφασκε „πίστεως
P. 761 δυνήσεται ἀποστῆσαι," ἐπί τι δεσμωτήριον, ὃ τοῖς ἐπὶ θάνατον ἐξῄρητο κατεγνωσμένοις, φέροντες ῥιπτοῦσιν, ὡς, εἰ μὴ νῦν ἐκ τῶν πληγῶν, ἀλλ' ὕστερον τὴν διὰ ξίφους σφαγὴν ὑποστησόμενον. οἱ συνδεσμῶται δὲ, (ἦσαν γὰρ οὐκ ὀλίγοι ἐκ βαρβάρων ἐφ' ἑτέραις δή τισιν αἰτίαις κατεψηφισμένοι ἀποθνήσκειν,) φιλάνθρωπόν τι παθόντες καὶ τὴν ἀνθρωπίνην φύσιν κατοικτείραντες, πρόνοιάν τε ἐποιήσαντο αὐτοῦ οὐ τὴν τυχοῦσαν· καὶ πρὸς θεραπείας τοιούτων παθημάτων ἐμπείρως ἔχοντες, ἀνεκτήσαντό τε διὰ χρόνου καὶ τῶν ἐκ τῶν πληγῶν

1. θεὸν M. pro Χριστόν.

quem desiderabat, defixam habens, coeleste auxilium imploravit, nihil abiectum nec dicens, nec faciens ob acerbitatem verberum, tyrannus magis accensus furiis et ira, quasi se ipsum mollitiei et timiditatis coarguens, totidem alias infligi mandavit. Quod cum illi dicto citius exsequerentur, totum pavimentum sanguine rubescebat, et carnes dilaceratae defluebant, fatiscentibusque compagibus, ossa patescebant. Patriarcha tanto cruciamento deficiens et humi collabens iacebat, paulum adhuc spirans, et barbaris tolerantia tam dirae verberationis stuporem commovebat. Deinde iterum quaerunt, num Sultani mandatis obtemperans, Christi fidem deserere et cum ipsis communicare velit, libereque recusantem ac dicentem: „Nihil me a fide in Christum separare poterit," in carcerem quendam morte damnatis destinatum asportantes proiiciunt, ut, si non ex plagis, certe post gladio moriturum. Socii autem carceris, (quorum erant non pauci ex barbaris, alii alias ob causas capite damnati,) humanitate quadam et miseratione ob naturae consortium, non modica eum cura dignabantur, peritique huiusmodi affectuum medendorum, paulatim eum, persanatis plagarum vulneribus, restituerunt. Adhuc sub iudicio mor-

ἀπήλλαξαν τραυμάτων. ἦν δὲ ἔτι ὑπὸ τὴν θανατηφόρον δί- A. C. 1349
κην. ὁ δὲ τῶν Ἰακώβου αἱρεσιωτῶν ἀρχιερεὺς, καίτοι πρότερον διὰ τὸ περὶ τὴν δόξαν διαφέρεσθαι ἀπεχθῶς πρὸς B
ἐκεῖνον ἔχων καὶ ἡδέως ἂν ἰδὼν διεφθαρμένον, ὡς παρὰ δόξαν εἶδεν ὕστερον διασωθέντα, οὐ δυνάμεως ἀνθρωπίνης, θείας δὲ εἶναι τὰ γεγενημένα οἰηθεὶς, ὡς ἀθλητῇ τε προσεῖχεν ἐξ ἐκείνου, καὶ πᾶσαν προσῆγε τιμὴν καὶ θεραπείαν, καὶ τῶν ἐπιτηδείων τὴν χορηγίαν ἐποιεῖτο φιλοτίμως καθ' ὅσον χρόνον ἐδεσμεῖτο. καὶ μετὰ χρόνον οὐκ ὀλίγον Σειχοῦν τὴν ψυχὴν ἀποῤῥήξαντος βιαίως, αὐτὸς τὸν πατριάρχην ἐξῃτεῖτο παρὰ Σουλτὰν, καὶ ἐξῆγε τοῦ δεσμωτηρίου καὶ τὴν ἄδειαν τοῦ ἐμπολιτεύεσθαι τῷ Χριστιανῶν θρησκεύματι παρείχετο. ἦν γὰρ δὴ, ὥσπερ ἔφημεν, ὁ Σουλτὰν οὐκ οἴκοθεν C
ἐπὶ τὸν διωγμὸν κεκινημένος, ἀλλ' ὑπὸ Σειχοῦν καὶ παρὰ γνώμην ἐναγόμενος. διὸ καὶ μετὰ τὴν ἐκείνου τελευτὴν εὐθὺς ἐπέπαυτο, ἀτιμίαν μόνον Χριστιανῶν κατεψηφισμένος, τῆς τε ἄλλης ἰσοπολιτείας τοῖς βαρβάροις οὐ μεταδιδοὺς, ἀλλ' ἐν δοριαλώτων ἄγων μοίρᾳ καὶ ἐπίσημόν τι χρῶμα φέρειν ἐν ταῖς στολαῖς προστεταχὼς, ἵν' εἶεν ἐκ τοῦ χρώματος κατάδηλοι ὄντες Χριστιανοὶ, τινὰ ὀνειδισμὸν ἐκ τούτου προστρίβεσθαι οἰόμενος αὐτοῖς. τοῖς δὲ οὐκ ἀτιμότερον ἐκεῖνο δοκεῖ τὸ χρῶμα, ἢ τῶν Παύλου διὰ Χριστὸν στιγμάτων, οἷς αὐτὸς ἐκαλλωπίζετο, „τὰ στίγματα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῷ σώματί μου" λέγων „περιφέρω." Λάζαρος δὲ D

tis erat, cum Iacobitarum episcopus, quamquam prius ob sacrorum diversitatem eum odisset interfectumque cupivisset, praeter opinionem servatum conspiciens, nec humanae id, sed divinae virtutis monumentum existimans, ex eo ut athletam complecti omnique honore et observantia colere, et studiose victum, quamdiu in vinculis fuit, subministrare coepit. Ac post intervallum longius Sichunti abrupta anima, ipse patriarcham a Sultano impetratum, e carcere eduxit, qui et Christianae religionis colendae potestatem dedit. Erat namque Sultanus, ut docuimus, non sua sponte ad persecutionem propensus, sed a Sichunte vel nolens eo inducebatur: idcirco et post obitum illius statim cessavit, et infamia dumtaxat Christianos damnavit. Nam civilibus eos functionibus excludens atque in captivorum loco habens, certi coloris vestitum pro signo gestare iussit, unde pro Christianis agnoscerentur, quoddam probrum illis hac ratione se inusturum arbitratus. Verum ipsis color ille non est visus ignominiosior, quam Paulo propter Christum stigmata, quibus condecorabatur. „Ego," inquit, „stigmata Domini nostri Iesu Christi in corpore meo porto." Lazarus porro, sanctae civitatis patriarcha, cum post flagellationem creditum sibi gregem diu pavis-

A.C. 1349 ὁ πατριάρχης τῆς ἁγίας πόλεως οὐκ ὀλίγον χρόνον μετὰ τὰς
αἰκίας τὴν πιστευθεῖσαν ποίμνην διϊθύνας, πρεσβευτὴς ὑπὸ
Σουλτὰν ἐπέμφθη πρὸς βασιλέα Ἰωάννην τὸν Παλαιολόγον
ὕστερον. τὰ μὲν οὖν κατὰ τὸν Ἱεροσολύμων ἱεράρχην οὕ-
τως ἔσχεν ἄχρι τέλους ἀπ' ἀρχῆς. Ἰσίδωρος δὲ ὁ τὴν Βυ-
ζαντίων ἐκκλησίαν μετὰ Ἰωάννην λαχὼν ἰθύνειν, ἄλλους τε
οὐκ ὀλίγων πόλεων ἀρχιερεῖς ἐχειροτόνει, καὶ Γρηγόριον τὸν
Παλαμᾶν Θεσσαλονίκης. ὃν ἐπεὶ εἰς τὴν λαχοῦσαν ἔδει στέλ-
λεσθαι, ὁ βασιλεὺς γράμμασιν ἐφωδίαζε πρὸς τοὺς ἐν Θεσ-
σαλονίκῃ ἄρχοντας, οἳ ἦσαν πρωτοσέβαστός τε ὁ Μετοχίτης
P. 762 Ἀλέξιος καὶ Ἀνδρέας ὁ ἐπὶ τῆς τραπέζης Παλαιολόγος, κε-
λεύοντα τὸν ἀρχιερέα μετὰ πάσης εὐνοίας δέχεσθαι καὶ τι-
μῆς. οἱ δὲ οὔτε τοῖς βασιλέως γράμμασιν ἐπείθοντο, οὔτε
τὸν ἀρχιερέα εἰσεδέχοντο, ἀλλ' ἀναφανδὸν ἀπεῖπον τὸ ὑπὸ
βασιλέα εἶναι, πρόφασιν μέν, ὡς τῷ Παλαιολόγῳ βασι-
λεῖ προσκείμενοι καὶ διὰ τοῦτο Καντακουζηνῷ τῷ βασιλεῖ
πολεμοῦντες, ἐκεῖνον ἀφῃρημένῳ τὴν ἀρχήν· τῇ δ' ἀληθείᾳ,
ἑαυτοῖς ἰδίᾳ τὴν Θεσσαλονίκης ἀρχὴν περιποιοῦντες. συν-
V. 610 ιδόντες γάρ, ὡς οὔτε βασιλεῖ ῥᾴδιον αὐτοῖς ἐπιέναι διὰ
τὸ Μακεδονίαν πλὴν Θεσσαλονίκης ἤδη πᾶσαν ὑπὸ Κράλῃ
ἔχεσθαι, καὶ μεγάλης δεῖσθαι τῆς παρασκευῆς, εἰ μέλλοι
B διὰ πολεμίας τε ἰέναι καὶ ἐν μέσῃ στρατοπεδεύεσθαι πολε-
μίᾳ, αὐτοὺς πολιορκοῦντα, ἃ ἐνόμιζον ἀδύνατα, τόν τε Κρά-
λην οὐ χρήματα μόνον, ἀλλὰ καὶ αὐτήν, εἰ οἷόν τε εἰπεῖν,

22. πολεμίαις P.

set, a Sultano postea legatus ad imperatorem Ioannem Palaeologum missus est. Res igitur Hierosolymorum antistitis ab initio ad finem eiuscemodi fuerunt. Isidorus vero, qui ecclesiam Byzantinam post Ioannem moderandam accepit, et alios non paucarum urbium, et Gregorium Palamam Thessalonicae episcopum consecravit. Quem ad ecclesiam, quam sortitus erat, profecturum imperator litteris ad praefectos Thessalonicenses, Alexium Metochiten, protosebastum, et Andream Palaeologum, mensae imperatoriae praefectum, tanquam viatico instruxit. His mandabatur, uti episcopum summa benevolentia summoque honore susciperent. At illi nec litteris imperatoriis paruerunt, nec episcopum susceperunt, palam negantes, se imperatori obstrictos: in speciem quidem, ac si Palaeologi partium essent, atque ideo Cantacuzeno, qui eum imperio spoliasset, rebellarent, vere autem, ut Thessalonicam sibi acquirerent. Nam cum scirent, nec imperatori expeditum esse, eorum conatus armis comprimere, (quando iam Macedoniam universam, Thessalonica excepta, Crales occupasset,) et requisitum iri apparatum ingentem, si per terram hostilem transiens, in eius medio castrametaretur, ipsosque obsideret, quae fieri non pos-

τὴν φίλην προησόμενον ζωὴν ὑπὲρ τοῦ κύριον Θεσσαλονίκης A. C. 1349
εἶναι, ἐσκέψαντο βασιλέα μὲν ἀπωθεῖσθαι καὶ μὴ ὑπ' αὐτὸν τελεῖν, ἀπειλεῖν τε, εἰ μὴ ἐῴη ἡσυχάζειν, ὡς παραδώσουσι Τριβαλοῖς τὴν πόλιν, Κράλην δὲ φενακίζειν, ὡς, ἐπειδὴ τοῦ Ῥωμαίων βασιλέως ἀφεστήκασι, ῥᾳδίως προσχωρήσουσιν αὐτῷ, καὶ διὰ τούτου πείθειν μὴ μᾶλλον πολεμεῖν, ἢ εὐγνωμοσύνῃ καὶ ἐπιεικείᾳ προσάγεσθαι πειρᾶσθαι, καὶ οὕτως ἑκατέρους δι' ἀλλήλων ἀποκρουομένους, τὴν πόλιν αὐτοὶ καρ- C
ποῦσθαι· ἃ ἀπέβαινεν αὐτοῖς κατὰ γνώμην ἐπὶ χρόνον. Γρηγόριος μὲν οὖν ὁ Θεσσαλονίκης ἀρχιερεύς, ἐπεὶ μὴ εἰσεδέχετο παρὰ τῶν ἀρχόντων, εἰς Λῆμνον διέτριβεν ἀναστρέψας, καὶ προνοίας παρὰ βασιλέως τῆς δεούσης ἠξιοῦτο. οἱ δὲ ἐν Θεσσαλονίκῃ ἄρχοντες καὶ μάλιστα Παλαιολόγος, τὸ Ζηλωτικὸν ἔχων περὶ ἑαυτὸν, φοβερὸς τοῖς ἄλλοις πολίταις ἦν ἐκ τῶν πρότερον παραδειγμάτων, καὶ πάντες ὑπεπτήχεσαν καὶ οὐδὲν ἐτόλμων ἀντιγρύζειν. διὸ καὶ μετὰ μικρὸν βασιλέως ἐπιεικείᾳ καὶ εὐεργεσίαις προσάγεσθαι τὴν πόλιν βουλομένου, (βιάζεσθαι γὰρ τοῖς ὅπλοις οὐκ ἐξῆν,) καὶ θεσπίσματα πέμψαντος ἐπ' εὐεργεσίαις κοιναῖς τε καὶ ἰδιωτικαῖς, ὁ Παλαιολόγος D
τῶν πάντα τολμώντων συνεφαπτομένων Ζηλωτῶν, ἐπὶ μέσης κατέκαυσε τῆς πόλεως. ταῦτα μὲν οὖν ὕστερον εἰρήσεται ὀλίγῳ.

ιϛʹ. Τότε δὲ ἐπεὶ Ἰσίδωρος ὁ πατριάρχης ἐτεθνήκει, τοῖς P. 763

sint: Cralem insuper non pecuniam modo, sed ipsam quoque, si dici potest, animam, qua nihil ei carius, prae Thessalonica spreturum, imperatoris iugum excutere, ac, nisi eos missos faceret, Triballis urbem addicturos minari decreverunt. Crali autem verba dare: nempe cum a Romanorum imperatore desciverint, facile ad illum transituros: et idcirco suadere illi, ne se armis potius cogere, quam aequitate animi et lenitate allicere conetur. Sic cum utrumque, alterum per alterum repulerint, ipsi civitatem sibi vindicare, eaque frui. Et processerunt illis ad tempus doli. Gregorius Palamas, Thessalonicensium episcopus, a praefectis non admissus, revertens in Lemno insula consedit: cui ab imperatore qua par fuit cura prospectum est. Praefecti vero Thessalonicae, inprimisque Palaeologus, Zelotas circum se habens, civibus propter exempla praecedentia terrori erat, omnesque prae metu illi se submittentes, contra mussitare non audebant. Hinc etiam paulo post, cum imperator humanitate et beneficentia urbem sibi conciliare cuperet, (armis enim compelli non poterat,) et super beneficiis publice privatimque conferendis edicta mitteret, Palaeologus Zelotis, quorum audacia a nullo facinore abhorrebat, adiuvantibus, ea in foro combussit: qua de re paulo infra disseretur.

16. Per id tempus Isidoro patriarcha rebus mortalibus exempto,

A.C. 1349 *θρόνοις ἐπ' ἔτεσι δυσὶν ἐνδιαπρέψας καὶ τὸ ποίμνιον ποιμά-*
B *νας θεοφιλῶς, τὸν Κάλλιστον ὁ βασιλεὺς τοῖς πατριαρχικοῖς*
θρόνοις ἐφιστᾷ, τῇ κατὰ τὸν Ἄθω μονῇ τῶν Ἰβήρων μετὰ
τὴν ἐκ τοῦ κόσμου ἀναχώρησιν ἐνδιατρίψαντα. ὃν ἐπεὶ ἐπύ-
θετο ἀρετῆς ἀντιποιεῖσθαι καὶ πρὸς τὴν τοιαύτην διακονίαν
εἶναι ἐπιτήδειον, ἤγαγεν εἰς Βυζάντιον τριήρη πέμψας. ἀ-
χθομένων δὲ τῶν ἀρχιερέων πρὸς τὴν αἵρεσιν, οὐ πάντων,
καὶ ἄλλων ἄλλον προβαλλομένων, σπουδὴν πολλὴν εἰσενεγκὼν,
πάντας ἔπεισεν ὁ βασιλεὺς συνθέσθαι· καὶ ἐχειροτονεῖτο τῶν
ἄλλων προκριθείς. ὁ βασιλεὺς δὲ καὶ πρότερον καὶ κατὰ τὸν
C *τοῦ πολέμου χρόνον, ἐπεὶ ὑπὸ Ῥωμαίων κατεστασιάσθη, ἄκων*
V. 611 *μὲν καὶ πρὸς ἀνάγκην πολέμοις προσέχων καὶ λεηλασίαις,*
(ἄλλως γὰρ αὐτόν τε καὶ τοὺς συνόντας οὐδαμῶς διασώζε-
σθαι ἐνῆν,) ἡδέως δὲ ἔχων πραγμάτων ἀπαλλάττεσθαι, καὶ
τοῦ παντὸς τιμώμενος τὸ συζῆν ἀπραγμοσύνῃ, καὶ ὕστερον
μετὰ τὸ τῶν πραγμάτων ἄρξαι ἀχθόμενος πρὸς τὸν θόρυβον
τὸν ἀπὸ τῆς ἀρχῆς, καὶ βίου γαληνοῦ καὶ ἀπράγμονος ἐρῶν,
ἐσκέψατο μετὰ Εἰρήνης βασιλίδος τῆς γυναικὸς τὴν μὲν βα-
σιλείαν γαμβρῷ τῷ βασιλεῖ παραδοῦναι, αὐτοὺς δὲ ἀναχω-
ρεῖν τῶν πραγμάτων καὶ μοναχῶν ἑλέσθαι βίον. καὶ βασι-
λίδα μὲν συνέθεντο τὴν Εἰρήνην πρὸς τὸ τῆς Μάρθας προσ-
D *αγορευόμενον μοναστήριον, ᾗ βασιλέως ἦν ἀδελφὴ τοῦ πρώ-*
του τῶν Παλαιολόγων Μιχαὴλ, γενέσθαι, ὡς βασιλεῖ προσῆ-

1. *δυσὶν* om. P. et M. Pontanus male *annis decem*. Vid. supr. p. 26, 1.

qui thronum annis duobus tenuerat et gregem divino ardens amore paverat, Imperator Callistum in eius sede collocat. Hic post secessum a mundana vita in monasterium Iberorum apud montem Atho se abdiderat. Quem ut virtutis aemulum et ad ministerium tale idoneum audivit, missa triremi Byzantium adduxit. Eam electionem episcopis indigne patientibus, quamquam non omnibus, et aliis alium nominantibus, data sollicite opera, imperator ad consensum omnes impulit: ita Callistus ceteris omnium calculis praelatus est. Verum enim vero imperator et alias, et per tempus belli cum seditionibus Romanorum exagitatus haud volens, sed necessitate adactus, arma tractaret et direptionibus vacaret, (aliter quippe servare se cum suis nequaquam potuisset,) molestiis exsolvi cupiens, et vitam procul negotiis beatissimam reputans, tandemque post adeptum imperium nascentes inde turbas et curarum moles intoleranter sustinens, ac genus vivendi placidum minimeque negotiosum suspirans, cum Irene uxore sensa sua communicat, statuuntque ambo, translato in generum imperio nuntium rebus humanis mittere monachorumque instituta sectari. Et convenit, ipsam quidem ad monasterium Marthae, (ea Michaëlis primi Palaeologi soror fuit,) ut imperatori ex hereditate

κον ἐκ πρώτου κλήρου, καὶ μοναχῶν ἐνδυσαμένην σχῆμα, τὸν A.C. 1349 ἐπίλοιπον βίον διανύειν· βασιλέα δὲ τῷ τῆς Ἡρακλείας ἐπισκόπῳ τῆς ἐν Θρᾴκῃ φιλοθέῳ ὑποτάξαντα ἑαυτὸν, οὐ μόνον διὰ τὴν ἄλλην σύνεσιν καὶ παιδείαν τήν τε ἔξω καὶ τὴν καθ' ἡμᾶς, ἀλλ' ὅτι καὶ τῷ μονήρει βίῳ ἐκ πρώτης ἡλικίας, ὡς εἰπεῖν, ἐκδοὺς, τῇ τε σπουδῇ καὶ τῷ περὶ τὴν ἄσκησιν χρονίῳ πολλὴν περὶ τὰ τοιαῦτα πεῖραν ἔσχεν, ὡς καὶ τῆς ἱερᾶς ἐξηγεῖσθαι λαύρας τῆς ἐν Ἄθῳ παρὰ τῶν ἐκεῖ πατέρων ἐγκριθῆναι, καὶ πρὶν ἐπίσκοπον γενέσθαι, καὶ ἑτέροις ἐδόκει τὰ τοι- P. 764 αῦτα παιδοτριβεῖν εἶναι ἱκανὸς, παρὰ το τοῦ ἁγίου Μάμαντος φροντιστήριον θέσεως ἔχον εὐφυῶς, καὶ ἐρημίας ἀπολαῦον ὡς ἐν πόλει μάλιστα, τῆς ψυχῆς ἐκεῖ φροντίζειν γενομένους, καὶ περὶ τῶν τῇδε πεπραγμένων ἐξιλάσκεσθαι θεόν. συνείποντο δὲ αὐτῷ πρὸς τὴν ἐκ τοῦ βίου ἀναχώρησιν καὶ Καβάσιλας Νικόλαος καὶ Δημήτριος ὁ Κυδώνης, σοφίας μὲν εἰς ἄκρον τῆς ἔξωθεν ἐπειλημμένοι, οὐχ ἧττον δὲ καὶ ἔργοις φιλοσοφοῦντες καὶ τὸν σώφρονα βίον καὶ τῶν ἐκ τοῦ γάμου κακῶν ἀπηλλαγμένον ᾑρημένοι. δι' ἃ καὶ πολλῆς αὐτοὺς ὁ βασιλεὺς ἠξίου εὐμενείας καὶ ἐν τοῖς πρώτοις μάλιστα τῶν φίλων ἦγε καὶ τῶν ὁμιλητῶν. πρῶτα μὲν οὖν ἐδόκει πᾶσι κοινῇ βουλευσαμένοις, πα- B ρὰ τὸ τοῦ ἁγίου Μάμαντος φροντιστήριον τὴν κατὰ τὸν βίον φιλοσοφίαν ἐπιδείκνυσθαι καὶ τὸν ἀκύμαντον καὶ θορύβων ἀπηλλαγμένον βίον διανύειν. ἔπειτα μεταβουλευσάμενοι, τὴν Μαγγά-

15. Κυδόνης P.

aliquid, atque ita rediret. Quae praecepta patris sui agitans Sulimanus, Hebro transmisso, in Moesiam populatum abiit, et cum pecorum hominumque magno numero in Asiam renavigavit. Matthaeus, quoniam cum solis Romanis per hostes ire non poterat, perennibus etiam in medio fluviis haud facilem transitum concedentibus, et Triballis vias insidentibus, ac firmioribus multitudine, quam pro copiis Romanis, quas ducebat, etiam ipse reversus est, et exercitus dissipatus: patrique, quid sibi obstitisset, indicavit. Imperator hoc eventu stomachatus, cum, quid potius ageret, non haberet, Eïone Thessalonicam proficiscens, nocte illa prope Amphipolim, quam Triballi tenebant, iactis anchoris mansit. Eam Braianes regebat, imperatori ob veterem consuetudinem coniunctissimus: ad quem noctu navigiolo clam venit, et cum eo sermonem habuit. Qui quod ad se attinebat, bene imperatori volens, omnia ex eius complacito facturum, et cum aliis eiusdem amicis acturum recipiebat, ut opportuno tempore illi operam navarent: nuntiabatque, ad Strymonis ripas naves Persicas duas supra viginti populandi causa appulsas. Imperator, finito hoc nocturno colloquio, ad triremes revertit, cautione magna adhibita,

διαλεχθεὶς, πάλιν εἰς τὰς τριήρεις ἀπεχώρει, πρόνοιαν πολλὴν ποιούμενος τοῦ μὴ φανερὸς εἶναι διειλεγμένος τῷ Τριβαλῷ. ἅμα δὲ ἕῳ ἔπεμπεν ἐπὶ τοὺς Πέρσας καὶ ἐκάλει ἐπὶ συμμαχίαν· οἱ δὲ παρῆσαν οὐδὲν μελλήσαντες. οὓς ἄγων μετὰ τῶν τριηρέων ἀφῖκτο εἰς Θεσσαλονίκην, εὗρε δὲ τὸν δῆμον καὶ τοὺς Ζηλωτὰς πρὸς τοὺς ἀρίστους διαστασιάζοντας, καὶ κοινῇ κακῶς τὴν πόλιν ἔκ τε τῶν ἔξωθεν πολεμίων καὶ τῶν ἔνδον ἐπιβούλων ἔχουσαν. πάντα δὲ εὐθὺς διέλυε τὰ δεινὰ ἐπιφανεὶς, καὶ ἡ πᾶσα πόλις ἐν ἑορταῖς ἦσαν, καὶ μετὰ πολλῆς εὐφημίας ὑπεδέχοντο τοὺς βασιλέας. μικρὸν δὲ μετὰ τὴν ἐπιδημίαν Καντακουζηνὸς ὁ βασιλεὺς ἐκκλησίαν πάνδημον ἐκ τῶν Θεσσαλονικέων συναθροίσας, περί τε τοῦ συμβεβηκότος πρὸς αὐτὸν πολέμου τοῖς Ῥωμαίοις διειλέχθη, ὡς οὐκ αὐτοῦ παρασχομένου τὰς αἰτίας, ἀλλὰ τῶν σεσυκοφαντηκότων, καὶ περὶ τῶν ἐν αὐτοῖς Ζηλωτῶν, ὡς οὔτε πρότερον τῆς εἰς βασιλέα τὸν νέον ἕνεκα εὐνοίας τὸν πόλεμον κινοῖεν πρὸς αὐτὸν, ἀλλ' ἐπὶ τῷ διαρπάζειν τὰ τῶν ἐχόντων, ἄποροι ὄντες αὐτοὶ ὡς τὰ πολλά· καὶ νῦν οὐδὲν ἧττον παρὰ Τριβαλῶν χρηματιζόμενοι, οὐ βασιλέα μόνον, ὑπὲρ οὗ ἀγωνίζεσθαι ἰσχυρίζοντο, ἀλλὰ καὶ τὴν πόλιν πᾶσαν προὐδίδοσαν ἰδίας ὠφελείας ἕνεκα, καὶ ἀπεδείκνυεν ἐκ πολλῶν οὐ βασιλεῖ τῷ νέῳ μόνον, ἀλλὰ καὶ πᾶσι Ῥωμαίοις καὶ τοῖς πολίταις δύσνους ἐξαρχῆς· καὶ ἐκέλευε συλλαμβάνεσθαι τοὺς μάλιστα ἐν λόγῳ, οὓς καὶ εἰς Βυζάντιον ἤγαγεν ἐπανελθών. τοὺς δ' ἄλλους τῆς πόλεως ἐκέλευεν ἐξωθεῖσθαι· τούς τε

A. C. 1350 … C … D

ne cum Triballo congressus resciretur. Diluculo Persas ad auxilium invitat, qui sine mora advolant, cum iis Thessalonicam defertur, ubi populum et Zelotas ab optimatibus dissidentes invenit: et urbem tum ab externis hostibus, tum ab internis insidiatoribus afflictatam communiter. Verum omne malum adventu suo discussit, totaque civitas festum diem agens et acclamationes ingeminans, imperatores laeta suscepit. Secundum adventum Cantacuzenus, vocato in concionem populo, de bello, quod contra se Romani movissent, disseruit: non sibi, sed sycophantis causam illius adscribendam: et de Zelotis ipsorum, qui neque antea, quasi imperatori iuniori studerent, arma in se movissent, sed ut locupletum facultates diriperent, ipsi plerique omnes egentes: et nunc nihilo minus Triballorum largitionibus corrupti, non imperatorem modo, pro quo se pugnaturos affirmassent, sed et urbem totam propter compendium suum prodiderint. Ac multis argumentis demonstrabat, non solum imperatori iuniori, sed universis quoque Romanis et civibus inde ab initio malevolos exstitisse: praecipuosque comprehendi imperabat, quos et Byzantium secum adduxit. Alios urbe fugari iussit: Triballos vero propugnaculis circum

A. C. 1350 Τριβαλοὺς τῶν περὶ τὴν πόλιν φρουρίων ἐξήλαυνε, τοὺς μὲν δραπετεύοντας καὶ πρὸ τῆς συμβολῆς, ἐνίους δὲ καὶ μάχαις, πέμπων στρατιάν· καὶ ἐν ὀλίγῳ χρόνῳ καθαρὰν ἀπεδείκνυ τὴν χώραν πολεμίων. ἦσαν γὰρ πρὶν βασιλέα ἥκειν πᾶσαν τὴν ἔξω πυλῶν χώραν οἱ Τριβαλοὶ διανενεμημένοι.

P. 770 ιή. Ἐν τούτῳ δὲ ἐκ Βενετίας πρὸς βασιλέα τέτταρες V. 616 ἀφίκοντο τριήρεις εἰς Θεσσαλονίκην, ἄγουσαι πρεσβευτὴν τῶν παρ' αὐτοῖς ἐπιφανῶν Ἰάκωβον Μπραγαδῖνον· ὃς μεγάλα B ἐπηγγέλλετο βασιλεῖ ἐκ τῆς βουλῆς καὶ τοῦ δήμου Βενετίας, εἰ αὐτοῖς πρὸς τοὺς ἐκ Γεννούας Λατίνους συμπολεμοίη. κεκίνητο γὰρ αὐτοῖς διαφορὰ μεγίστη· ἐδέοντό τε εἰς Βυζάντιον ἐπανελθόντα πόλεμον αἱρεῖσθαι πρὸς ἐκείνους μετ' αὐτῶν. ὑπώπτευον γὰρ ἐκ τοῦ προτέρου πολέμου ἀπεχθῶς βασιλέα πρὸς τοὺς ἐν Γεννούᾳ Λατίνους διακεῖσθαι. βασιλεὺς δὲ ἀπηγόρευεν αὐτοῖς τὴν συμμαχίαν, πρὸς Κράλην εἶναι φάμενος αὐτῷ τὸν λόγον, ὃς πόλεις τε οὐκ ὀλίγας καὶ γῆν ἀφείλετο πολλὴν τῆς Ῥωμαίων ἡγεμονίας, αὐτῶν ὑπὸ τοῦ ἐμφυλίου πολέμου πρὸς ἀλλήλους ἠσχολημένων. τῶν δὲ ἐπαγγελλομένων, εὖ διαθήσειν αὐτῷ τὰ κατὰ Κράλην· γεγενῆσθαι γὰρ C ἕνα τῆς αὐτῶν βουλῆς καὶ ἔχειν ἀνάγκην πείθεσθαι αὐτοῖς· ἐπείθετο οὐδ' οὕτως, ἀλλὰ δῶρα παρασχὼν καὶ φιλοφρονησάμενος, ἀπέπεμψεν. οἱ βάρβαροι δὲ οἱ ταῖς ναυσὶ συστρατευόμενοι οὐ μόνον τὰ κατὰ Μακεδονίαν παράλια διήρπαζον, πρὶν γενέσθαι ὑπὸ βασιλέα, ἀλλὰ καὶ κατὰ τὴν Βοτιαίαν

10. συμπολεμοῖ M. mg. κεκοίνητο M. mg.

urbem expulit, alios per se fugientes, etiam ante conflictum, alios conserta manu: brevique spatio temporis regionem hostibus purgavit. Etenim antequam eo veniret, quidquid extra portas est agri, Triballi possidebant.

18. Postmodum quatuor triremibus Thessalonicam Venetorum legatus, domi suae vir nobilis, Iacobus Bragadinus, appellitur, qui senatus populique verbis imperatori promissa dat ingentia, si ipsis contra Genuenses ferat auxilium; (erat enim permagnum inter eos subortum dissidium;) precanturque, ut Byzantium reversus, arma secum in illos sumat: ex priore enim bello aliquas odii adversum Genuenses reliquias apud eum residere suspicabantur. Imperator abnegat: sibi cum Crale negotium esse, qui, Romanis bello civili occupatis, non paucas urbes et terrarum regiones imperio abstulerit. Legati pollicentes, Venetos illi rem cum Crale transacturos: cooptatum enim esse in eorum senatum ac proinde necesse habere obtemperare: ne sic quidem persuaserunt, sed humaniter habiti, cum donis dimissi sunt. At barbari navibus una militantes, non tantum oras Macedoniae maritimas populati erant, antequam imperatori se coniungerent, sed etiam in Bottiaeam

περαιούμενοι, πάντα ἐληΐζοντο καὶ ἐκάκουν· ἐν ᾗ ἄλλους τε [A. C. 1350] ἠνδραποδίσαντο πολλούς, καί τινος υἱὸν Μαρζελάτου προσ- [P. 725] αγορευομένου νομέων τινῶν ἐξάρχοντος, οἳ βοῶν ἔνεμον ἀγέλην τῶν κατὰ τὴν Βέῤῥοιαν Τριβαλῶν· ἦν δὲ γνώριμος τῷ βασιλεῖ, ἐκ τῶν ὑπ' αὐτῷ τελούντων νομάδων τὸ ἀρχαῖον ὤν· ᾧ καὶ μᾶλλον πεπεισμένος, πρὸς βασιλέα εἰς Θεσσαλονίκην ἧκε, καὶ ἐδεῖτο περὶ τοῦ υἱοῦ, πρὸ τῶν ποδῶν τοῦ βασιλέως [D] κυλινδούμενος. βασιλεὺς δὲ ὥσπερ ὑπό τινος κεκινημένος, τῷ ἀνθρώπῳ διελέγετο μόνον παραλαβών, ὡς, εἰ βούλοιτο ἀπὸ τῶν βαρβάρων τὸν υἱὸν ἐλευθεροῦν, πρὸς τὴν Βεῤῥοίας αἵρεσιν συμπράττειν, οὐδὲν ἕτερον ἢ νυκτὸς μόνον κλίμακα τοῖς τείχεσιν ἐπιθέντα. ὁ βάρβαρος δὲ τήν τε ἐπιχείρησιν ὑπήρχετο προθύμως, καὶ τὰ μεγάλα ἐπηγγέλλετο συμπράξειν. ἔφασκε δὲ καὶ ῥᾳδίαν μάλιστα αὐτῷ ἔσεσθαι τὴν ἐπιχείρησιν· τῶν γὰρ ἐν Βεῤῥοίᾳ δυνατωτάτων Τριβαλῶν μετά τινων ἑτέρων νέμων βοῦς, μεταξὺ τῶν δύο τειχῶν αὐλίζεσθαι τῆς πόλεως τὴν νύκτα, καὶ μηδεμίαν κατ' αὐτοὺς εἶναι φυλακήν, ὥστ' εἶναι ῥᾴδιον τοὺς ἑταίρους πείσαντα, πράττειν βασιλεῖ [P. 771] τὰ κατὰ γνώμην. ὁ μὲν οὖν βάρβαρος οὕτω συνθέμενος πρὸς βασιλέα, ἀπεχώρει, ἐκείνου ἐπαγγειλαμένου τὸν υἱὸν ἀπὸ τῶν Περσῶν ἐλευθεροῦν, εἰ συμπράξειε τὰ δυνατὰ πρὸς τὸ Βέῤῥοιαν ἁλῶναι. καὶ βασιλεὺς δὲ παρεσκευάζετο, ὡς εἰς Βέῤῥοιαν ἀφιξόμενος νυκτός, καὶ τὰς μὲν τριήρεις ἐκέλευε τοὺς ναυάρχους ἐφοπλίσαντας, ἄγοντας καὶ τοὺς βαρβάρους, ἐπὶ

6. πρὸς βασιλέα om. P. 22. καὶ om. P.

navigantes omnia direptionibus et vastitate foedaverant, in qua praeter alios Marcelati cuiusdam filium ceperant, pastorum quorundam principis, qui armenta boum Triballis Berrhoeensibus pascebant, eratque imperatori notus: quippe qui quondam unus de eius pastoribus fuisset. Qua re potissimum fretus, Thessalonicam se contulit, et stratus ad eius pedes pro filio captivo rogavit. Imperator, nescio quo instinctu hominem apprehendens, cum eo agit, ut, si velit a barbaris filium recipere, in Berrhoea capienda operam sibi det: nullam aliam, quam ut noctu tantum scalas muris apponat. Barbarus conditionem perlibenter suscipit, et maiora etiam praestiturum spondet, confirmatque, rem sibi haud difficilem fore. Nam se cum quibusdam aliis, Triballorum Berrhoeae potentissimorum pascentem boves, inter binos muros urbis noctu mansitare: quibus nulla sit custodia, ut facile possit persuasis sociis imperatori gratificari. Sic barbarus cum eo pactus recedit, filii a Persis liberandi promissa secum auferens, si ad urbem occupandum operam viriliter contulisset. Iamque imperator, ut Berrhoeam noctu iret, se comparabat, mandans navarchis, triremes instruerent, et barbaros simul ducentes, in fluvium

A. C. 1350 τινα ποταμὸν τῶν ἀενάων οὐ πάνυ πόῤῥω ῥέοντα Βεῤῥοίας,
ἐκ συνθήματος ἐλθεῖν καὶ περιμένειν βασιλέα. αὐτὸς δὲ τήν
τε ἐκ Θεσσαλονίκης ἄγων στρατιὰν, καὶ τῶν ἐκ Βυζαντίου
V. 617 ἑπομένων οὐκ ὀλίγους, αὐτόθεν ἵππους συμπορισαμένους, ἐκ
B τῆς ἠπείρου πρὸς Βέῤῥοιαν ἐχώρει, βασιλέα τὸν νέον ἐν Θεσ-
σαλονίκῃ καταλιπών. ἐν Βεῤῥοίᾳ δὲ καὶ πρότερον μὲν ἦσαν
οὐκ ὀλίγοι Τριβαλῶν ὑπὸ Κράλῃ κατῳκισμένοι, οὐ στρατιῶ-
ται μόνον, ἀλλὰ καὶ τῶν δυνατῶν, διά τε τὴν ἄλλην τῆς πό-
λεως εὐφυΐαν· οὐδενὸς γὰρ τῶν ὅσα πόλιν εὐδαίμονα ποιεῖ
ἐνδεῖ· καὶ διὰ τὸ μεγάλην εἶναι καὶ πολλοὺς τοὺς ἐνοικοῦν-
τας ἔχειν, οὐ δημώδη μόνον ὄχλον, ἀλλὰ καὶ στρατιώτας, καὶ
οὐκ ὀλίγους τῶν συγκλητικῶν· ὧν τοὺς πλείους μὲν ἢ πάν-
τας ὁ Κράλης ἐξήλασε κατασχὼν, ὅμως ἔτι τὴν ἀποστασίαν
δεδιὼς τῆς πόλεως, στρατιώτας τε ἐγκατῴκισεν οὐκ ὀλίγους,
C καὶ τῶν παρ' αὐτῷ ἐπιφανῶν τινας· ἀκροπόλεις δὲ οἰκοδο-
μήσας δύο, τὴν μὲν ἀπηρτισμένην πάντῃ φρουρὰ κατέσχε
Γερμανῶν τὴν πρὸς τῇ βασιλικῇ καλουμένῃ πύλῃ, ἡ λοιπὴ
δὲ ἐνέδει ἔτι. οὐ γὰρ ἀκρόπολις ἦν, ἀλλ' ὥσπερ μικρὰ πό-
λις ἐν μεγάλῃ. μέρος γὰρ οὐκ ὀλίγον τοῦ περιβόλου τῆς πρώ-
της πόλεως ἀποτεμόμενος, διετείχιζεν ἐπὶ τὰ ἔνδον τὰς οἰκίας
καθαιρῶν, καὶ πύργους ἀνίστη ἐφ' ἑνὶ τῷ μεγίστῳ τρεῖς ἐλάσ-
σους, καὶ τῶν κατὰ τὰ μεσοπύργια τειχῶν πάχος σύμμετρον
ἐχόντων, διπλᾶς ἐποίει τὰς ἐπάλξεις, ἵν', εἰ δέοιτο ἐφ' ἕτερον
ἰέναι ἐξ ἑτέρου, ῥᾳδία εἴη ἡ διεξαγωγή· κἂν εἰ συμβαίη τὴν

quendam perennem, non admodum Berrhoea procul manantem, ex composito venirent, ibique se exspectarent. Ipse vero tum ex Thessalonica praesidium, tum qui e Byzantio se sequentes non paucos inde equos conquisierant, ducens ex continente Berrhoeam, imperatore iuniore Thessalonicae relicto, petebat. Berrhoeae autem, etsi iam antea multi degerent Triballi, a Crale eo habitatum missi, non milites modo, verum etiam homines copiosi, tum propter ceteram commoditatem, (nihil siquidem eorum, quae urbem aliquam beatam faciunt, illic deest,) tum quia ampla est multisque incolis frequens, non plebeia solum turba, sed et militibus et optimatibus, quorum plures, vel omnes potius, Crales ea occupata expulit, nihilo minus adhuc eius defectionem timens, non paucos milites et nobiles aliquot ibi stabili sede collocarat. Arces porro construxit duas. Ac omnino quidem perfectae ad portam, quae regia dicitur, Germanos praesidiarios imposuit: altera etiamnum praesidio carebat: non enim tam arx, quam parva urbs in magna erat. Parte enim non exigua de ambitu prioris urbis abscissa, muro eam discludebat, solo aequatis aedibus, et turres erigebat post unam maximam tres minores, murorumque inter turres crassitudine illis respondentium duplicia

ἀκρόπολιν ἁλῶναι, μηδὲν παραβλάπτοιντο οἱ φύλακες ὁμοίως ἀπό τε τῶν ἔξω καὶ τῶν ἔνδον πολεμίων. ταύτην μὲν οὖν τοιαύτην οὖσαν οὐκ ἔφθασεν εἰς τέλος ἀγαγεῖν, ἀλλὰ τοῦ προσήκοντος ὕψους ἀπελείποντο οἱ πύργοι ἔτι. διά τε οὖν τὰς εἰρημένας αἰτίας πολλοὶ Τριβαλῶν ἐνδιέτριβον Βεῤῥοίᾳ καὶ ἀξιόμαχος στρατιά· καὶ τότε διὰ τὴν βασιλέως ἔφοδον οὐκ ὀλίγοι ἐκ τῶν ἐν ταῖς κώμαις κατῳκισμένων συνῆλθον. ὑπώπτευον γὰρ καὶ αὐτοὶ βασιλέα ἐπιχειρήσειν σφίσι, καὶ τῆς τε πόλεως ἐποιοῦντο φυλακὴν καὶ νύκτωρ καὶ μεθ' ἡμέραν οὐ ῥαθύμως· καὶ παρεσκευάζοντο πρὸς ἄμυναν, ἤν τις αὐτοῖς ἐπίῃ. ἃ καὶ βασιλεὺς σαφέστατα εἰδὼς, οὐ φανερῶς ἐπεχείρει· ᾔδει γὰρ οὐ δύνατος ἐσόμενος τοσούτους βίᾳ αἱρήσειν μετὰ τῶν τειχῶν· ἀλλ' ἐπὶ κλοπὴν ἐχώρει μᾶλλον, οὐκ ὀλίγα καὶ τοῖς ἐγχωρίοις πεποιθὼς, ὡς συστήσονται ἐπὶ τοὺς πολεμίους, ἢν αἴσθωνται ἔνδον ὄντα, καὶ συγκατεργάσονται αὐτῷ τὸν πόλεμον. ὁ μὲν οὖν πρόνοιαν πολλὴν ποιούμενος τοῦ μὴ κατάδηλος εἶναι Τριβαλοῖς ἐπιστρατεύων, ἦλθεν ἐπὶ τὸν ποταμὸν κατὰ τὸ σύνθημα. αἱ τριήρεις δὲ οὔπω παρῆσαν. γενόμεναι γὰρ πρὸς τὸ στόμα τοῦ ποταμοῦ, οἷα φιλεῖ συμβαίνειν, ὑπό τε τῆς θαλάττης καὶ τοῦ ποταμοῦ ἐξωθουμένης τῆς ἰλύος προσχοῦσθαι τὰ κατὰ τὴν εἰσβολὴν, ἠδυνάτουν πρὸς τὴν δίοδον· καὶ μηχανὴ τοῖς ναυάρχοις οὐδεμία ἐξευρίσκετο, ἀλλὰ μόνον ἤχθοντο τοιαύ-

A. C. 1350 D P. 772

19. γενόμενοι et κατὰ τὸ στ. M. mg. 21. τὰ om. P.

propugnacula seu pinnas faciebat, ut, si opus foret, ab una in alteram facile commearent milites, et si arx forte caperetur, custodes ab hostibus aeque intus, ac foris nihil laederentur. Hanc igitur arcem sic institutam ad finem perducere non potuit, sed conveniens altitudo turribus adhuc deerat. Propter causas igitur a me positas magna et bellicosa Triballorum vis Berrhoeam incolebat: et tunc propter infestum imperatoris adventum non pauci in vicis habitantes, quod et se invasum iri metuerent, eo confluxerant, custodiebaturque urbs noctu et interdiu vigilanter: et ad hostem propulsandum sese instruebant. Quae cum et imp. exploratissime sciret, non aperte eos aggrediebatur, quod se ad tam multos expugnatione subigendos viribus imparem nosset, sed ad furta se convertebat potius, non parum et incolis confisus: nempe si se intus esse cognoverint, simul in hostes surrecturos bellumque secum confecturos. Itaque magnopere studens, ne in Triballos ire nosceretur, ex compacto cum exercitu ad flumen venit. Triremes autem nondum aderant. Cum enim essent ad ostium fluminis, e mari atque e fluvio in modum aggeris aggesto luto, (ut amat accidere,) aditus ad transeundum obtineri non poterat: et navarchi ad naves expediendas nullam machinam inveniebant, tantumque occasionem talem rei bene gerendae elabi dolebant. Sciebant quippe,

A.C. 1350 της πράξεως ἀπολλυμένης. ᾔδεσαν γὰρ οὐδὲ βασιλέα χωρὶς
αὐτῶν ἐπιστρατεύσοντα Βεῤῥοίᾳ, ἀλλ' ἅμα ἕῳ κατάδηλον γε-
B νόμενον, ἀναγκασθήσεσθαι εἰς Θεσσαλονίκην ἀναστρέφειν.
βασιλεύς τε ὁμοίως ἠγανάκτει ἐφεστὼς τῷ ποταμῷ, ὅτι μὴ
παρῆσαν αἱ τριήρεις· τὴν αἰτίαν δὲ τῆς ἀπολείψεως ἠγνόει.
καὶ ἀπόλλυσθαι τοιαύτην πρᾶξιν ὑπενόει καὶ αὐτὸς, εἰ ἐπι-
γένοιτο ἡμέρα. ἐν ὅσῳ δὲ οἱ ἐν ταῖς τριήρεσι περὶ του ὅ,τι
χρὴ πράττειν διηπόρουν, ἀθρόον πλημμυρήσασα ἡ θάλασσα
καὶ κυμήνασα ἐπὶ μικρὸν, ἠμέρῳ καὶ προσηνεῖ ῥοθίῳ παρέ-
πεμπε τὰς ναῦς ἐπὶ τὸν ποταμὸν, καὶ ἐν ὀλίγῳ βασιλεῖ συμ-
μίξασαι, διηγοῦντο τὸ κατὰ τὴν διάβασιν, ὥσπερ ἐξαίσιον
συμβεβηκός. βασιλεύς τε οὐ κατὰ τύχην, ἀλλὰ προνοίᾳ θείᾳ
τὰ τοιαῦτα συνεσκευάσθαι οἰηθεὶς, μᾶλλον ἐπεῤῥώσθη πρὸς
C τὴν πρᾶξιν, ὡς θεοῦ συναιρομένου· καὶ ᾗ τάχους εἶχε, τούς
τε ὁπλίτας καὶ ψιλοὺς καὶ τοὺς βαρβάρους τῶν νεῶν ἐξαγα-
γὼν, ἐχώρει πρὸς Βέῤῥοιαν σπουδῇ, ἐπὶ τὴν φυλακὴν τῶν
V.618 νεῶν καταλιπὼν ὅσους ᾤετο ἀρκέσειν. μεταξὺ δὲ πορευομέ-
νῳ καὶ ὁ Μαρζελάτος παραγενόμενος, ἐπέσπευδε πρὸς τὴν
πορείαν. πάντα γὰρ αὐτῷ ἔφασκεν ἠνύσθαι, καὶ τοῖς ἑταί-
ροις ἐπιτετραφέναι τὴν τῆς κλίμακος κατασκευήν. ἐπεὶ δὲ
ἦσαν οὐκ ἄπωθεν τῆς πόλεως, βασιλεὺς μὲν αὖθις ἔπεμπε
Μαρζελάτον ἰδεῖν, εἰ κατεσκεύαστο ἡ κλίμαξ. ὁ δὲ ἐπανα-
στρέψας, μηδεμίαν ἔφασκε κατεσκευάσθαι κλίμακα, καὶ πά-
λιν ὁ βασιλεὺς ἐν ἀπόροις ἦν. οἱ περὶ αὐτὸν δὲ ξύλα τε-

nec imperatorem sine ipsis Berrhoeam invasurum, sed diluculo agnitum Thessalonicam repetere coactum iri. Imperator similiter ad fluvium consistens, nondum adesse triremes dolenter ferebat, causamque absentiae ignorabat, et ne coepta in nihilum caderent, si dies intervenisset, etiam ipse verebatur. Interea dum classiarii haerent, quid agant, desubito exaestuans mare et aliquamdiu fluctuans, naves placido ac leni impetu in flumen promovet, citoque cum imperatore coniuncti, quam iniquo casu impediti fuissent, commemorabant. Imperator haec non fortuna, sed divina providentia fieri existimans, ad negotium transigendum, ut Deo opitulante, confirmabatur, et quam celeriter licebat, cum gravi levique armatura et barbaris Berrhoeam properabat, relictis ad custodiam triremium quot sufficere arbitrabatur. Euntem Merzelatus occurrens ad festinandum acuebat, quod diceret, omnia se confecisse, et scalas faciendas sociis commisisse. Cum ab oppido propius abessent, imperator rursus Merzelatum mittit visum, ecquid scalae sint confectae. Refert ille, nullas esse confectas. Imperator iterum ancipiti cogitatione turbari. Tum qui illi erant proximi aptare in silvis trabes, altitudinem muri aequantes, (una enim in expeditione versabantur Berrhoeotarum

μόντες ἐκ τῆς λόχμης τῷ τείχει ἰσομήκη· συνεστρατεύοντο γὰρ A. C. 1350 Βεῤῥοιωτῶν οἱ μάλιστα ἐν λόγῳ ὑπὸ Κράλη φυγαδευθέντες, D πρὸς εὐψυχίαν καὶ τόλμαν οὐδενὸς λειπόμενοι τῶν συνόντων βασιλεῖ· οἳ καὶ μάλιστα προθύμως πρὸς πάντα ὑπηρέτουν, καὶ πρὸς τὴν τῆς πατρίδος ἐσπούδαζον κατάληψιν. ἐπειδὴ ἥλων οὐκ εὐπόρουν, τοῖς ἐκ τῆς βασιλικῆς σκηνῆς χρησάμενοι καλωδίοις, κλίμακας κατεσκεύασαν τέτταρας ἐν βραχεῖ, ὁπλῖται δὲ καὶ ἐκ τῶν ψιλῶν ἄραντες αὐτὰς, Βεῤῥοιωτῶν ἡγουμένων μετὰ Μαρζελάτου, τοῖς τείχεσι προσήρεισαν, μηδενὸς εἰδότος τῶν ἔνδον πολιτῶν· καὶ αὐτοὶ ἀνέβαινον πρῶτοι, ἔπειτα καὶ ἐκ τῶν ὁπλιτῶν καὶ τῶν ψιλῶν. βασιλεὺς δ' ἐπεὶ ᾐσθάνετο ἔνδον ὄντας τοὺς οἰκείους, αὐτίκα P. 773 τὸ στράτευμα διῄρει, καὶ Ῥωμαίους μὲν ἔχων αὐτὸς ἱππέας καὶ πεζοὺς, ἐπὶ τὰς κλίμακας ἐχώρει, τὸ βαρβαρικὸν δὲ μετὰ Ῥωμαίων τῶν ἐπιλοίπων ἐπὶ τὴν ἀκρόπολιν ἐκέλευε χωρεῖν, ὥστε καταπλήττειν πολλαχόθεν προσβαλόντας. οἱ ἔνδον δὲ γενόμενοι στρατιῶται, πρῶτα μὲν φύλαξί τισι περιτυχόντες, συνελάμβανον καὶ σιωπᾷν ἐκέλευον, ἢ ἠπείλουν ἀποκτείνειν. ἔπειτα ἐλθόντες ἐπὶ πύλην τὴν Ὀψικκιανὴν προσαγορευομένην, ἑτέροις ἐνέτυχον φύλαξι πολίταις; οὓς ἐκέλευον συμπράττειν σφίσι καὶ καταγνύναι τοὺς μοχλούς· θᾶττον δὲ ἢ λόγος ἐκεῖνοι τὰς πύλας διανοίξαντες, εἰσεδέχοντο βασιλέα. ὁ δὲ, τῶν ἀρίστων ὀλίγους πρὸς ταῖς πύλαις κατασχὼν B περὶ αὐτὸν, τοὺς ἄλλους ἔνδον ἐκέλευε χωρεῖν καὶ συμπλέ-

primarii, a Crale in exilium acti, magnanimitate et fidentia nihil reliquis de imperatoris agmine concedentes prompteque ad omnia praeservientes, et ad patriam occupandam studium suum accommodantes,) et quoniam clavi non suppetebant, funibus ex tabernaculo imperatoris usi, quaternas scalas brevi componere, quas cataphracti et quidam levis armaturae tollentes, Berrhoeotis cum Merzelato ducibus, muris applicuerunt, oppidanis ad unum ignorantibus: ipsique primi, deinde utriusque armaturae milites adscenderunt. Imperator ut suos intus esse comperit, divisis copiis, ipse Romanos, equites peditesque, ducens ad scalas processit, barbaros cum reliquis Romanis arcem adoriri iussit, ut pluribus ex partibus invadentes terrorem indigenis afferrent. Qui intus iam erant milites primum quidem in quosdam custodes incidentes, eos comprehendebant, mortemque interminabantur, si vocem ederent. Deinde cum ad portam Opsicceianam venissent, alios custodes eosdemque cives offenderunt, quos ad se iuvandos vectesque diffringendos hortati sunt. Dictum ac factum. Illi, portis apertis, imperatorem intromittunt, Qui optimatum paucos apud portam secum retinens, alios introrsus ire, et cum Triballis hostibus dimicare iussit: ad quos perdendos soli incolae

A. C. 1350 κεσθαι τοῖς πολεμίοις. τοὺς δὲ καὶ μόνοι ἤρκουν διαφθείρειν οἱ ἐγχώριοι. ὡς γὰρ ᾔσθοντο ἔνδον ὄντα βασιλέα, τῆς εὐφημίας πᾶσι ποιούσης δῆλον, ἐπέθεντο αὐτίκα Τριβαλοῖς, καὶ τά τε ὄντα διήρπαζον, καὶ συνελάμβανον εἴ που περιτύχοιέν τινι. οἱ Τριβαλοὶ δὲ ἐπεὶ ᾐσθάνοντο ἑαλωκυῖαν Βέῤῥοιαν, πρῶτα μὲν ἐπὶ τοὺς ἄρχοντας συνέθεον πανταχόθεν ὡπλισμένοι, ὡς ἢ ἀμυνούμενοι, ἂν ἐξῇ, ἢ τὰς πρὸς τῇ ἀκροπόλει πύλας διανοίξαντες ἀποδιδράσκοιεν. τῶν βαρβάρων δὲ ἀλαλαξάντων ἔξωθεν τῆς ἀκροπόλεως, αὐτίκα πᾶσαν ἐλ-
C πίδα σωτηρίας ἀπογνόντες, τῶν ἵππων ἀποβαίνοντες, εἰσῄεσαν εἰς τὴν ἀκρόπολιν, παῖδας καὶ γυναῖκας ἔχοντες, τῶν δὲ ἄλλων οὐδένα λόγον ἐποιοῦντο. ὄντων δὲ πολλῶν, (τριάκοντα γὰρ ἦσαν τῶν εὐπατριδῶν ἅμα γυναιξὶ καὶ τέκνοις, οἳ στρατιωτῶν πάντες ἦρχον, στρατιῶται δὲ πεντακόσιοι καὶ χίλιοι,) ἐπεὶ τά τῆς ἀκροπόλεως τείχη καὶ οἱ πύργοι ἦσαν ἀτελεῖς, οἱ μὲν ἄρχοντες ἅμα γυναιξὶ καὶ τέκνοις εἰς ἕνα τῶν πύργων ὕψους ἱκανῶς ἔχοντα εἰσῄεσαν, τὸ δ' ἄλλο τῶν στρατιωτῶν πλῆθος, οἱ μὲν συνελαμβάνοντο αὐτίκα, οἱ δὲ πρὸς τὰς οἰκίας κατεκρύπτοντο παρὰ τοὺς φίλους. οἱ Γερμανοὶ δὲ τὴν ἑτέραν εἶχον ἀκρόπολιν καθ' ἑαυτούς, ἣ πρὸς τῇ Βασιλικῇ καλουμένῃ πύλῃ ἦν· ἄλλο δέ τι πλῆθος ἀχθοφορούν-
D των, ὡς ἐλέγετο ὑπὲρ μυρίους ὄν, ἐκ πάσης τῆς ὑπὸ Κράλην γῆς ἠγμένον ἐπὶ τὴν οἰκοδομὴν τῆς ἀκροπόλεως, ἔξω αὐλιζόμενον τειχῶν, ὡς ᾔσθετο τοὺς βαρβάρους, ἔτι δοκῶν με-

sat multi erant. Ut enim intra moenia imperatorem esse cognoverunt, acclamatione fausta eum prodente omnibus, statim in Triballos irruentes, facultates illorum diripiebant et forte occurrentes capiebant. Triballi urbem captam animadvertentes, primum ad praefectos cum armis undique concurrerunt, ut eos defenderent, si possent: aut, portis apud arcem apertis, aufugerent. Barbaris autem extra arcem laetum vociferantibus, statim salute funditus desperata, ab equis descendentes cum liberis et uxoribus, ceteris neglectis, in arcem confugerunt. Cum porro multi essent praefecti militum, (triginta videlicet nobiles, habentes uxores ac liberos, milites autem mille quingenti,) quoniam arcis muri et turres nondum extremam manum acceperant, praefecti cum coniugibus et filiis in unam turrim satis altam se abdiderunt: de militibus alii quidem mox comprehendebantur, alii in aedibus ab amicis occultabantur. Germani alteram arcem, quae ad portam regiam erat, soli tuebantur: alia multitudo operariorum, ut ferebatur, plus decem millia, ex tota Cralis provincia ad arcis aedificationem collecta, extra muros manens, ubi barbaros sensit, etiam tum trabibus magnis ad muros applicitis (lapidibus reliquaeque materiae sursum attrahendae videlicet)

γάλων προσερηρεισμένων τοῖς τείχεσιν, ἐπὶ λίθων καὶ τῆς A.C. 1350
ἄλλης ὕλης ἀνολκὴν δι' αὐτῶν εἰσρυέντες, διεσώθησαν ἐντὸς
τῆς πόλεως. ὁ βασιλεὺς δὲ ἐπεὶ ᾔσθετο ἤδη κατὰ κράτος τὴν
πόλιν ἐχομένην, ἴη καὶ αὐτὸς πρὸς τὴν ἀκρόπολιν εὐφημού- V. 619
μενος ὑπὸ τῶν πολιτῶν καὶ προπεμπόμενος· γενόμενος δὲ
ἐκεῖ, πάντα μὲν εὕρισκεν ὑπό τε τοῦ δήμου καὶ τῆς στρα-
τιᾶς διηρπασμένα· τοὺς βαρβάρους δὲ πέμψας ἐκώλυσε, μὴ
εἰσελθεῖν ἐντὸς τῆς πόλεως, ἵνα μή τι ὑπ' αὐτῶν κακουργη-
θῇ, ὡς πολέμῳ τῆς πόλεως ἑαλωκυίας. ἔπειτα τοῖς Τριβα-
λοῖς τοῖς ἐν τῷ πύργῳ ἐκέλευεν ἐξιέναι δεξιὰν διδούς, ὡς P. 774
οὐδὲν παρ' αὐτοῦ πείσονται δεινόν. οἱ δ' αὐτίκα ἐξιόντες
προσεκύνουν. πάντες γὰρ τῶν φίλων ἦσαν. Γερμανοὶ δὲ ἀν-
τεῖχον πρὸς τὸν δῆμον καὶ τοὺς ἐκ τῶν τριηρέων ὁπλίτας μα-
χομένους ἄχρις οὗ βασιλεὺς ἐγένετο καὶ πρὸς αὐτούς. αὐτίκα
δὲ καὶ αὐτοὶ ἐκλιπόντες τὴν ἀκρόπολιν προσεχώρουν. ἦσαν δὲ
ἐκεῖνοι, οἳ μετὰ βασιλέως, ὅτε πρὸς Βέῤῥοιαν τὸ πρῶτον ἧκε,
Κράλη προστάττοντος, συνεστρατεύοντο, οἷς ὁ βασιλεὺς μεγά-
λας ᾔδει χάριτας τῆς εἰς αὐτὸν εὐνοίας τότε. οὐ γὰρ ὑπέ-
μειναν, καίτοι ὑπὸ Κράλη κελευόμενοι, ἐκλιπεῖν αὐτὸν ἐν Θεσ-
σαλονίκῃ στρατευόμενον, ἀλλά, καίτοι πολλῶν κινδύνων περι-
σχόντων, ὅμως ἄχρι Βεῤῥοίας εἵποντο προθύμως. δι' ἃ αὐτοῖς B
ὁ βασιλεὺς, καίτοι αἰχμαλώτοις γεγενημένοις, ἡμέρως ἐχρή-
σατο καὶ προσηνῶς, καὶ ὅπλα παρασχόμενος καὶ ἵππους, ἔτι
δὲ καὶ ἀργύριον προσθεὶς, ἀπέπεμπεν ἐπὶ Κράλην. τοὺς δὲ

per eas in urbem scandentes servati sunt. Quam ut iam vi ac virtute occupatam cognovit imperator, et ipse ad arcem, acclamante ac deducente populo, profectus, ibi omnia et a plebe et a militibus direpta invenit: misitque et barbaros urbis ingressu prohibuit, ne quid ei, ut bello captis solet, noceretur. Deinde Triballos, qui se in turrim condiderant, exire iussit, data fide publica, nihil mali perpessuros. Qui protinus egressi, omnes eum adorarunt: erant siquidem amici omnes. At Germani populo, et qui ex triremibus venerant, cataphractis resistebant, quoad imperator accessit: tum enim confestim arce deserta se dediderunt. Atque hi ipsi illi erant, quos ei primum Berrhoeam petenti, Crales socios adiunxerat: quibus tunc imperator magnas de benevolentia gratias egit. Non enim, quamvis id Crales mandasset, Thessalonicae in castris ipsum deseruerant, sed per media multaque discrimina usque Berrhoeam cupide secuti fuerant. Qua de causa imperator, etsi captivos, benigne et humaniter eos habuit, et cum equis atque etiam cum armis, donato viatico, ad Cralem dimisit. Ceteros milites omnes extra triginta praefectos, contentos indumentis, pedibus abire domum voluit: equi namque ab exercitu direpti erant: reliquam colluviem, baiulorum nimirum

A. C. 1350 ἄλλους στρατιώτας ἅπαντας πλὴν τριάκοντα τῶν ἀρχόντων·
ἠμφιεσμένους ἐκέλευε πεζῇ ἀναχωρεῖν εἰς τὴν οἰκίαν. οἱ γὰρ
ἵπποι διηρπάσθησαν ὑπὸ τῆς στρατιᾶς. καὶ τὸ ἄλλο πλῆθος
ἅπαν τὸ ἀχθοφορικὸν οἱ στρατιῶται μακρὰν τῆς πόλεως ἀπα-
γαγόντες, ἀπέλυον, κελεύσαντος βασιλέως, ἵνα μὴ ὑπὸ τῶν
βαρβάρων διαρπασθῶσιν. οἱ τριάκοντα δὲ, βασιλέως ἐντίμως
C βουλομένου ἀπολύειν, ἐδεήθησαν κατέχεσθαι, ἵνα μὴ πρὸς
τὸν σφέτερον δυνάστην διαβληθῶσιν, ὡς τὰ βασιλέως ᾑρημέ-
νοι, καὶ ἑκόντες ὄντες δόξωσι σφᾶς τε παραδεδωκέναι καὶ
τὴν πόλιν. μετὰ μικρὸν δὲ οἱ μὲν ἀπῄεσαν εἰς τὰς οἰ-
κίας, βασιλέως ἐπιτρέποντος, οἱ δ᾽ ἐδόκουν διαδιδράσκειν· ἔνιοι
δὲ αὐτῶν ἀχθέντες εἰς Θεσσαλονίκην, ἐκεῖθεν ἀπεδίδρασκον.
οὐ γὰρ ἐν δεσμωτηρίοις κατεκλείοντο, ἀλλ᾽ ἐν μοναστηρίοις
ἄδετοι μόνον ἐφρουροῦντο. τοιαῦτα μὲν τὰ πρὸς Βέῤῥοιαν
συνηνέχθη κρείττω πάσης ἐλπίδος εὐτυχηκότος βασιλέως, καὶ
ἐν ἡμέρᾳ μιᾷ τοσούτων πολεμίων ἀναιμωτὶ κυρίου γεγενημέ-
νου. τέθνηκε γὰρ οὐδεὶς οὔτε Ῥωμαίων, οὔτε Τριβαλῶν πλὴν
D ἑνὸς βαρβάρου, κἀκείνου, ὡς ἐλέγετο, ὑπὸ Ῥωμαίων ἀνῃρημένου.
οἱ βάρβαροι δὲ ἐπεὶ ἐκ τῆς ἁλώσεως τῆς πόλεως οὐδὲν ἀπώναντο,
(οὐ γὰρ εἴασεν ὁ βασιλεὺς ἐντὸς γενέσθαι,) τὴν ὑποκειμένην
Κράλη χώραν ἐδεήθησαν καταδραμεῖν, καὶ βασιλέως ἐπιτρέ-
ψαντος, κατέδραμόν τε, καὶ λείαν ἤλασαν πολλὴν μάλιστα
ἐκ βοσκημάτων, ἀνθρώπων δὲ ὀλίγων. συνηρεφοῦς γὰρ ὄντος
τοῦ τόπου καὶ λοχμώδους, ῥᾳδίως διεδίδρασκον.
P. 775 ιθ΄. Βασιλεὺς δὲ ἐπεὶ τὰ κατὰ Βέῤῥοιαν ᾗ ἐβούλετο
V. 620

2. οἰκείαν M.

ac fossorum, longius ab urbe iussu imperatoris abductam, ne a barbaris spoliarentur, milites dimiserunt. Cum autem et triginta illos honorifice vellet dimittere, se retineri rogaverunt, ne apud ipsorum principem per calumniam accusarentur, seseque volentes cum urbe tradidisse viderentur. Paulo post alii quidem domos suas imperatoris permissu petiverunt: aliis fuga placuit: nonnulli Thessalonicam ducti, inde fugiebant: nec enim in carceribus concludebantur, sed in monasteriis sine vinculis custodiebantur. Talia apud Berrhoeam acciderunt, feliciore imperatore, quam sperari poterat, et tot hostium uno die victore ac domino sine sanguine. Nemo enim vel Romanus vel Triballus occubuit: unus barbarus a Romanis interemptus narrabatur. Barbari postquam ex urbe capta nihil praedarum acquisierunt, (nec enim eos imperator sinebat ingredi,) subiectam Crali regionem ut sibi incursare liceret, oraverunt. Permittente imperatore, vim maximam pecoris, homines paucos abegerunt, quod illi opacis ac nemorosis locis facile eorum manus effugerent.

19. Imperator, statu Berrhoeensium rerum ex sententia formato,

διῴκει, Ἐδέσσῃ ἐπεστράτευσε, πλείους ἄγων, ἢ Βεῤῥοίᾳ ἐπιὼν. οὐκ ὀλίγοι γὰρ πρὸς τοῖς οὖσι συνείποντο καὶ ἐκ Βεῤῥοίας. οὐ μέντοι τοσοῦτον πρὸς τὴν αἵρεσιν τῆς πόλεως ἐθάῤῥει τῇ συνούσῃ στρατιᾷ, ὅσον Ἐδεσσηνῶν τοῖς δυναιοῖς, οὓς ᾤετο αὐτίκα προσχωρήσειν καὶ τὸν ἄλλον δῆμον πείσαντας. οἱ δὲ τοὐναντίον ἅπαν ὤφθησαν, ἤπερ ᾤετο ὁ βασιλεύς. οὐ μόνον γὰρ αὐτοὶ πολέμιοι ἦσαν φανερῶς, ἀλλὰ καὶ τὸν δῆμον ἔπειθον, ἑστῶτές τε ἀπὸ τῶν τειχῶν ἀπέσκωπτον εἰς βασιλέα, πολλὴν αὐτοῦ φάσκοντες καταγινώσκειν ἀπειρίαν, εἰ Κράλη μετὰ πολλαπλασίου στρατιᾶς ἐν ἑκκαίδεκα ἔτεσι πολιορκοῦντος καὶ πλέον οὐδὲν ἀνύειν δυνηθέντος ἐκ τῶν ὅπλων, C εἰ μὴ ἑκόντες προσεχώρουν, αὐτὸς ἤλπισεν ἐν βραχεῖ περιγενήσεσθαι τοσούτους ἄγων. βασιλεὺς δὲ ἤχθετο μὲν πρὸς τὴν ἀποτυχίαν τῆς πόλεως· αὐτίκα τε ἀπεγίνωσκε τὸ τειχομαχεῖν οὐ μόνον διὰ τὴν φυσικὴν ὀχυρότητα τῆς πόλεως καὶ τὴν ἐκ τῶν τειχῶν, (ὑπὲρ ἥμισυ γὰρ ὕδασι περικλυζομένη, ἀπρόσιτός ἐστι πολεμίοις διὰ τὴν λίμνην· τὸ δὲ ἐπίλοιπον τείχεσιν ὀχυρωτάτοις καὶ πύργοις μεγάλοις, ἔστι δ' ὅπου καὶ κρημνοῖς καὶ φάραγξιν ἀβάτοις περιέχεται,) ἀλλ' ὅτι καὶ στρατιὰ οὐκ ὀλίγη ἦν ἐκ Τριβαλῶν ἐγκαθιδρυμένη πρὸς τῇ πόλει φρουρᾶς ἕνεκα, ὧν ἦρχον τέτταρες τῶν παρ' αὐτοῖς ἐπιφανῶν, οἷς συνηγωνίζοντο προθύμως καὶ τῶν πολιτῶν οἱ δυνατοί. ὅμως D

A. C. 1350 B

4. Ἐδεσηνῶν P. 8. ἀπέσκοπτον P. 18. ὀχυροτάτοις P.

Edessam maiore cum agmine, quam Berrhoeam venerat, discessit: multi siquidem etiam Berrhoea se adiunxerant. Verumtamen non tantam in praesentibus copiis, quantam in civibus Edessenis praestantioribus urbis capiendae fiduciam reponebat, quos statim ad se defecturos reliquosque secum tracturos confidebat. Ceterum res longe secus omninoque adversus opinionem evenit. Nam et ipsi palam se inimicos profitebantur, et infirmam plebem eodem incitabant, ac stantes pro muris, in imperatorem conviciis incurrebant, aientes, valde imperitum esse, quod, cum Crali longe maiore cum exercitu sedecim annis obsidenti nihilque proficienti se dedere noluerint, ipse parvo spatio cum tam pauxillo agmine eos domiturum speraret. Imperator urbe se frustrari doluit, et oppugnationi mox desperavit, non solum quia natura manuque munita esset, (plus quam dimidiata enim lacu circumdata, hostibus inaccessa est: pars reliqua muris multo firmissimis et vastis turribus, alicubi etiam praecipitiis et vallibus imperviis cingitur,) sed quia item non modica Triballorum manus eam praesidii causa insidebat, cui quatuor apud eos illustres praeerant, quos cives potentiores adiuvabant strenue. Nihilo minus noctem ibi manendum, postridieque discedendum, nec in iis, quae effici nequirent, aggrediundis tempus conterendum statuit. In quam

A. C. 1350 ἐδόκει τὴν νύκτα αὐτοῦ αὐλισαμένους, εἰς τὴν ὑστεραίαν ἀνα-
χωρεῖν, καὶ μὴ τρίβειν τὸν καιρὸν ἐπιχειροῦντας ἀδυνάτοις.
τὰ ἴσα δὲ καὶ τοῖς ἐν τέλει Ῥωμαίων ἐδόκει πᾶσι καὶ τῆς στρα-
τιᾶς τοῖς ἡγεμόσιν. ἀδύνατον γὰρ κἀκεῖνοι ὑπενόουν τειχομαχίᾳ
τὴν λῆψιν τῆς πόλεως, ὅσον ἐκ τῆς κατὰ τὰς μάχας πείρας.
νυκτὸς δὲ ἐκ τῶν ὁπλιτῶν τινες, οἳ εἵποντο βασιλεῖ ἐκ τῶν τριη-
ρέων, προσελθόντες ἐπυνθάνοντο βασιλέως, εἴ τι σκέπτοιτο περὶ
τῆς πόλεως. τοῦ βασιλέως δὲ πρὸς εἰρωνείαν ἐρομένου, τί δ'
ἂν αὐτοῖς δοκοίη βέλτιον, ἀποπειρᾶσθαι τῶν τειχῶν, ἢ ἀναχω-
ρεῖν, αὐτοὶ μάχεσθαι παρῄνουν καὶ ἐδέοντο, μὴ διὰ τὴν Ἐδεσ-
P. 776 σηνῶν ἀγνωμοσύνην ἀπολιπεῖν τὴν πόλιν ὅπλοις ἁλίσκεσθαι οὖ-
σαν δυνατήν. αὐτοί τε ἐπηγγέλλοντο προθύμως ἀγωνιεῖσθαι,
καὶ τοὺς ἄλλους τριηρίτας παρέξειν πείσαντες. αὐτίκα τε ἐφαί-
νετο καὶ βασιλεῖ βέλτιστα τοὺς ὁπλίτας παραινεῖν καὶ ἐπένευε
πρὸς τὴν τειχομαχίαν, ἐκέλευέ τε τοῖς μὲν ὁπλίταις κλίμακας
κατασκευάζειν, τοῖς δὲ ἡγεμόσι τῆς στρατιᾶς ἅμα ἕῳ ἐφοπλί-
ζειν, ὡς τειχομαχήσοντας, τὴν στρατιάν. ἐπεὶ δὲ ἡμέρα ἤδη ἦν,
διέταττε τὴν στρατιάν, καὶ τὸ μὲν βαρβαρικὸν τοῖς κατὰ τὴν
V. 621 λίμνην τείχεσιν ἐφίστη, ὅθεν ἦν ἀδύνατον ἑλεῖν, ἵν', εἰ καὶ
ἁλῶναι Ἔδεσσαν συμβαίη, μὴ ἔχοιεν οἱ βάρβαροι, ὅθεν εἰσελ-
θόντες ἀποκτείνοιέν τινας· αὐτὸς δὲ τὸ κράτιστον ἔχων τῶν
B ὁπλιτῶν μετὰ τῶν εὐπατριδῶν, πρὸς τὴν ἀκρόπολιν ἀντικα-
θίστατο, ὅθεν τείχη τε ἦσαν καρτερώτατα, καὶ Τριβαλῶν
καὶ τῶν Ἐδεσσηνῶν τὸ κράτιστον ἐφρούρει· τοὺς δὲ ἄλλους
ἡγεμόνας μετὰ τῶν ταγμάτων τοῖς λοιποῖς τείχεσιν, ὡς ἑκα-

15. τε om. P. 20. οἱ om. P.

sententiam et proceres Romani omnes et duces, ab experientia militari urbem inexpugnabilem iudicantes, iverunt. Noctu porro quidam de gravi armatura, quae cum triremibus secuta fuerat, accedunt, quid de oppido cogitet, percunçtantur. Imperator per simulationem vicissim quaerit, utrum probent, tentare moenia, an discedere. Illi ad oppugnationem hortantur et orant, ne propter Edessenorum perfidiam ab urbe armis subigenda desistat, siquidem subigi possit: suamque et aliorum e triremibus, quibus id persuasuri essent, promptam operam pollicentur. Imperator consilium illico arripiens, eos scalas comparare, duces bene mane militem in armis ad oppugnationem habere iubet. Ubi diluxit, copias digerit, et barbaros muris iuxta lacum admovet, unde urbs capi nullo modo poterat, ut, si ea forte occuparetur, non haberent, qua ingressi aliquos trucidarent; ipse vero cum robore, cataphractis scilicet ac nobilibus, ad arcem se applicuit, ubi muri validissimi et Triballorum Edessenorumque flos: alios duces cum ordinibus suis ad alias moenium partes, ut cuique sors cecidit, adhibuit, coeptaque cum die oppugna-

στος ἔτυχεν, ἀντικαθίστη, καὶ ἤρχοντο τειχομαχίας ἀρχομέ- A.C. 1350 νης εὐθὺς ἡμέρας· ἐγένετο δὲ καρτερωτάτη ἄχρι μέσης ἀνενδότως. οἵ τε γὰρ ἔνδοθεν ἀπὸ τῶν τειχῶν ἠμύνοντο καρτερῶς, καὶ οἱ ἔξωθεν τόλμης ἔργα καὶ ἀνδρίας ἐπεδείκνυντο θαυμαστὰ, μάλιστα δὲ οἱ ὁπλῖται καὶ οἱ ἀπὸ τῶν τριηρέων ψιλοὶ ἠφείδουν ἑαυτῶν. ὁ βασιλεὺς γὰρ ἐκήρυξε τῷ πρώτως ἀναθέντι τοῖς τείχεσι σημαίαν τέτταρας μνᾶς ἀριστεῖον ἔσε- C σθαι χρυσίου, τρεῖς δὲ τῷ μετ' ἐκεῖνον ἀναβάντι, καὶ τῷ τρίτῳ δύο μετ' αὐτούς. κατὰ μέσην δὲ ἡμέραν, πολλῶν ἀπὸ τῶν ἔνδοθεν ἀμυνομένων τραυματιῶν γενομένων, ἐνίων δὲ καὶ ἀποθανόντων, τάς τε κλίμακας προσήρεισαν τοῖς τείχεσιν, ἀδρανῶς ἤδη τῶν ἔνδοθεν ἀμυνομένων, καὶ τῇ πύλῃ τῆς ἀκροπόλεως πῦρ ὑφῆπτον· δαπανηθείσης δὲ, ἐκεῖθέν τε καὶ ἀπὸ τῶν κλιμάκων εἰσεχέοντο, καὶ εἴχετο ἡ πόλις τοῦτο δὴ τὸ λεγόμενον κατάκρας. καὶ ὁ βασιλεὺς, ἐπεὶ κατ' αὐτὸν ἐγένετο ἡ ἅλωσις, ἔνδον γενόμενος, οὐκ εἴα ἀτακτεῖν τοὺς στρατιώτας, πλὴν τῶν πρώτως εἰσελθόντων τινὰ μικρὰ ὠφεληθέντων· ἀπέθανε μέντοι ἐκ τῶν μετὰ βασιλέως Ῥωμαίων ἢ D βαρβάρων οὐδὲ εἷς· τραυματίαι δὲ ἐγένοντο πολλοί. μετὰ δὲ τὴν ἅλωσιν ὁ βασιλεὺς τοὺς στρατιώτας, ὅσοι ἦσαν Τριβαλλοὶ, ἀπέλυσε πρὸς τὴν οἰκίαν ἄνευ ἵππων. τέτταρας δὲ τοὺς ἡγεμόνας εἶχεν ἐν φρουρᾷ, καὶ τῶν πολιτῶν τοὺς τὰ Κράλη ᾑρημένους ἐξήλασε τῆς πόλεως· φρουράν τε πρὸς τὴν ἄκραν διακοσίους ὁπλίτας καὶ ψιλοὺς καταλιπὼν καὶ ἡγεμόνα τῇ

8. ἐκείνων P. 21. οἰκείαν M.

tio est, et certatum sine remissione usque ad meridiem acerrime. Oppidani enim de muris proeliabantur fortiter, et qui foris oppugnabant, imperterritae virtutis documenta dabant eximia; praecipue autem qui e triremibus gravis et levis armaturae erant, corporibus suis minime parcebant. Imperator etenim ei, qui primus in muro vexillum defixisset, praemium virtutis quatuor minas seu libras auri, ternas secundo, binas tertio praeconis voce promiserat. Meridie multis ex propugnatoribus vulneratis, aliquot etiam interfectis, et scalas muris affixerunt, languidius iam oppidanis resistentibus, et portae arcis ignem subiecerunt: qua consumpta, inde, et per scalas se infuderunt, obtinebaturque urbs, ut dicitur, funditus. Imperator ea capta non est passus milites turbatis ordinibus ad praedam discurrere, praeter eos, qui primi introruperant et quaesticulum sibi fecerant. Ex Romanis et imperatoriis multi vulnerati sunt: nemo tamen occubuit: milites Triballi ad unum sine equis ad suos dimissi. Quatuor praesidii duces et ex civibus Cralis fautores expulit: pro arce defendenda ducentos, partim gravis, partim levis armaturae, reliquit: urbis praefectum Georgium Lyzicum, virum bello for-

A. C. 1350 πόλει Λυζικὸν Γεώργιον, κράτιστον δοκοῦντα τὰ πολέμια καὶ
συνετὸν, εἰς Βέῤῥοιαν ἐπανῄει. προσεχώρουν δὲ καὶ ἀμαχεὶ
τὰ περὶ Ἔδεσσαν καὶ Βέῤῥοιαν φρούρια καὶ αἱ πολίχναι,
τά τε Σταρίδολα λεγόμενον καὶ ἡ Πέτρα καὶ ὁ Σωσκὸς καὶ ἡ
Δεύρη, ἔτι τε ὁ Ὀστροβὸς καὶ τὰ Νότια· καὶ ἐκ τῶν Θεττα-
λίας πολιχνίων τὸ Λυκοστόμιον λεγόμενον καὶ τὸ Καστρίον.
P. 777 ἀναπαύλης δὲ μικρᾶς τινος ὁ βασιλεὺς ἀξιώσας τὴν στρατιὰν,
ἐξεστράτευσεν αὖθις κατὰ Σερβίων. πόλις δὲ ταῦτα οὐ μικρὰ,
ἐν μεθορίοις Βοττιαίας κειμένη καὶ Θετταλίας· ἧς ἦρχε μετὰ
τῆς ἄλλης Θετταλίας Πρεάλιμπος τῶν παρὰ Κράλῃ δυνατῶν,
ὃς μάλιστα ἐδόκει συνέσει καὶ εὐτολμίᾳ καὶ τῇ περὶ τὰ πο-
λέμια τῶν ἄλλων προέχειν ἐμπειρίᾳ. κεῖται δὲ ἡ πόλις ἐκείνη
ἐπί τινος ἀνάντους τοῦ ὄρους προβολῆς εὐθὺς ἐξαρχῆς αὐτὴ
ἑαυτῆς μετεωροτέρα φαινομένη καὶ οὖσα προϊόντι. ἐπ' αὐ-
τήν τε τὴν ἀκρώρειαν καταλήγει τρισὶ διατειχίσμασι διῃρη-
μένη, ὡς δοκεῖν ἔξωθεν τρεῖς εἶναι πόλεις κειμένας ἐπαλλή-
B λους. ἑκατέρωθέν τε φάραγγας περιβέβληται βαθείας. τὸ
δ' ἀπὸ τῆς πόλεως ἄχρι τοῦ ἐπιπέδου καὶ τῶν φαράγγων,
ὅσον μάλιστα οἰκεῖσθαι ἐπιδέχεται, οἰκιῶν πεπλήρωται καὶ
ἀνθρώπων οὐ τῶν πολλῶν μόνον, ἀλλὰ καὶ τῶν ἀρίστων ἐκ
τῶν πολιτῶν καὶ ἐκ τῶν στρατιωτῶν, οἳ ἦσαν ἐγχώριοι πολ-
λοί τε καὶ ἀγαθοί· ἥ τε πόλις, ἐπαλλήλους τὰς οἰκίας ἔχουσα
διὰ τὴν ἀπὸ τοῦ τόπου θέσιν, ὀλίγας ἔχειν δοκεῖ οἰκίας πο-
λυορόφους. οἰκεῖται δὲ τὰ μὲν δύο τμήματα ὑπὸ τῶν πολι-

10. Κράλην M. 23. τουτό που P.

tissimum ac prudentem, designavit, atque ita Berrhoeam repetiit. Citra Martem quoque accesserunt circum Edessam et Berrhoeam castella et oppidula, nempe haec, Staridola, Petra, Soscus, Deura, Strobus, Notia: et ex oppidulis Thessaliae Lycostomium, Castrium. Aliquanta requie exercitui concessa, imperator rursus expeditionem contra Servios suscepit. Urbs haec non parva ad confinia Bottiaeae et Thessaliae iacet: cui et reliquae Thessaliae Prealimpus e proceribus Cralis praeerat, qui prudentia, fortitudine, exercitatione bellica supra ceteros excellere videbatur. Aedificata est super montis ardua prominentia, statimque a principio semet ipsa altior, sicut est, accedenti apparet. In ipso autem iugo montis desinit, triplici muro distincta et intersepta, ut foris existimes, tria esse oppida, aliud post aliud. Utrimque vallibus profundis circumdatur. Quod patet ab urbe spatii usque ad planitiem, et ad valles, quae habitari potest, aedibus et incolis, non plebeis modo, sed et optimatibus ac militibus domesticis multis atque strenuis plenum est. Ipsa urbs propter loci positionem sursum succedentes domos habens, paucas aedes cum multis contignationibus videtur habere. Eius

τῶν· τὸ δὲ τρίτον, ἄκρα ὄν, τῷ ἄρχοντι ἀνεῖται. ἔστι δὲ A. C. 1350 δυσπρόσοδος πανταχόθεν, καὶ οὐ πάνυ ῥᾳδία πρὸς τειχομαχίαν. ᾗ ὁ Πρεάλιμπος ἐνδιατρίβων, τάφρων μὲν οὐκ ἐδεήθη, C οὐδέ τινος πρὸς ὀχυρότητα σπουδῆς· ἤρκει γὰρ ἡ προσοῦσα φύσει· τοῖς πολίταις δὲ καὶ πάνυ ἀπιστῶν, τῶν μὲν τὴν πόλιν οἰκούντων παῖδας καὶ χρήματα καὶ γυναῖκας εἰς τὸ δεύτερον V. 622 διατείχισμα ἀνελάμβανε, τοὺς ἄνδρας δὲ πάντας ἐξήλαυνεν ἐπὶ τὸ τρίτον, καὶ ἐκέλευεν ἀμύνεσθαι βασιλέα ἐπιόντα ὑπὲρ σφῶν αὐτῶν καὶ τέκνων· αὐτὸς δὲ τὴν ἄκραν κατεῖχε, καὶ τῷ δευτέρῳ διατειχίσματι, ἐν ᾧ αἱ γυναῖκες καὶ οἱ παῖδες ἦσαν, φρουρὰν ἐπέστησε Τριβαλικήν. συνῆσαν γὰρ αὐτῷ ὑπὲρ πεντακοσίους, ὡς ἐλέγετο. τοὺς μέντοι τῶν τειχῶν οἰκοῦντας ἔξω οὔτ' αὐτοὺς εἴα εἰς τὴν πόλιν εἰσιέναι, οὔτε παῖδας εἰσεδέχετο καὶ γυναῖκας, ἀλλ' ἐκέλευε πρὸ τῶν D οἰκιῶν ἑστῶτας μάχεσθαι, δυσπροσόδου ὄντος τοῦ χωρίου καὶ χαλεπωτάτου τοῖς ἐπιοῦσιν. οὕτω μὲν οὖν ἐκεῖνος παρεσκεύαστο πρὸς τὴν πολιορκίαν. ἐλέγετο δὲ καὶ ὡς ἄκων κατασχεθείη πρὸς τῇ πόλει. μᾶλλον γὰρ ἐβούλετο φυγομαχεῖν ἐπὶ τὰς τῆς Θετταλίας πόλεις. οἱ συνόντες δὲ παρῄνουν μὴ τὴν πόλιν ἐκλιπεῖν, ὡς, εἰ ταύτης περιγένοιτο, καὶ Θετταλίαν πᾶσαν καθέξοντος βασιλέως ἀσφαλῶς. οἷς πειθόμενος ὑπέμεινε τὴν πολιορκίαν. βασιλεὺς δὲ ἐπεὶ ἐγγὺς τῆς πόλεως ἐστρατοπεδεύετο, πρῶτα μὲν ἐπὶ λεηλασίαν ἔπεμπε

9. αὐτῶν om. P.

duae partes inferiores a civibus incoluntur: tertia, quae eadem arx est, praefecto relinquitur. Est autem undequaque accessu oppugnatuque difficilis. Illic Prealimpus sedens fossis ac munitionibus non egebat, cum huic rei natura providisset. Et is civibus magnopere diffidens, eorum liberos, uxores et rem familiarem in secundum seu medium septum sevocabat, viros omnes in ultimam seu infimam urbem expellebat, mandans, uti imperatorem, si invaderet, a se liberisque suis propulsarent: ipse mediae illi urbi, in qua coniuges cum prolibus erant, praesidium e Triballis imponebat, quos supra quingentos habere dicebatur. Habitantes autem extra muros neque in urbem ingredi sinebat, neque filios eorum cum uxoribus recipiebat, sed pro aedibus stantes pugnare iubebat, loco paene inaccesso et adorientibus difficillimo. Sic igitur ille ad obsidionem excipiendam se comparabat. Rumor vagabatur, invitum in urbe retineri, malleque vitandae pugnae ad urbes Thessaliae profugere. Contra sui eum ab hac mente deducebant; quodsi ea urbe potiretur imperator, tota quoque Thessalia pro certo potiturum. Quibus obsequens, obsidionem sustinuit. Imperator postquam castra propius urbem movit, primum quidem milites, paucis secum

A. C. 1350 τὴν στρατιὰν, ὀλίγους ἐν τῷ στρατοπέδῳ κατασχών· καὶ ἔκ τε αὐτῶν Σερβίων καὶ τῶν περικειμένων κωμῶν πολλὴν λείαν ἄγοντες ἐπανῆκον Ῥωμαῖοί τε καὶ βάρβαροι ὁμοίως. ἔπειτα ἐγγύτερον γενόμενοι παρεσκευάζοντο πρὸς τὴν τειχομαχίαν.

P. 778 οἱ ἐπὶ τῆς ἔξω δὲ Σερβίων συνοικίας, τήν τε βασιλέως δεδοικότες ἔφοδον, καὶ τῶν Τριβαλῶν εἰς τὴν πόλιν οὐ προσδεχομένων, ἄλλως τε καὶ τὰ βασιλέως μᾶλλον ᾑρημένοι, κοινῇ τε πάντες ἐκ συνθήματος προσεχώρουν βασιλεῖ, καὶ τὴν στρατιὰν ἐδέχοντο καὶ ἐξένιζον ἐπὶ τῶν οἰκιῶν. οἱ δὲ ἔνδον καὶ αὐτοὶ μὲν τὰ βασιλέως μάλιστα ᾑροῦντο, ἐχομένων δὲ τῶν παίδων καὶ τῶν γυναικῶν, ἀναγκαίως προσεῖχον Τριβαλοῖς. εἰς τρίτην δὲ ἡμέραν παρασκευασάμενοι ἐτειχομάχουν, καὶ τῶν ἐγχωρίων μάλιστα ἐφελκομένων καὶ οὐκ ἀδύνατον ἐπαγγελλομένων τὴν παράληψιν. ἐπεὶ δὲ οὐ πανταχόθεν ἐξῆν προσβάλλειν ἀποκρότων ὡς ἐπιπλεῖστον καὶ σκληρῶν B τῶν τόπων ὄντων, ἔνθα μάλιστα ἐξῆν προσβαίνειν τὸ κράτιστον τῶν τοξοτῶν ἐπιστήσας ὁ βασιλεὺς, ἐκέλευε τοῖς τόξοις χρῆσθαι καὶ ἀνείργειν τοὺς ἀμυνομένους. ἄλλοι δὲ ἀσπίδας ὑποδύντες προσέβαλλόν τε τοῖς τείχεσι καὶ διώρυττον. ἔτυχε δὲ τὸ διόρυγμα ἐντὸς οἰκίας εἶναι κενῆς ἀνθρώπων· ἐπεὶ δὲ ἤδη διορώρυκτο, καὶ ἔμελλον εἰσιέναι, ἡ τῆς οἰκίας δεσπόζουσα ἐκείνης κατὰ τύχην εἰσελθοῦσα καὶ ἁλισκομένην τὴν πόλιν αἰσθομένη, βοῇ τε ἐχρῆτο καὶ συνεκάλει τοὺς ἀμυνομένους. οἱ δὲ παρῆσαν ἅμα τῷ αἰσθέσθαι, καὶ τοὺς διορύττοντας βάλλοντες, ἀφίστων τῶν τει-

remanentibus, praedatum dimisit: praedam opimam Romani barbarique similiter, et ex ipsis Serviis, et ex circumiacentibus vicis retulerunt. Postea vicinius accedentes, oppugnationi se accingebant. Qui de Serviis extra oppidum habitabant, impressionem hostium metuentes, et Triballis eos intra moenia non admittentibus, et quia insuper ab imperatore haud erant alieni, omnes consensu in eius se potestatem tradiderunt, ac milites hospitio receperunt. Qui in urbe erant, ipsi quoque partibus eiusdem vehementer adhaerebant: tamen propter uxores ac liberos, qui in medio tenebantur, necessario Triballis auscultabant. Tertio die parati muros, indigenis praecipue allicientibus et capi urbem posse affirmantibus, oppugnant. Sed quia non undecumque licebat invadere, locis ut plurimum duris et asperis, ubi maxime dabatur adscensus, florem ipsum sagittariorum constituens imperator propugnatores propellere iubet. Alii testudine facta ad muros ruunt, eosque perfodientes penetrant: contigitque, intra domum moenibus haerentem, hominibus vacuam, veniri, per quam cum se in urbem immissuri essent, domina domus casu ingressa oppidumque captum advertens, elato clamore propu-

χῶν. ἅμα δὲ καὶ ὄμβρων ῥαγδαίων ἐπενηνεγμένων ἐν αὐτῇ A.C. 1350 μάλιστα τῆς μάχης τῇ ἀκμῇ, ἥ τε ἄλλη στρατιὰ ἐπέπαυτο C καὶ ἀνεχώρει πρὸς τὸ στρατόπεδον, οὐ δυναμένη πρός τε ὄμβρους ὁμοῦ καὶ πολεμίους μάχεσθαι ἀσφαλῶς ἑστῶτας ἐπὶ τῶν τειχῶν, αὐτοὶ διολισθαίνοντες τὰ πολλὰ πρὸς τὸν πηλόν. καὶ ὁ βασιλεὺς ἐπεὶ διημάρτανε τῆς πόλεως πρὸς τὴν πρώτην ἐπιχείρησιν, τό,τε βιάζεσθαι τοῖς ὅπλοις ἀπογνοὺς, καὶ πρὸς τὸ πολιορκεῖν διὰ τοὺς ὄμβρους καὶ τὸν χειμῶνα ἀδυνάτως ἔχων, αὖθις ἀνέστρεφεν εἰς Βέῤῥοιαν· εἵποντο δὲ καὶ οἱ ἐκ τῆς ἔξω Σερβίων συνοικίας πλὴν ὀλίγων πάντες, ὅσοι μάλιστα ἐν λόγῳ ἦσαν, ἅμα γυναιξὶ καὶ τέκνοις, ὀλίγα ἔχοντες ἐκ τῆς οὐσίας, ὅσα φέρειν ἦσαν δυνατοὶ, οὐ μόνον διὰ τὴν πρὸς βασιλέα εὔνοιαν, ἀλλ' ὅτι καὶ ἐκ Τριβαλῶν οὐδὲν D διὰ τὴν ἀποστασίαν ἤλπισαν ἐπιεικὲς, εἰ γένοιντο ἐπ' αὐτοῖς. ἔτι δὲ ἐν Βεῤῥοίᾳ βασιλέως διατρίβοντος, ἐκ τῶν μάλιστα ἐπισήμων πόλεων αἳ Ῥωμαίων μὲν ἦσαν ὑπήκοοι τὸ ἀρχαῖον, χρόνον δὲ ἐδούλευσαν οὐκ ὀλίγον Τριβαλοῖς, ἧκον δια- V. 623 λεγόμενοι κρύφα καὶ δεόμενοι ἥκειν παρ' αὐτοὺς, ὡς εἰσδεξόμενοι ἐκβαλόντες Τριβαλούς. οὐ μόνον δὲ ἐκ τῶν ἄλλων, ἀλλὰ καὶ ἐξ αὐτῆς Σκοπιᾶς, ἣ δοκεῖ βασίλεια Κράλη εἶναι ἀπὸ τοῦ βασιλέως τοῦ πρώτου τῶν Παλαιολόγων Μιχαὴλ τῆς Ῥωμαίων ἀρχῆς ἐκτετμημένη, πρέσβεις ἧκον ἀναφανδὸν ἀπὸ τῆς πόλεως κοινῇ βασιλέα καλοῦντες ἥκειν ἐπ' αὐτοὺς, ὡς

20. βασιλεῖ M. mg. 21. τῶν βασ. P. et M.

gnantes convocat. Illi extemplo accurrunt, fodientesque iaculis a muro depellunt. Cumque in ipso potissimum fervore certaminis imber effusius caderet, manus illa a pugna destitit atque in castra recessit, quando simul adversus imbrem et hostem dimicare non poterat tuto supra muros stantem, cum ipsi fallentibus vestigiis toties in lutum prolaberentur. Imperator quoque primum impetum fuisse irritum cernens, et armis cogi posse desperans, et propter imbrem atque hiemem continuare obsidionem non valens, Berrhoeam rediit: quem suburbani Serviorum praecipui omnes praeter paucos cum liberis et uxoribus, de facultatibus suis non plus habentes, quam asportare secum poterant, secuti sunt. Neque id faciebant ob amorem erga imperatorem tantummodo, sed quod etiam a Triballis, si eis amplius subessent, defectionis suae praemia parum bona exspectabant. Adhuc agente apud Berrhoeam imperatore, ex nobilissimis urbibus, quae antiquitus Romanis parebant iamque diu Triballis servierant, veniebant qui clam colloquerentur rogarentque, ad se veniret, eiectis Triballis illum suscepturos. Nec ex aliis dumtaxat urbibus, verum etiam ex ipsa Scopia, quae Cralis regia putatur, quam Michaël, ex Palaeologis primus imperator, a Romano imperio separavit, legati palam urbis nomine venerunt, cum ad se

A. C. 1350 παραδώσοντες τὴν πόλιν. ὁ Κράλης γὰρ ἐπὶ Παίονας ἐστρα-
P. 779 τευμένος τότε, ὡς ἐπύθετο βασιλέα ἐπιόντα, καίτοι στρατιὰν πλείστην περὶ αὐτὸν ἠθροισμένην ἔχων, ἀντικαθίστασθαι πρὸς βασιλέα οὐκ ἐθάῤῥει, ἀλλὰ πάντα προέμενος ἐβούλετο φυγομαχεῖν. ὅθεν καὶ τῶν Σκοπιᾶς πολιτῶν πρεσβευσαμένων πρὸς αὐτὸν καὶ τὴν ἔφοδον ἀπαγγελλόντων βασιλέως καὶ δεομένων βοηθεῖν, πρῶτα μὲν ἐλπίδας παρείχετο ὡς βοηθήσων, ἂν ἐπίωσιν αὐτοῖς Ῥωμαῖοι· ὡς δὲ μᾶλλον προσέπιπτον αἱ φῆμαι φοβερώτεραι τῶν ἐπιόντων Ῥωμαίων
B καὶ βαρβάρων, φανερῶς ἀπεῖπε τὴν ἐπικουρίαν τοῖς ἐκ τῆς Σκοπιᾶς· ἐκέλευέ τε σώζειν ἑαυτοὺς ὡς ἂν οἷοίτε ὦσιν. αὐτὸν γὰρ μὴ δύνασθαι τὸ νῦν ἔχον ἥκειν πρὸς αὐτούς. οἱ βουλευσάμενοι κοινῇ καὶ πολλῆς ἀνοίας εἶναι κρίναντες ἀντικαθίστασθαι οἷς ὁ σφῶν δυνάστης τοσαύτην ἔχων δύναμιν οὐκ ἐτόλμα, ἥκουσι πρὸς βασιλέα καὶ τὴν πόλιν παρεδίδουν πρὶν διαφθαρῆναι. ὕστερον δὲ ἐπεὶ οἱ φόβοι διελύοντο, ἐπὶ δίκην καταστάντες ὑπὸ Κράλη καὶ διωκόμενοι ἀποστασίας, ῥᾷον ἀπελύσαντο τὰ ἐγκλήματα, τοῦ παρ' αὐτοῖς ἀρχιεπισκόπου διαιτῶντος· ὃς ἐπεψηφίζετο αὐτοὺς μηδὲν ἠδικηκέναι, εἰ, ἐπικουρεῖν μὴ βουλομένου Κράλη, ἀλλὰ καὶ παραινοῦντος
C σώζειν ἑαυτοὺς, συνετά τε ἅμα καὶ σωτήρια σφίσιν ἐβουλεύσαντο, δουλεύειν τοῖς δυνατωτέροις ψηφισάμενοι. οὕτω πᾶσαι πόλεις κατεσείσθησαν τῷ φόβῳ τότε καὶ προσχωρεῖν

in deditionem accipiendos invitantes. Nam Crales, qui tunc in Paeonas moverat, ut imperatorem adventasse audivit, quamquam haberet copias ingentes, non se illi audebat opponere, sed omnia ducens in minimis conflictum volebat declinare. Unde etiam, cum Scopiae cives, legatione missa, Imperatorem infestis signis ad se tendere nuntiassent auxiliumque poposcissent, primum quidem spem faciebat, si Romani ipsos adorirentur. Ut autem fama de adventantibus Romanis barbarisque increbuit terroremque duplicavit, manifeste opem Scopiensibus negavit hortans, ut semet ipsos pro viribus defensarent: se in praesentia ad eos venire non posse. Illi communi consilio magnae dementiae tribuendum statuentes, illis resistere, quibuscum eorum princeps cum tanto exercitu bellare non auderet, ad imperatorem adeunt, urbisque, antequam duriora experiantur, deditionem faciunt. Postmodum, sedato timore, in iudicium a Crale vocati et defectionis accusati, facile crimen refutarunt, archiepiscopo eorum cognoscente, qui eos nihil adversus aequitatem patravisse pronuntiavit, si, Crale nolente succurrere, sed hortante, ut se ipsos tuerentur, illi prudenter sibi ac salutariter consulentes, potentioribus parere constituerint. Adeo tunc omnes urbes percul-

ἐβούλοντο ἑκοῦσαι βασιλεῖ, πρὶν ἀναρπασθῆναι. οὐχ αἱ πό- A.C. 1350 λεις δὲ μόνον, ἀλλὰ καὶ τῶν Τριβαλῶν οἱ δυνατώτατοι, καὶ πρότερον εὔνως περὶ βασιλέα διακείμενοι, καὶ μᾶλλον ὑπ' ἐκείνου ᾑρημένοι βασιλεύεσθαι, τότε καὶ μᾶλλον ὑπὸ δέους κρύφα διελέγοντο καὶ παρώξυνον ἥκειν ἐπὶ σφᾶς, ὡς πάντων τὰ δυνατὰ βουλησομένων συνεργεῖν. ἧκον δὲ καὶ αὐτόμολοι δύο ἐξ αὐτῶν· ὧν ἅτερος τῶν μάλιστα ἦν ἐπιφανῶν, κατὰ γένος προσήκων Κράλῃ, Χλάπαινος ὠνομασμένος, στρατιάν D τε ἔχων ὑφ' ἑαυτὸν οὐκ εὐκαταφρόνητον καὶ πολλὴν περιουσίαν· ὁ λοιπὸς δὲ οὐ τῶν πάνυ περιδόξων ἦν, πλὴν κἀκεῖνος ἀρχάς τε πόλεων ἐγκεχειρισμένος καὶ στρατοπέδων ἡγεμονίας, ὄνομα Τολίσθλαβος. καὶ ἄμφω δὲ ἐκ τῶν ἄλλων δυνατῶν λόγους ἐκόμιζον πρὸς βασιλέα, ὡς, ἢν ἐπίῃ Κράλῃ, καὶ αὐτοὶ συμπολεμήσουσιν ἀποστάντες. βασιλεῖ δὲ ἀξιόμαχον στρατιὰν οὐκ ἔχοντι οὐκ ἐδόκει δεῖν ταῖς ἀποστασίαις θαῤῥοῦντα μόνον, ἑαυτὸν εἰς τοὺς κινδύνους εἰσωθεῖν, ἀλλὰ παρασκευασάμενον ἐπιστρατεύειν ἐπικαίρως. τότε δὲ ἄρχοντα ἐν Βεῤῥοίᾳ Διπλοβατάτζην τὸν πρωτοβεστιαρίτην καταλιπὼν, πραγμάτων τε δυσκολίαις καὶ μεταβολαῖς εἰδότα χρῆσθαι καὶ πρὸς μάχας τολμητὴν, ταῖς τε κατὰ Θετταλίαν P. 780 προσχωρησάσαις Νικηφόρον ἐπιστήσας τὸν Σαραντηνὸν, ἐπανέζευξεν εἰς Θεσσαλονίκην.

κ'. Μετὰ μικρὸν δὲ τήν τε ἱππικὴν καὶ τὴν πεζὴν V. 624

3. εὔνους P. 19. δυσκολίας P.

sae, ultro, priusquam diriperentur, imperatoris esse cupiebant. Nec urbes solum, sed etiam Triballorum potentissimi, qui antea imperatori fuissent amici et ei subesse maluissent, tunc etiam magis volebant: sed ob metum secreto cum eo agebant, et ad se illum allectabant, omnes quantam possent opem eidem allaturi. Venerunt et duo ex ipsis transfugae, quorum alter illustrissimus e Cralis familia, Chlapaenus nomine, manum sub se non contemnendam habebat et divitiis pollebat: alter non valde clarus, tamen et ille urbium praefecturas gesserat exercitusque ductaverat, Tolisthlabus appellatus. Atque hi ceterorum dynastarum sententiam decretumque afferebant, si Cralem invaderet, armis suppetias laturos. Imperatori, pares ad confligendum copias non habenti, visum, non oportere fretum defectionibus tantummodo periculum subire, sed instructum pro opportunitate in hostem ire. Ac tunc quidem praefectum Berrhoeae Diplobatatzen protovestiarium, ad rerum difficultates et conversiones scientem accommodare consilia et ad pugnam interritum, relinquens, iis autem, qui e Thracia accesserant, Nicephorum Tarentinum praeficiens, Thessalonicam regressus est.

20. Paulo post cum equitatu peditatuque et genere expeditionis

A. C. 1350 δύναμιν ἀναλαβὼν, ἔχων καὶ βασιλέα τὸν γαμβρὸν συ-
B στρατευόμενον, ἐπεστράτευσε Γυναικοκάστρῳ, ὃ φρούριόν
ἐστι καρτερώτατον ὑπὸ βασιλέως Ἀνδρονίκου τοῦ νέου
οἰκοδομηθὲν αὐταῖς κρηπῖσιν, ἡμέρας ὁδοῦ μῆκος ἔλατ-
τον ἀφεστηκὸς Θεσσαλονίκης. εἴχετο δὲ ὑπὸ Τριβαλῶν μετὰ
τῶν ἄλλων αὐτὸ ἑλόντων. οὐκ ὀλίγα τε ἔβλαπτε Θεσσαλο-
νίκην, στρατιὰν ἔκ τε Ῥωμαίων τῶν προσκεχωρηκότων καὶ
Τριβαλῶν ἔχον ἐγκαθιδρυμένην. Βέλκος δὲ ὁ τοῦ φρου-
ρίου ἄρχων, ὡς ἐπύθετο βασιλέα ἐπιόντα, τοῖς ὅπλοις δεί-
C σας μὴ ἁλῷ, πέμψας ἐπηγγέλλετο προσχωρεῖν ἑκών. πίστεως
δὲ ἕνεκα καὶ τὰ ἐν κόλποις ἅγια παρείχετο, ὅρκους μονον-
οὐ ὑπὲρ τοῦ τὸ φρούριον ἐγχειρίσειν παρεχόμενος. βασι-
λεῖ τε ἐδόκει βέλτιστον τὸ φρούριον ἔχειν ἄνευ φόνων καὶ
κινδύνων· ἐκέλευέ τε Βέλκον ἥκειν παρ' αὐτόν. ἐπεὶ δὲ
ἧκε, πρὸς τὸ στρατόπεδον πρὸς βασιλέα, ὅρκους μὲν παρεί-
χετο ἐπὶ τῷ βασιλεῖ τε αὐτὸν προσχωρεῖν καὶ τὸ φρούριον
παραδιδόναι· ἐδεῖτο δὲ μὴ τὸ νῦν ἔχον ἢ αὐτὸν εἰσιέναι,
ἢ φρουρὰν εἰσάγειν· τήν τε γὰρ οὐσίαν αὐτῷ πλείστην οὖ-
σαν καὶ διεσκεδασμένην ἀπολεῖσθαι ὑπὸ Τριβαλῶν διαρπα-
σθεῖσαν, καὶ τοὺς συγγενεῖς αὐτῷ καὶ οἰκείους Κράλην ἄρ-
D δην διαφθερεῖν διὰ τὴν πρὸς αὐτὸν ἀπέχθειαν· ἀλλὰ περι-
μείναντα ἡμέρας πεντεκαίδεκα, ἄχρις ἂν οἰκείους τε καὶ
χρήματα μεταπέμψηται, οὕτω τὸ φρούριον παραλαμβάνειν.
τούτοις μὲν οὖν ὁ βασιλεὺς πεισθεὶς, καὶ ὅρκους ἐπὶ τοῖς εἰρη-
μένοις ἐκείνου παρασχομένου, ἀνέστρεφεν εἰς Θεσσαλονίκην.

socio Gynaecocastrum abit. Castellum est munitissimum, ab Andronico iuniore imperatore ab ipsis fundamentis exaedificatum, unius paene diei itinere Thessalonica distans. Id cum aliis captum a Triballis tenebatur, et ex iis atque e Romanis dedititiis praesidiarios habebat. Bessus praefectus, adventu imperatoris cognito, timens, ne vi caperetur, per nuntium sponte ad eum se transiturum promisit. Fidei autem faciendae et quas de collo suspensas gestabat sacras reliquias adiecit: et tantum non iuravit, castellum sese traditurum. Imperator optimum fore ratus, nullis dimicationibus ac caedibus id recipere, Bessum accersit. Ut in castra venit, sacramento quidem confirmat, ad eum se deficere castellumque dedere: precatur tamen, ne in praesens aut ipse ingrediatur, aut praesidium inducat: suas enim facultates et maximas et locis disiunctas Triballis diripientibus amissurum: et Cralem odio incensum, cognatos atque domesticos suos funditus perditurum: sed exspectato die quinto decimo, donec propinquos et opes suas collegerit, sic demum illud occupet. His imperator, iuramento praesertim accedente, persuasus,

Βέλκος δὲ τὰ ὀμωμοσμένα δῆθεν ἐκπληρῶν, τούς τε οἰκείους ἐκ A. C. 1350
Τριβαλῶν μετεπέμπετο καὶ βοσκήματα καὶ τὴν ἄλλην περιου-
σίαν, ἔπεμπέ τε καὶ εἰς Θεσσαλονίκην οὐκ ὀλίγα, δεῖγμα τῆς
πρὸς βασιλέα εὐνοίας καὶ τῆς φυλακῆς τῶν συνθηκῶν. Κράλης
δὲ ἤδη πεπυσμένος, ὡς ἡ μὲν ἐκ τῆς ἠπείρου στρατιὰ καὶ
Ῥωμαίων καὶ βαρβάρων τοσαύτη οὖσα ἀναστρέψειε, βασι-
λεὺς δὲ ταῖς τριήρεσι μόναις καὶ βαρβάροις πεζοῖς ὀλίγοις
ἀφιγμένος εἰς Θεσσαλονίκην Βέῤῥοιάν τε εἷλε καὶ Ἔδεσσαν P. 781
καὶ ἄλλας πολίχνας οὐκ ὀλίγας, ἀνεθάρσησέ τε καὶ στρα-
τιὰν ἀναλαβὼν οὐ πολλὴν μὲν, πολὺ δὲ ὅμως ὑπερέχουσαν
τῆς βασιλέως, ἤλαυνε σπουδῇ ἐπὶ Θεσσαλονίκην. καὶ Βέλ-
κος μὲν αὐτίκα ὑπ' ἐκεῖνον ἦν, καὶ συνεστρατεύετο μετὰ
τῶν ὑπ' αὐτὸν, τῶν πρὸς βασιλέα συνθηκῶν καὶ ὅρκων
ἀμνημονήσας. Κράλης δὲ ἐγγὺς γενόμενος Θεσσαλονίκης,
πρεσβείαν ἔπεμπε πρὸς βασιλέα καὶ πρῶτα μὲν ὠνείδιζε
τὴν εἰς αὐτὸν ἀγνωμοσύνην, ὅτι ἀμνημονήσας ὧν εὖ ὑπ'
αὐτοῦ πρότερον πεπόνθει, καιροῦ τυχὼν αὐτοῦ ταῖς πόλεσιν
ἐπιστρατεύσειε, καὶ τοὺς φρουροῦντας κατασχοίη ἐκβαλὼν,
καὶ χρημάτων ἀποστερήσειεν οὐκ ὀλίγων· ἃ οὐκ ἐχρῆν ποι- B
εῖν, ἀλλὰ τῶν εἰς αὐτὸν γεγενημένων ἀπομνημονεύοντα, τὴν
φιλίαν διασώζειν πρὸς αὐτόν. ἐπεὶ δὲ ἃ μὴ ἔδει εἴργαστο,
κατηγορεῖν μὲν αὐτὸν, οἴεσθαι δὲ καὶ πάντα ὁντινοῦν. ἀνα-
λύεσθαι δὲ ὄντων ἀδυνάτων τῶν γεγενημένων, βούλεσθαι μά- V. 625
λιστα αὐτὸν, εἴγε καὶ αὐτῷ δοκοίη, ἀλλήλοις συνελθεῖν, καὶ
διαλεχθέντας περὶ τῶν διαφορῶν, συμβάσεις θέσθαι καὶ τὸν

16. πρὸς M. mg. 23. ἀδυνάτων om. P.

Thessalonicam repetit. Bessus iurata exsequens et propinquos ac pecora resque alias e Triballis cogens, Thessalonicam non pauca, suae in imperatorem propensionis pactique servati indicium, mittit. Crales ut accepit, tantum e Romanis atque barbaris collectum exercitum e continente reversum, et imperatorem triremibus solis, cum barbaris peditibus non ita multis Thessalonicam profectum, Berrhoeamque et Edessam et alia oppidula complura cepisse, sese confirmans, cum copiis non magnis, imperatoriis tamen longe maioribus, Thessalonicam contendit. Et Bessus quidem cum militibus suis, pactorum et iuramenti oblitus, statim illi se iungit. Crales Thessalonicae appropinquans, legationem ad imperatorem mittit, eique ingratum animum exprobrat, quod acceptorum beneficiorum immemor, tempore adiuvante, urbes suas oppugnarit, eiectisque praesidiis occuparit, et facultatibus non modicis spoliarit, secus quam debuerit. Debuisse autem recordantem sua merita sacrosanctam servare amicitiam. Et quia contra fas egerit, se illum reprehendere putareque reprehensum iri ab omnibus. Verum quia praeterita corrigi nequeant, velle se, si

A. C. 1350 *πόλεμον καταθέσθαι, ἀνανεωσαμένους τὰς σπονδὰς καὶ τὴν*
εἰρήνην. τοιαῦτα μὲν ἐπρέσβευεν ὁ Κράλης, βασιλεῖ τε ἐδό-
κει βέλτιστα, καὶ συνέθεντο ἡμέραν ῥητὴν, ἐν ᾗ ἔδει γενο-
μένους ἐν ταὐτῷ λύειν τὰς διαφορὰς, σπονδὰς θεμένους. ἐπι-
στάσης τε τῆς προθεσμίας, οἵ τε βασιλεῖς ἀμφότεροι ἐξῄε-
C *σαν ὡπλισμένοι καὶ οἱ συνόντες. Κράλης τε ὁμοίως μετὰ*
τῶν περὶ αὐτὸν ὡπλισμένοι ὄντες ἧκον ἐγγὺς Θεσσαλονίκης
καὶ συνεγένετο τοῖς βασιλεῦσι. μετὰ δὲ τὴν προσαγόρευσιν
ὁ Κράλης πρῶτος ἥπτετο πρὸς βασιλέα λόγου, „Ἀδικεῖς,"
εἰπὼν, „ὦ βασιλεῦ, πολέμου ἄρχων. ἐγὼ δὲ ᾤμην εἶναι μηδὲν
τῶν ὄντων, ὃ σε πρὸς ἐμὲ πεῖσαι δυνήσεται ἀγνωμονεῖν. οἶ-
σθα γὰρ αὐτὸς τῶν ἄλλων μᾶλλον, ὡς πολεμηθεὶς ὑπὸ τῶν
ὁμοφύλων καὶ τῆς Ῥωμαίων γῆς ἀπελαθεὶς, ἀδίκως μὲν,
(οὐ γὰρ ἂν ἀρνηθείην οὐδ' αὐτὸς,) ὅμως δ' οὖν ἀπελαθεὶς,
ἧκες παρ' ἡμᾶς, οὔτ' ἀμοιβὰς σοι προτέρων εὐεργεσιῶν
D *ὀφείλοντας, οὔτ' ἀγανακτοῦντας ὑπὲρ σοῦ ἀδικουμένου, ἀλλ'*
εἰ δεῖ τἀληθὲς εἰπεῖν, καὶ τὴν ὑμῶν πρὸς ἀλλήλους διαφο-
ρὰν ἐν εὐτυχίας μέρει λογιζομένους τῷ τὰ ἴδια εὖ τίθεσθαι.
ἐγὼ δὲ, καίτοι τῶν σοὶ πολεμούντων πολλὰς πρεσβείας πε-
ποιημένων καὶ χρήματα παρεχομένων καὶ πόλεις πολλὰς
καὶ τῆς Ῥωμαίων ἡγεμονίας ἀπόμοιραν προϊεμένων οὐκ ὀλί-
γην, καὶ φίλον ἔχειν καὶ σύμμαχον ὑπισχνουμένων, καὶ
μίαν τούτων ἁπάντων χάριν ἀπαιτούντων τὸ σὲ δεσμώτην
παρασχεῖν, ἢ αὐτὸν κατέχειν συλλαβόντα, οὐκ ἠθέλησα αὐ-

idem ipsi placeat, cum eo congredi, disceptatisque controversiis pacisci et bello valere iusso, foedus pacis renovare. Haec in legatione Crales, quae imperatori gratissima accidere: praefixusque amborum voluntate dies, quo convenirent ac dissidium icto foedere componerent. Iamque dies praefinitus ad colloquium aderat, cum ambo imperatores et comites armati exeunt. Crales similiter cum stipatoribus suis armatus ad urbem Thessalonicam et imperatores accedit. Ubi inter se consalutarunt, Crales prior fari incipit: „Iniquus es in me, imperator, cum bellum mihi facis. Ego vero sic arbitrabar, rem esse nullam, quae alienum et ingratum te reddere posset. Scis enim, ut nemo melius, quomodo hostiliter ab homophylis oppugnatus et Romanorum finibus exactus, (iniuste quidem, quis negat? sed tamen exactus,) ad nos confugeris, qui neque beneficium aliquod tibi debebamus, nec tua iniuria dolebamus. Sed si vera dicenda sunt, discordias in loco beatitudinis numerabamus, cum inde res nostrae bene haberent. At ego, quamquam hostes tui crebro legationes mitterent, pecuniam et urbem non unam offerrent, imperiique Romani partem non minimam parvipenderent, si me amicum atque socium nanciscerentur, et unam solam pro his omnibus gra-

τὸς, ἀλλὰ καὶ χρημάτων πολλῶν καὶ πόλεων τοσούτων καὶ A.C. 1350
χώρας πολλῆς καὶ ἀγαθῆς τὴν σὴν φιλίαν προειλόμην, καὶ οὐ μόνον οὐ προδέδωκα τοῖς πολεμίοις, καίτοι ῥᾷστά γε δυνάμενος, (οὐ γὰρ οὐδ' αὐτὸς ἀγνοεῖς, ἐν ὅτοις ἦσθα τότε,) ἀλλὰ καὶ τό γε εἰς ἐμὲ ἧκον, καὶ δὶς καὶ τρὶς ἐπὶ συμμα- P. 782
χίᾳ παρεσχόμην στρατιάν. ὧν ἐνόμιζον ἁπάντων μεμνημένον, οὐδέποτε βουλήσεσθαι, κἂν δυνήσῃ τὰ μεγάλα, τὰς ὑπ' ἐμὲ τελούσας πόλεις κακουργεῖν. σὺ δ', ὡς ἔοικεν, ἐκείνων ἁπάντων ἐπιλελησμένος, ἥκεις νῦν βαρβάρους ἄγων, ὡς ἐπὶ πολέμιον καὶ τὰ μέγιστα ἠδικηκότα, καὶ πόλεις τὰς μὲν τοῖς ὅπλοις εἷλες, ἑτέρας δὲ κλοπῇ, οὐκ ὀλίγας δὲ καὶ ὑπὸ δέους προσχωρησάσας. καὶ τοὺς ἐνοικοῦντας στρατιώτας καὶ τῶν ἐπιφανῶν πολλοὺς τοὺς μὲν ἀπέκτεινας κατὰ τὰς μάχας, τοὺς δὲ ἄλλους ἀνδραποδίσας, ἐν εὐεργεσίας μέρει τὴν ἐλευθερίαν τῶν σωμάτων, ὅτε σοι βέλτιον ἐφαίνετο, παρείχου, B
οὐ μᾶλλον ἥδεσθαι ποιῶν τυγχάνοντας ἐλευθερίας, ἢ ὅσον ἐξανδραποδιζόμενος ἐλύπεις· χρημάτων τε ἀπεστέρησας καὶ βοσκημάτων, οὐδὲ ἀριθμητῶν. ἃ πάντα ἄχθεσθαι ποιεῖ καὶ πολλήν σου κατηγορεῖν ἀγνωμοσύνην. ὅμως μέντοι, καίτοι τοσαῦτα ὑπὸ σοῦ ἠδικημένος, οὐ πολέμιος, ἀλλὰ φίλος καὶ σύμμαχος, ὥσπερ καὶ πρότερον, αἱροῦμαι εἶναι σός. καὶ πᾶσαν ἀποθέμενον παραινῶ μικροψυχίαν, τὴν προτέραν φιλίαν

4. ὅσοις V. 7. δυνήσηται μεγάλα P.

tiam peterent, ut te vinctum illis traderem, aut ipse constrictum tenerem, nihilo minus immani pecuniae et tot oppidis tamque amplae et cultae regioni necessitudinem tuam anteposui: nec tantum, quod facillime poteram, hostibus non prodidi, (haud enim tibi memoria excidit ille status tuus,) sed etiam, quod in me fuit, bis terque auxilia mea tibi adiunxi. Quorum omnium existimabam te perpetuo memorem, nunquam eo progressurum, ut, quamvis potens, urbes meas affligeres. Tu autem, quod apparet, eorum omnium posita memoria, nunc barbaros in me, ut in hostem iniuriosissimum, ducis. Et urbium quidem alias armis cepisti, alias dolo et insidiis, aliquantas etiam metu subegisti. Militum vero praesidiariorum, qui in quaque reperti sunt, atque nobilium multorum, partim pugna occidisti, partim in servitutem redegisti, et libertatem eis corporum, quando tibi libuit, praebuisti, non magis manumissione eos exhilarans, quam, dum servos faceres, contristaveras: quod non ita ipsis iucunda esset post servitutem libertas, quam tristis fuerat libertati imposita servitus. Pecuniam quoque infinitam et pecora innumerabilia abstulisti. Quae omnia me excruciant, faciuntque, ut vehementer ingratum te et iniquum iudicem. Verum enim vero, tametsi abs te laesus toties, non hostis tibi, sed amicus et socius esse

A. C. 1350 καὶ τὰς σπονδὰς ἀνανεοῦσθαι, ἔχοντας ἃ ἔχομεν ἑκάτερον. εἰ
δέ σε λυπεῖ τὸ καὶ αὐτὸν ἐκ τῆς Ῥωμαίων ἡγεμονίας μοῖράν
τινα παρῃρημένον ἔχειν, ἀλλ' ἐκεῖνο ἐννοεῖν χρὴ, ὡς αὐτὸς
C ἔχεις πολλαπλάσιον λαβὼν ἐκ τῆς αὐτῆς ἑτέρῳ προσηκούσης.
οἷς προσῆκον ἀγαπᾷν ἑκάτερον, καὶ σπονδὰς θεμένους εἰρήνην
ἄγειν. εἰ δὲ μὴ ταῦτα φίλα σοι δοκεῖ, ὅρα μή σοι πρὸς τῷ
V. 626 μηδὲν πλέον ἠνυκέναι καὶ ἀπληστίας καὶ ἀχαριστίας πρὸς τοὺς
φίλους καὶ τοὺς εὖ πεποιηκότας ἔγκλημα προσέσται." τοιαῦτα
μὲν ὁ Κράλης διειλέχθη πρὸς βασιλέα, πολλῶν παρόντων. βασιλεὺς δὲ ἐπισχὼν μικρὸν, τοιαύτην πρὸς Κράλην ἐποιήσατο
ἀπολογίαν· „οὐδὲν οὕτως οἴομαι λυμαίνεσθαι τῷ βίῳ τῶν
ἀνθρώπων ἐξαρχῆς, οὐδὲ μᾶλλον αἴτιον τῶν μεγάλων δια-
D φορῶν καὶ τῶν πολέμων γεγενῆσθαι, ἢ τὸ μὴ δικαίως ἕκαστον ἑαυτῷ τε καὶ τοῖς ἄλλοις διαιτᾷν, ἀλλ' ἑαυτῷ μὲν καὶ τὰ ἀτοπώτατα πολλάκις συγχωρεῖν, τοὺς δ' ἄλλους καὶ ὑπὲρ τῶν ἐλαχίστων μεγίστας ἀπαιτεῖν εὐθύνας. καὶ τοῦτό ἐστιν, ὃ πολλῆς ἐμπέπληκε τὸν βίον ταραχῆς, καὶ οὐ πόλεσι μόνον καὶ οἰκίαις μεγάλας ἐνειργάσατο συμφορὰς, ἀλλὰ καὶ ὅλας διέφθειρεν ἡγεμονίας, ἢ αὐτούς τινας ὑπ' ἀπληστίας ἑτέρους διαφθείραντας πολέμων ἄρχοντας ἀδίκων, ἢ ὑπὸ τῶν ἀδικουμένων διαφθαρέντας, δικαίως καὶ καλῶς ἀμυνομένων. ὅπερ οἴομαι καὶ σοὶ συμβεβηκέναι νῦν. εἰ γὰρ δικαίως καὶ καλῶς

volo, perinde ut antehac, et hortor, ut, abiectis istis cogitationibus humilibus, priorem amicitiam et foedus mecum renoves, et uterque quae habet retineat. Quodsi aegre tibi est, me quoque portionem aliquam de Romano imperio ablatam possidere: at illud cogites velim, te multo ampliorem habere, detractam ex ea, quae alterius erat propria: quibus utrumque contentum esse et, facto foedere, pacem agitare par est. Sin ista conditio te non delectat, vide, ne, praeterquam quod nihil proficis, etiam inexplebilis avaritiae et ingrati animi erga amicos ac bene meritos crimen incurras." Haec Crales ad imperatorem, multis praesentibus. Imperator aliquamdiu silens, in haec verba responsum reddidit: „Nihil aeque hominum vitae iam inde ab initio obesse opinor, neque aliud magna dissidia et bella gravia peperisse, quam quod unusquisque sibi et aliis haud iustus est arbiter, sed sibi quidem vel turpissima frequenter ignoscit, ab aliis autem etiam pro minutissimis delictis poenas poscit acerbissimas. Atque hoc est, quod vitam humanam tantopere perturbavit atque permiscuit, nec urbibus tantum ac domibus ingentia incommoda intulit, sed et tota imperia pessumdedit, cum aut quidam insaturabili cupiditate bello per nefas illato alios evertunt, aut ab aliis, quibus iniqui fuerant, iuste ac honeste se ulciscentibus evertuntur: quod et tibi modo contigisse arbitror. Si enim aequum et bonum

ἐμοί τε καὶ σαυτῷ διῄτεις, οὐκ ἂν σὺ μὲν ἐκσπόνδως καὶ A.C. 1350 παρὰ τοὺς ὅρκους τοσαύτας ἔχων Ῥωμαίων πόλεις, καινὸν P. 783 ᾤου μηδὲν ποιεῖν, ἐμὲ δ' ὅτι ἐκ πολλῶν ἀπέλαβον ὀλίγα, ἐδίωκες ἀγνωμοσύνης καὶ ἀχαριστίας καὶ τὸ τούτων ἔτι θαυμασιώτερον, ἀπληστίας. ὡς μὲν οὖν ὑπὸ τῶν ὁμοφύλων πολεμηθεὶς ἀδίκως καὶ τῆς Ῥωμαίων γῆς ἀπελαθεὶς, πρὸς σὲ ἀφῖγμαι, πολλοὺς ἄγων καὶ τῶν οἰκείων καὶ τῶν φίλων καὶ χρήματα οὐκ ὀλίγα, καὶ ὡς αὐτὸς οὔτε χρημάτων ἐπιθυμίᾳ τοσούτων ὄντων τῶν τε παρ' ἐμοὶ καὶ τῶν ὑπὸ τῶν πολεμίων παρεχομένων, οὔτε πόλεων καὶ χώρας τοσαύτης προϊεμένων ἐπὶ τῷ κακῶς ποιεῖν ἐμὲ, οὐδενὸς ἡττήθης, ἀλλὰ B πάντων τὴν εἰς ἐμὲ φιλίαν προὔθηκας, οὐκ ἂν ἀρνηθείην οὐδ' αὐτός. ἀδικοίην γὰρ ἂν τὰ μέγιστα σέ τε ὁμοίως καὶ τοὺς ἄλλους, οἷς ἐξῆν τοιούτοις παραδείγμασι καλοῖς χρωμένοις ἐπὶ τὸ τὰ βελτίω πράττειν προθυμεῖσθαι. τὸ γὰρ μηδὲν, ὥσπερ ἔφης καὶ αὐτὸς, πρὸς ἀντίδοσιν εὐποιίας προοφείλοντα καὶ κατὰ συμφορὰν εἰσδεδεγμένον, ἔπειτα μήτ' οἴκοθεν ὁρμηθῆναι πρὸς πλεονεξίαν, μήθ' ὑπ' ἄλλων ἐναγόμενον καὶ καταναγκαζόμενον, μήτ' ἄδικον, μήτ' ἀγεννὲς βουλεύσασθαι περὶ ἐμὲ, ἀλλὰ πάντων ἐκείνων τῶν δοκούντων πρὸς τὴν ἀρχὴν λυσιτελεῖν τὴν τοῦ καλοῦ καὶ δικαίου αἵρεσιν προῖκα προτιμῆσαι, οὐ μεγαλοψυχίαν μόνον καὶ φιλοτιμίαν, ἀλλὰ C καὶ δικαιοσύνην καὶ εὐβουλίαν σοὶ συμμαρτυρεῖ, καὶ τούτων

23. σοὶ om. P.

te in nostra amborum causa iudicem praestitisses, non tu contra foedus et iuramenta tot oppidis Romanorum incubans, nihil te novum admittere censuisses: nec me, qui ex multis pauca recepi, ut improbum ingratumque, et quod his mirabilius est, avarum accusavisses. Me igitur a civibus meis bello petitum et Romano solo pulsum, cum necessariis et amicis et pecunia multa ad te venisse, te neque amore pecuniae, quam ego et hostes tam grandem offerebamus, neque urbibus et regione, quibus tibi cedebatur, ut mihi malefaceres, te, inquam, nullo horum victum esse, sed omnibus amicitiam meam praetulisse, nec ipse negaverim: essem enim in te et alios, qui tam egregiis exemplis ad virtutem incitari poterant, iniustissimus. Nam quod nullum, ut aiebas, beneficium mihi debens, in mea me calamitate excepisti, neque tuopte ingenio ad commoda tua ex me comparanda impulsus es, neque ab alio inductus, aut coactus iniuste, aut indigne in me consuluisti: sed omnibus illis, quae ad principatum amplificandum pertinere videbantur, honestatem atque iustitiam anteposuisti, haec te non modo excelso animo et ardore quodam immortalis gloriae praeditum, sed et bonum virum, intelligentia praestantem, testantur, et ob haec omnia ego tibi multas gratias iure debere confiteor: non solum quod

A.C. 1350 ἁπάντων ἐγώ σοι πολλὰς ὀφείλειν δίκαιος εἶναι χάριτας ὁμο-
λογῶ, οὐ μόνον διὰ τὸ μηδὲν ἠδικηκέναι μάλιστα δυνάμε-
νον, ἀλλ' ὅτι καὶ τὴν εἰς ἐμὲ τιμὴν μείζω ἢ πρὸς φίλον
ἐπεδείξω. σχεδὸν γὰρ παρ' ὅσον χρόνον σοὶ συνῆν, τῆς ἀρ-
χῆς ἐμοὶ τῆς σῆς ἐξέστης, οὐκ αὐτὸς μόνον τῶν πρωτείων
ἀεὶ παραχωρῶν, ἀλλὰ καὶ τοὺς ὑπηκόους ἅπαντας ὡς αὐ-
τῶν βασιλεύοντι προσέχειν κελεύων καὶ πᾶσαν αἰδῶ παρέ-
χειν καὶ τιμήν. δι' ἃ σοι καὶ μείζους οἶδα χάριτας, ἢ τῆς
D σωτηρίας. τότε μὲν γὰρ σωθεὶς, πάντως ὕστερον ἀποθανοῦ-
μαι, ἡ τιμὴ δὲ καὶ μετὰ τελευτὴν διαμενεῖ ὑπὸ πάντων ᾀδο-
μένη καὶ τῶν εἰς ὕστερον ἐσομένων. οὐ σὲ δὲ μόνον ἐπὶ τού-
τοις δίκαιος ἂν εἴην ἐπαινεῖν, ἀλλὰ καὶ τὴν σὴν γυναῖκα μάλι-
στα αἰτιωτάτην ὀφθεῖσαν τῶν γεγενημένων εἰς ἐμέ. αὐτὴ γὰρ
καὶ ἐβουλεύσατο καὶ ἔπεισέ σέ τε ὁμοίως καὶ τοὺς ἄλλους
τοὺς ἐν τέλει, μὴ μικρολογεῖν, μηδ' εἶναι ἀγαθοὺς ἐπὶ μι-
V.627 σθῷ, ἀλλὰ προῖκα καὶ κατὰ φιλοτιμίαν, μέγιστον κέρδος αὐ-
τὸ τοῦτο ἡγουμένους τὸ τὰ καλὰ καὶ δίκαια αἱρεῖσθαι· οἵ
τε ἐν τέλει πάντες καὶ ἡ ἄλλη στρατιὰ οὐ διὰ τὸ σὲ βού-
P.784 λεσθαι μόνον καὶ κελεύειν, ἀλλὰ καὶ οἴκοθεν ὡρμημένοι, με-
γάλην ἐπεδείξαντο τὴν ἐπιείκειαν καὶ τὴν εὐγνωμοσύνην
εἰς ἐμέ. ὧν ἁπάντων αὐτός τε χάριτας ὀφείλω, καὶ οἱ ἄλ-
λοι ἐπαινέσονται, ὅσοις εἰς ἀκοὰς ἀφίξεται καὶ μετὰ χρόνον
τὸ διήγημα. τί οὖν ἔστιν εἰπεῖν, ὅτι τῶν τοσούτων ἀγαθῶν

8. τῆς om. P. 14. σέ om. P.

nihil nocueris, cum id facillime posses, sed etiam quod maiori me honore, quam amicum, cumulaveris. Ferme enim, quamdiu tecum vixi, tuo principatu mihi cessisti, non ipse dumtaxat priores mihi deferens, sed et subiectos tuos omnes, tamquam si eorum rex essem, mihi obtemperare omnique veneratione et honore me prosequi praecipiens. Quorum gratia ampliores tibi, quam pro salute et incolumitate mea abs te conservata, gratias ago. Tum siquidem abs te servatus, omnino tandem aliquando hac luce defungar: honor autem, quo me cohonestasti, etiam post fata manens, per ora posterorum volitabit. Neque vero te tantum his de causis, sed et coniugem tuam iure laudibus celebrarim, quae tuorum erga me beneficiorum causa praecipua fuit. Ipsa enim consilium dedit, ipsa tibi aliisque proceribus persuasit, ne quid sordidius committeretis, neve praemium aliquod exspectantes, sed gratis prorsus, et laudi vobis studium in me vestrum ducentes, benefici essetis, hoc unum in lucris maximis deputantes, iusta et honesta consectari. Principes porro tui omnes et milites, non tantum quia tu ita velles itaque mandares, sed sponte et voluntate libera humanitatem candoremque eximium adversus me declararunt. Pro quibus et ipse gratias debeo, et quorum aures vel sero ea narratio tetigerit, illos praedicabunt. Quid

ἀμνήμων ἐγὼ γεγενημένος, ἐξ οὐδεμιᾶς αἰτίας εἱλόμην πο- A. C. 1350
λεμεῖν καὶ κακοῖς ἀμείβεσθαι τοὺς εὐηργετηκότας; πάντων
μεντἂν εἴη ἀτοπώτατον, γλώττῃ μὲν οὕτως εἰδέναι χάριν τοῖς
εὐπεποιηκόσι, καὶ μὴ συγκρύπτειν αἱρεῖσθαι τἀγαθά, ἔργοις
δὲ ἀχαριστεῖν καὶ ἑαυτῷ φαίνεσθαι ἐναντιώτατον, ὃς οὐδὲ
πρὸς τοὺς πολλὰ προσκεκρουκότας καὶ μεγάλων γεγενημέ- B
νους αἰτίους συμφορῶν τοιαύτην οὐδέποτε γνώμην ὤφθην
ἔχων. ἀλλὰ καὶ τῆς τοιαύτης διαφορᾶς καὶ τοῦ κεκινημένου
πρὸς ἡμᾶς νυνὶ πολέμου αὐτοὶ τὰς αἰτίας ἐξαρχῆς καὶ
ἄχρι νῦν παρέσχεσθε, καὶ τοῦτο πειράσομαι ποιεῖν ἐκ τῶν
πραγμάτων ἐναργές. ὡς γὰρ διατρίβοντί μοι παρ' ὑμῖν ἐδό-
κει σπονδὰς καὶ ὅρκους ἐπὶ συμμαχίᾳ τίθεσθαι, καὶ οὕτω
παρέχεσθαι πειρᾶσθαι τὴν ὠφέλειαν, σὺ μὲν μισθὸν τῆς
συμμαχίας ᾔτεις πόλεις πολλὰς καὶ χώραν τῇ Ῥωμαίων προσ-
ήκουσαν ἡγεμονίᾳ, ἐγὼ δὲ οὐδ' ἑνὸς τῶν φαυλοτάτων τι-
νὸς φρουρίου παρεχώρουν, ἀλλ' ἠξίουν προῖκα βοηθεῖν. οὐ
γὰρ ὑμῖν εἶναι μόνον ἀγεννὲς καὶ ἀνελεύθερον καὶ ἀδοξίαν
προστριβόμενον πολλήν, μὴ διὰ φιλοτιμίαν καὶ φιλίαν, ἀλλὰ C
μισθῷ δουλεύειν, ἀλλὰ καὶ ἐμοὶ τῶν πάντων ἀδυνατώτατον,
διὰ τὴν ἐμαυτοῦ καὶ τῶν συνόντων σωτηρίαν καταπροΐεσθαι
Ῥωμαίους, εἰ καὶ ἀγνωμονοῦντες ἐκεῖνοι τὸν πόλεμον κεκινή-
κασι τὸν πρὸς ἐμέ. οὐ γὰρ καταδουλοῦν, ἀλλ' ἐλευθεροῦν ἀπὸ
τῶν πολεμίων μᾶλλον ἐξαρχῆς τε εὐθὺς καὶ ἄχρι νῦν μά-

10. παρέχεσθε P.

est igitur, quod dicis, me tot meritorum immemorem sine ulla causa voluisse bello te lacessere, tam male respondentem tuis benefactis? Atqui longe foret absurdissimum, lingua quidem sic prolixe gratias agere bene merentibus, nec tacita velle habere merita, re autem ingratum esse, viderique sibi maxime contrarium: quem neque in illos, qui me vehementer offenderant et in miserias praecipitaverant, unquam tali animo fuisse constat: sed et dissidii huius et armorum istorum causas ab initio usque nunc ipsi praebuistis, id quod rebus demonstrare contendam. Ut enim mihi apud vos diversanti super societate visum est foedus sancire, et sic invicem commodare conari, tu mercedem societatis multa oppida et regionem Romani principatus propriam postulabas. Ego vero nec abiectissimum quidem castellum tibi spondebam: volebamque auxilium esse gratuitum. Non enim vobis dumtaxat indignum, illiberale et pudendum esse summopere, non gloriae et amicitiae gratia, sed mercede servire, verum etiam mihi tam impossibile factu esse, ut nihil magis, propter meam et eorum, qui me sequerentur, salutem Romanos prodere, quamvis illi in me arma improbe movissent: quandoquidem non illos servitute mactare, sed ab eorum cervicibus hostile servitutis iugum deiicere, iam inde a principio

A. C. 1350 λιστα σπουδὴν ποιοῦμαι, εὐθύς τε ἀπεφαινόμην, ὡς, εἰ μὲν
δοκοίη, διὰ φιλίαν μόνην καὶ φιλοτιμίαν βοηθεῖν· εἰ δὲ μὴ,
ἀλλ' αὐτόν γε καταπράξεσθαι ἀνελεύθερον οὐδὲν, οὐδὲ προ-
δότην φανεῖσθαι Ῥωμαίων τῶν ὁμοφύλων, ἀλλ' αἱρήσεσθαι
D μᾶλλον αὐτὸς ἀπόλλυσθαι καὶ τέκνα καὶ οἰκείους, ἢ διὰ
τὴν ἐν τῷ παρόντι χρείαν ἀδοξίας ἀείμνηστα μνημεῖα τοῖς
εἰσέπειτα Ῥωμαίοις καταλείπειν. ἃ ἐδόκει καὶ σοὶ μετὰ γυ-
ναικὸς βουλευομένῳ καὶ τῶν ἐν τέλει δίκαιά τε εἶναι καὶ
πολλὴν οἴσοντα φιλοτιμίαν ἐμοί τε ὁμοίως καὶ ὑμῖν· καὶ συν-
εθέμεθα τὰς σπονδὰς καὶ τοὺς ὅρκους ἐπὶ τούτοις, ὥστε
φίλους ἀλλήλοις εἶναι καὶ συμμάχους διὰ βίου, καὶ βοηθεῖν
ἑκάτερον ἑτέρῳ, ὡς ἂν μάλιστα ἔχοι καλούσης χρείας· πόλεις
δὲ καὶ χώραν τὴν ὑπὸ Ῥωμαίοις, ὅσης μὲν αὐτὸς βασιλέως
ἔτι περιόντος Ἀνδρονίκου ἢ οἱ πρόγονοι ἀφείλοντο ἐκ τῶν
P. 785 προτέρων βασιλέων, ταύτην ἔχειν ἀσφαλῶς, καὶ μηδένα πό-
λεμον ἐμὲ κινεῖν περὶ αὐτῆς, κἂν δύνωμαι ἀφαιρεῖσθαι· τὰς
ἔτι δὲ ὑπολειπομένας ἄχρι τότε μηδενὶ τρόπῳ, μήτε τέχνῃ,
μήτε μηχανῇ μηδεμιᾷ πειρᾶσθαι ἀφαιρεῖσθαι, ἀλλ' ἐμοὶ τὴν
Ῥωμαίων ἡγεμονίαν συγκατακτᾶσθαι ἄχρι καὶ τοῦ δυνατοῦ
πολεμοῦντα τοῖς ἐμοὶ ἀνθεστηκόσι, καὶ τὰς μὲν ἁλισκομένας
ἢ προσχωρούσας ἐμοῦ παρόντος, ταύτας ἔχειν ἐμὲ ἀνενδοιά-
στως· εἰ δέ ποτε συμβαίη καὶ ἀπόντος, ἢ αὐτὸν, ἢ τῶν ὑπὸ
σὲ τελούντων δυνατῶν τινα πόλιν κατασχεῖν ὑπήκοον Ῥω-

3. καταπράξασθαι M.

nervis omnibus contendo; statimque meam sententiam aperui, ut, si videretur, amicitiae tantum et honoris amplissimi causa opem ferres: sin minus, me tamen nihil ab ingenuitate abhorrens commissurum, neque cives meos Romanos proditurum, sed cum liberis et propinquitate coniunctis moriturum potius, quam ob praesentem utilitatem aeterna dedecoris monumenta ad posteros Romanos relicturum. Quae tu quoque cum coniuge proceribusque consultando iusta et utrique nostrum laudem non minimam conciliatura iudicabas: foedusque percussimus et sacramenta concepimus, ut amicitiam et societatem in omni vita coleremus, alterque alterum, ut maxime posset, in tempore adiuvaret. Oppida vero et regionem Romanam, quantam Andronico imperatore adhuc superstite tu ipse, aut maiores tui prioribus imperatoribus abstulissent, tantam secure teneres, nec propterea ego arma sumerem, quamvis ea possem tibi eripere. Relictas usque ad id tempus urbes nullo modo, neque arte, aut machina ulla auferre niterere: sed mihi ad recuperationem Romani principatus pro facultate contra adversarios meos dimicans navares operam. Et captas quidem aut deditas me praesente ego haberem sine controversia: sin contingeret me absente, aut ipsum te, aut dynastarum tuorum quempiam urbem aliquam

μαίοις, ἢ προδοσίᾳ, ἢ πολιορκίᾳ, ἢ διαφθείραντα τοὺς ἔνδον A.C. 1350
χρήμασιν ἢ τρόπῳ δή τινι ἑτέρῳ, πάσας ἐμοὶ ἀποδιδόναι, καὶ B
μηδεμίαν πρόφασιν ἀρκεῖν ἐπὶ μηδεμιᾶς ἀποστερήσει, καὶ V.628
τούτων ἔξεστιν ἀπόδειξιν παρέχειν ἐναργῆ ἐκ τῶν ἐγγράφων
ὅρκων τουτωνὶ, οὓς ἐποιήσω τότε πρὸς ἐμὲ ἐν ταῖς συνθή-
καις, παρόντος ἀρχιεπισκόπου τοῦ σοῦ καὶ τῶν νυνὶ παρόν-
των ἐνθάδε τουτωνὶ τῶν ὑπὸ σὲ ἐπιφανῶν. σκεψώμεθα δὴ
οὖν, ὁπότερος ἐνέμεινε τοῖς ὅρκοις τούτοις, ἆρ' ὁ πολλὴν ἀγνω-
μοσύνην καὶ ἀχαριστίαν κατηγορούμενος ἐγὼ καὶ κακὸς περὶ
τοὺς φίλους καὶ ἀπληστίας δίκην φεύγων, ἢ σὺ ὁ τῶν ἀλ-
λοτρίων μηδενὸς ἐπιθυμῶν, ἀλλὰ βέβαιος περὶ τοὺς φίλους, C
καὶ ὥσπερ πολιτείαν διὰ βίου μετιὼν τὸ μὴ συμμεταβάλλε-
σθαι ῥᾳδίως τοῖς καιροῖς, μηδὲ τὰ εἰσάπαξ ἐψηφισμένα τρό-
πων εὐκολίᾳ διαλύων. ἐμοὶ μὲν δοκεῖ, μήτ' εὐορκίας
ἐμὲ καὶ βεβαιότητος περὶ τοὺς φίλους καὶ εὐγνωμοσύνης μη-
δὲν δεῖγμα παραλείπειν, μήτε σὲ ἀπληστίας καὶ ἐπιορκίας
καὶ περὶ τοὺς φίλους ἀπιστίας. ὡς γὰρ ἐγενόμην ἐν
Βεῤῥοίᾳ, καί τινες πολίχναι προσεχώρουν περὶ αὐτὴν καὶ
Θετταλία, ἐγὼ μὲν ἐκ τῶν ἐνόντων ἐπειρώμην αὔξειν τὴν
ἀρχὴν, καὶ στρατιὰν ἠθροικὼς ὅσην μάλιστα ἐξῆν, ἔχων καὶ
Γερμανοὺς τοὺς παρὰ σοῦ, ἧκον εἰς Θεσσαλονίκην ὑπὸ τῶν D
φίλων κεκλημένος· σὺ δὲ αὐτίκα ἐπεβούλευες μηδεμίαν αἰ-
τίαν, μηδὲ πρόφασιν πρὸς τὸν πόλεμον παρασχομένῳ, καὶ
τοῖς τε Θεσσαλονικεῦσι συνεβούλευες ἐπεξιέναι, καὶ Γερμα-

13. ὁμοίως M. mg. pro ῥᾳδίως.

Romanorum aut proditione, aut obsidione, aut corruptis largitione civibus, aut alia quadam ratione occupate, mihi restitueretur, nullusque obtentus ad ullum auferendi modum sufficeret. Atque istuc probare evidenter licet ex iuramentis in tabulas relatis, quibus tunc foedus inter nos ictum sanxisti, praesentibus archiepiscopo tuo et iis, qui nunc coram adsunt, principibus tuis. Consideremus itaque, uter iuramenta ista servarit, egone, quem tu tantae improbitatis et tam ingratae voluntatis atque sceleris in amicos et insatiabilis cuiusdam cupiditatis accusas, an tu, qui scilicet alienum nihil concupiscis, sed amicitiam constanter colis, et quasi quoddam vitae institutum tenes, ut non facile cum tempore commuteris, neque semel decreta per levitatem retractes. Equidem mihi videor nullum religionis, constantiae, aequitatis munus erga amicos praetermisisse, neque avaritiae meae, periurii et infidelitatis in eosdem ullum argumentum exstat. Cum enim Berrhoeae versarer, urbesque finitimae quaedam ad me desciscerent, ego quidem, ut res ferebat, augere imperium conabar, et collectis quantas poteram copiis, habens et Germanos abs te mihi missos, Thessalonicam amicorum accersitu veni. Tu mox, nulla causa, nulla occasione a me praebita, mihi in-

A. C. 1350 νοὺς τοὺς σοὺς ἀνεκαλοῦ ἀπ' αὐτῆς τῆς παρατάξεως σχεδόν· ἃ εἰ μὴ πολεμιωτάτου, εἰ μὴ σύ γε, ἀλλ' οἱ παρόντες ἅπαντες ἐροῦσι. ἀναστρέφοντι δὲ ἐκεῖθεν στρατιὰν ἔπεμψας ἐπὶ τὸν Ἀξειὸν κωλύουσαν πρὸς τὸν πόρον, καὶ μονονουχὶ τοῖς πολεμίοις αὐτοχειρίᾳ παρεδίδους. ἐς τοσαύτην γὰρ κατέστησας ἀνάγκην, ὥστ' εἰ μὴ θεὸς ἄνωθεν ὑπερέσχε χεῖρα πρὸς τὴν διάβασιν τοῦ ποταμοῦ, ἀπωλόμεθ' ἂν πάντες ἀκλεῶς ὑπὸ
P. 786 τῶν περιχυθέντων ὁμοῦ Ῥωμαίων καὶ βαρβάρων. οὕτω τοὺς ὅρκους διετήρησας ἀκριβῶς, καὶ ταῦτα οὐ πρὸ πολλοῦ τοῦ χρόνου γεγραμμένους. οὐ μὴν ἠρκέσθης ἀφανῶς ἐπιβουλεύειν μόνον, ἀλλ' Ἀποκαύκου τοῖς κόμποις καὶ τοῖς πλάσμασι πεισθεὶς, χρήματά τε, ὡς ἐλέγετο, παρ' ἐκείνου εἰληφὼς, πολέμιον ἐμὲ ἐψηφίσω φανερῶς, ὃν ἐν τοῖς ὅρκοις γράφεις διὰ βίου σύμμαχον καὶ φίλον ἕξειν· οὐδ' αὐτὸς ἂν, οἶμαι, φαίης εὐορκῶν. καὶ γράμματα ἔπεμπες ἐμοὶ τὴν εἰρήνην καὶ τὴν συμμαχίαν φανερῶς ἀπαγορεύοντα καὶ πόλεμον καταγγέλλοντα ἀκήρυκτον· ἃ καὶ νῦν ἔξεστιν ὁρᾷν εἰς δεῦρο δια-
B σωθέντα παρ' ἐμοί. καὶ ἐξ ἐκείνου οὐ διέλιπες φανερῶς τε πολεμῶν καὶ ἀφανῶς ἐπιβουλεύων. ἐμοί τε γὰρ εἰς Διδυμότειχον ἐπανήκοντι μετὰ Ἀμοὺρ, ἐπεὶ ἐκεῖνος ἦν εἰς τὴν Ἀσίαν, τὴν ὑπόσχεσιν Ἀποκαύκῳ ἐκπληρῶν, τὸ κράτιστον τῆς στρατιᾶς ἔχων ἐπεστράτευες, καὶ προῆλθες ἄχρι Μυγδονίας φανερῶς ἐπιὼν ἐμοί. Περσῶν δὲ πεζῶν περιτυχόν-

6. ὥστε μὴ P. 10. ἠρκέσθη P.

sidiatus, Thessalonicensibus, ut in me irent, auctor fuisti, Germanosque tuos ex ipsa propemodum acie revocasti. Quae profecto importunissimi hostis esse, si tu non dicas, at dicent quotquot hic adstant. Me autem inde revertentem manum ad Axium flumen transitu me prohibituram misisti, et tantum non tua ipse manu hostibus me tradidisti. Eo enim necessitatis adegisti, ut, nisi Deus desuper manum suam ad flumen traiiciendum extendisset, a circumfusis simul Romanis atque barbaris nulla cum nostra gloria delendi fuerimus: tam praeclare tu iusiurandum, idque in litteras nuper relatum, praestitisti. Nec clandestinis insidiis contentus, etiam Apocauchi, hominis ventosi, figmentis credens, et pecunia ab illo, ut aiebant, accepta, hostem me palam declarasti, quem in iureiurando socium semper atque amicum habiturum te scribis. Haec qui faciat, nec tu eum, opinor, iuratis stare affirmaveris. Insuper litteras mittebas, quibus pacem et amicitiam aperte renuntiabas, et bellum non ante, pro more, indictum denuntiabas: quas et in hunc usque diem a me servatas videre licet. Ex illo me et manifestis armis, et occultis insidiis petere non cessasti. Nam et Didymotichum cum Amurio reversum, postquam ille in Asiam renavigavit, ut Apocaucho promissa faceres, robur exercitus in me duxisti, et usque Mygdo-

των, ὧν τὰς ναῦς αἱ Λατινικαὶ ἐνέπρησαν τριήρεις, καὶ πολλὰ A.C. 1350 τῇ στρατιᾷ λυμηναμένων, ἣν ἔπεμπεν ἐπ' αὐτούς, ἀνεχώρεις καὶ αὐτὸς εἰς τὴν οἰκίαν πληγεὶς ἀπροσδοκήτως. καὶ Μανουὴλ δεσπότην τὸν υἱὸν ἐπὶ τῆς Βεῤῥοίας τὴν ἀρχὴν καὶ τῶν ἄλλων πολιχνίων καταλελειμμένον ὑπ' ἐμοῦ φανερῶς C τε ἐπολιόρκεις πέμπων στρατιάν, καὶ τοὺς ἔνδον οὐκ ἠμέλεις διαφθείρων χρήμασιν, ἄχρις οὗ πείσας ἐκείνῳ δυσνοεῖν, ἐκεῖνον μὲν ἐξήλασας εἰς Θετταλίαν, αὐτὸς δὲ τὴν πόλιν εἶχες. καὶ Φερὰς ὁμοίως ἐπὶ συχνὸν πολιορκήσας χρόνον, ἐμοῦ δεομένου καὶ τῶν ὅρκων ἀναμιμνήσκοντος, ἐπεὶ μὴ ταῖς πόλεσιν εἶχον ἐπιδημεῖν ὑπὸ τοῦ ἐμφυλίου κατεχόμενος πολέμου, οὐδένα λόγον ἐποιοῦ, ἀλλ' ἐνδείᾳ πιέσας καὶ συχνῇ πολιορ- V. 629 κίᾳ, τέλος ἔπεισας προσχωρεῖν, κἀκεῖ τοὺς δυνατωτέρους διαφθείρας χρήμασι. καὶ μετὰ τοῦτο Θετταλίᾳ καὶ Ἀκαρνανίᾳ ἐπεστράτευσας Ῥωμαίοις οὔσαις ὑπηκόοις, πλῆθος πεζῶν τε καὶ ἱππέων ἄγων, καὶ τὴν μνημονευομένην ἐκείνην φθορὰν εἰργάσω, ὑφ' ἧς εἰς τοσαύτην ἀνάγκην Ἀκαρνᾶνες D ἦλθον ὑπὸ τοῦ λιμοῦ, ὡς ἑκοντὶ πρὸς τὰ παράλια γινόμενοι, προκεῖσθαι τοῖς ἀνδραποδισταῖς βαρβάροις κέρδος ἄπονον, καὶ δεῖσθαι ἐφ' ἑτέραν γῆν μετενεχθέντας δουλεύειν μᾶλλον διὰ βίου, ἢ ἐν τῷ αὐτίκα διαφθείρεσθαι ὑπὸ λιμοῦ. ὕστερον δὲ Ἀγγέλου τοῦ ἐμοῦ τετελευτηκότος ἀνεψιοῦ, ὃς ἦρχεν ὑπ' ἐμοῦ πεμφθείς, ἁρπάσας τὰς ἐπαρχίας ἔχεις· καὶ πρὸς τού-

3. αὐτοὺς P.

niam palam hostis meus tetendisti. Persis autem peditibus occurrentibus, quorum naves Latinae triremes incenderant, et egregie attrito ab eis exercitu, quem contra ipsos mittebas, ipse quoque improvisa re perculsus, in tuam provinciam rediisti: et Manuelem despotam, filium meum, quem ego Berrhoeae oppidulorumque aliorum praefectum reliqueram, palam obsedisti: nec cives pecunia depravare omisisti, donec illis exosum in Thessaliam expulisti. Tu vero urbem occupabas, et Pheras similiter longo tempore obsidens, cum te orarem iuramentique commonefacerem, quandoquidem civili bello distentus, ad urbes illas accedere non poteram, auris discerpenda mea verba tradebas, et egestate illos obsessioneque assidua premens, postremo etiam ibi civibus primariis pecunia transversim actis, urbem ad te allexisti: et postmodum magno equitum peditumque numero Thessaliam et Acarnaniam, Romanorum provincias, invasisti, ac memorabilem illam calamitatem invexisti, ut Acarnanes ob intolerandam famem ad maritimas oras sponte profecti, barbaris plagiariis lucrum se gratuitum prostituerent, obsecrantes in alias terras transferri, ibique servire tota vita potius, quam praesenti inedia contabescere. Postea Angelo, consobrino meo, demortuo, quem ego praetorem eo miseram, tu provincias tibi vindicasti et

A.C. 1350 τοις ἑτέρας πόλεις τῆς Μακεδονίας οὐκ ὀλίγας, αἳ ὑπὸ τὴν Ῥωμαίων ἡγεμονίαν ἦσαν, ὅτε πρὸς ἀλλήλους ἡμῖν ἐγίνοντο οἱ ὅρκοι. πότερον οὖν ταῦτα φιλοῦντος καὶ εὐορκοῦντος καὶ μισοῦντος τὴν ἀπληστίαν καὶ τὴν ἁρπαγὴν, ἢ τοὐναντίον ἅπαν;
P. 787 ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα, ἀλλὰ καὶ Ἀμοὺρ ἐνταῦθα πρὸς ἐμὴν ἐπικουρίαν γενομένου, τετρακισχιλίους ἐπὶ δισμυρίοις ἄγοντος βαρβάρους, οἳ τὴν σὴν ἡγεμονίαν πᾶσαν ἀνατρέπειν ἦσαν δυνατοὶ, αὐτὸς ἐποιησάμην πᾶσαν πρόνοιαν, μηδὲν τὴν ὑπὸ σὲ ζημιωθῆναι χώραν, καίτοι πρόφασιν εὐπρόσωπον ἔχων τοῦ πολέμου τὰς προτέρας ἐπιβουλὰς καὶ τὸ φανερῶς ἐκπεπολεμῶσθαι καὶ ἔργοις καὶ τούτοις δὴ τοῖς παρὰ σοῦ πεμφθεῖσι γράμμασιν ἐπὶ ἀπαγορεύσει τῆς εἰρήνης καὶ τῶν ὅρκων, μάλιστα καὶ τῶν βαρβάρων δεομένων. ἀλλ' ἄτοπον
B ἐνόμισα δεινῶς καὶ οὐδὲ ἐμοὶ προσῆκον, διὰ τὴν σὴν μικροψυχίαν καὶ τὴν ἀστασίαν περὶ τὰ καλὰ ἀχάριστον καὶ ἄπιστον φανῆναι πρὸς τοὺς φίλους, εἰ τῷ τοσούτων ἀγαθῶν ὑπάρξαντι μηδεμίαν ἀποδοίην ἀμοιβὴν, ἀλλ' ἀνεκτῶν τινων χάριν αἰτιῶν οἷα πολεμίῳ χρησαίμην διὰ βίου. καὶ μετὰ ταῦτα πολλάκις δυνηθεὶς ἀμύνεσθαι, οὐκ ἠθέλησα, ἀλλὰ πρεσβείας πέμπων, καὶ πρὶν Βυζάντιον ἑλεῖν καὶ μετὰ ταῦτα, τὰ δίκαια ποιεῖν ἐδεόμην, οἷα φίλον, καὶ μὴ τοὺς ὅρκους παραβαίνειν. σὺ δὲ τῶν μὲν δικαίων καὶ προσηκόντων ἔπραχ-

10. τῷ P.

praeterea urbes Macedoniae non paucas, quae, quando vicissim iurabamus, sub imperio Romano censebantur. Utrum igitur haec amantis et iuramenti sanctitatem custodientis habendique inexplebilem aviditatem et rapinas odientis sunt, an plane secus? A quibus vitiis nos procul absumus. Quinimo cum Amurius hic ad me iuvandum cum quatuor et viginti barbarorum millibus adesset, qui universum principatum tuum concutere ac destruere poterant, cavi diligentissime, ne quid damni provincia tua pateretur, quamquam belli honestam occasionem haberem priores insidias, quodque opere ipso apertum te hostem profitebare et hisce litteris, quas ad me misisti, pacem et iuramentum rescindebas: et id a me barbari etiam atque etiam flagitarent. Tamen absurdum nimis et personae meae indecorum duxi, propter minutum abiectumque animum tuum et in rebus honestis inconstantiam ingratum erga amicos atque infidelem videri, si qui tanta in me prior bona contulisset, ei nihil rependerem, sed propter culpas quasdam tolerabiles in omni vita mea reliqua hostis loco eum ducerem. Post id tempus cum saepius ulcisci me possem, nolui, verum missis oratoribus, etiam ante captum Byzantium, ut tandem amici officium sequerere, neve iuramenta violares, rogavi. At tu quid ius fasque postularent,

τὲς οὐδὲν, λόγοις δὲ ἀπατηλοῖς καὶ περιέργοις παράγειν ἐπει- A.C. 1350
ρᾶ. ἐγὼ δὲ καίτοι σαφέστατα εἰδὼς, ὡς ἀπατῶμαι, οὐκ C
αὐτίκα ἐπεστράτευον, ἀλλ' ἐπειρώμην ἀεὶ, μὴ αὐτὸς ὑπὸ μι-
κροψυχίας ὡρμημένος πρὸς τὸν κατὰ σοῦ πόλεμον φανῆναι.
ἐπεὶ δὲ ἑώρων ἀνήνυτα πονῶν, καὶ μὴ μεγαλοψυχίαν ἤδη
καὶ εὐγνωμοσύνην, ἀλλ' ἀμέλειαν τῶν ὁμοφύλων καὶ προδο-
σίαν οὖσαν τὴν μέλλησιν σχεδὸν, οὐδ' οὕτως ἐπὶ τὴν σοὶ προσ-
ήκουσαν ἧκω γῆν, ἀλλὰ τὰς ἀφῃρημένας πόλεις ἀνασώζε-
σθαι πειρῶμαι, ἐφ' αἷς αὐτὸς ἀδικίαν καὶ πλεονεξίαν ἐγκα-
λεῖς, παραπλήσιον ποιῶν τῇ παροιμίᾳ, ἥ φησι προσεγκαλεῖν
τοὺς φῶρας, καὶ ὥσπερ τι τῶν δικαίων προβαλλόμενος, ἀπλη- D
στίαν ὀνειδίζεις, ὅτι τὸ πλεῖστον τῆς ἀρχῆς Ῥωμαίων ἔχων
αὐτὸς, σοὶ τοῦ ἐλάττονος οὐ βούλομαι παραχωρεῖν. τοῦτο
δὲ, ὦ βέλτιστε, οὐδὲ ὀλίγου δεῖ τοῦ λόγου ἔχειν πρὸς τὸ εἶ-
ναι εὐπρεπὲς καὶ δίκαιον. οὐ γὰρ δὴ τὴν Μυσῶν ἀρχὴν, ἢ
Παιόνων, ἤ τινων ἄλλων διειλόμεθα, ἣ προσῆκεν οὐδ' ἑτέ-
ρῳ, ἀλλὰ τῆς ἐμοὶ προσηκούσης Ῥωμαίων ἡγεμονίας οὐκ ὀλί-
γον μέρος ἀφελόμενος, καὶ χάριν ἀξιοῖς εἰδέναι περὶ τοῦ
ὑπολειφθέντος. ἐγὼ δ' ὅτι μὲν καὶ πρὶν εἰς τοῦτο ἥκειν σχή-
ματος Ῥωμαίων ἦρχον, ἀποφαίνειν οὐκ ἀνάγκη, πάντων σα- V. 631
φέστατα εἰδότων. πλὴν ἀλλ' εἰ καὶ ἀφανείᾳ πολλῇ τὸ πρό-
τερον συζῶν, ἀθρόον ἑωρώμην Ῥωμαίων βασιλεὺς, οὕτως ἂν P. 788
ἠξίουν τῶν προβεβασιλευκότων ἔχειν τὴν ἀρχὴν, ὥσπερ τινὰ

non curabas: sermonibusque fallacibus et curiosis circumscribere me attentabas. Ego, tametsi id nossem planissime, non statim in te arma movi, sed enitebar semper, ne timiditate quadam ad bellum tibi inferendum prosiluisse existimarer. Cum cernerem autem, incassum me laborare, cunctationemque meam non magnitudinem animi et aequitatem, sed morum civilium neglectum ac propemodum proditionem esse, ne sic quidem in provinciam tuam irrui, sed ademptas urbes nitor recipere, quarum causa tu me avaritiae iniquitatisque insimulas: tale quiddam faciens, quale est in proverbio: „Fures insuper accusant:" et cupiditatem quasi merito mihi obiectas, quod, cum ipse amplissimam Romani imperii partem obtineam, tibi minorem invideam. Atqui, bone vir, hoc iustum et decorum esse, difficulter probaveris. Non enim sane Moesorum aut Paeonum aliorumve regnum, quod neutrius erat, divisimus, sed cum tu de Romano imperio, cuius penes me ius et auctoritas est, non exiguam portionem detraxeris, adhuc de reliqua tibi gratias agi postulas. Me vero etiam ante hunc habitum, quem gesto, Romanis imperasse, docere nihil attinet, quando id omnibus notissimum est. At enim etsi antea in tenebris vivens, repente imperator prodiissem, tamen sic me in antecedentium imperatorum principa-

A. C. 1350 πατρῷον κλῆρον, καὶ παντί τῳ δίκαιος ἂν ἦν, οὐ περὶ τοσούτων μόνον, ὅσων ἀπεστέρησας αὐτὸς, ἀλλὰ καὶ περὶ ἐλαττόνων καὶ τῶν τυχόντων ἀμφισβητεῖν καὶ πόλεμον κινεῖν, εἰ μὴ ἐβούλετο τὰ δίκαια ποιεῖν. ἐμοὶ δὲ οὐ τοῦτο μόνον πρόσεστι δικαίωμα, ἀλλὰ καὶ οἱ ὅρκοι, οὓς αὐτὸς ἐποιήσω πρὸς ἐμὲ, καίτοι μηδέπω τὴν ἡγεμονίαν πᾶσαν ἔχοντα Ῥωμαίων. ἄτοπον γὰρ τότε μὲν μήτε τὴν περισχοῦσαν δυσπραγίαν, μήτε τὸ Ῥωμαίους ἐμοὶ τοσοῦτον ἐκπεπολεμῶσθαι, μήθ᾽ ὅτι πρὸς τὴν σὴν ἐπικουρίαν ἀφεώρων, ὥστε δυνήσεσθαι τῶν B ἄλλων εἶναι κύριος, μήτ᾽ ἄλλο μηδὲν τῶν φαινομένων τότε δυσχερῶν, σοὶ πεῖσαι τῶν Ῥωμαίοις ὑπηκόων πόλεων παρακεχωρηκέναι, ἀλλ᾽ αἱρεῖσθαι μᾶλλον ἀποθνήσκειν, ἤ τι πράττειν ἀγεννὲς, σὲ δὲ μᾶλλον τὰς Ῥωμαίοις ὑπηκόους πόλεις ἐμοὶ πεῖσαι ψηφίσασθαι προσήκειν· νυνὶ δ᾽ ὅτε τῆς ἀρχῆς ἁπάσης κύριος αὐτὸς κατέστην καὶ δύναμιν ἀνακαλεῖσθαι τὰ ἀφῃρημένα ἔχω, ἢ φρονήσειν οὕτω δοῦλα, ὥσθ᾽ ἑκοντὶ παραχωρεῖν τῶν πόλεων, ἢ σὲ λόγον οἴεσθαι λέγειν ἔχοντα τοιαῦτα ἀξιοῦντα. ὡς μὲν οὖν οὐκ ἀδικῶν, οὐδὲ ἐπιορκῶν αὐτὸς οὔτε πρότερον φαίνομαι, οὔτε νῦν, ἐκ τῶν C εἰρημένων πᾶσιν εἶναι οἴομαι καταφανές. εἰ μὲν οὖν, εἰ καὶ μὴ πρότερον, ἀλλὰ νῦν γοῦν τὰ δίκαια ποιεῖν ἐθέλεις καὶ αὐτὸς, καὶ Ἀκαρνανίαν ἀποδιδόναι καὶ Θετταλίαν καὶ τὰς ἄλλας, ἃς ἔχεις, τῆς Μακεδονίας πόλεις, τῆς προτέρας ἀδικίας

4. πονεῖν P.

tum, quemadmodum in hereditatem quamdam paternam, successisse arbitrarer, totisque viribus debere et verissime posse non solum de iis, quae tu avellisti, sed de minoribus quoque et parvi momenti cum quovis contendere, illumque, ni iustitiae munus praestare vellt, bello aggredi. Non solum autem hoc firmamento causa mea nititur, sed iuramento insuper, quo te mihi, et quidem nondum totius Romanorum imperii compoti, obstrinxisti. Parum enim consentaneum esset, tum neque circumstantes me undique casus, neque Romanorum tantum in me odium, neque quod opem tuam implorabam, quo aliorum dominus evaderem, neque aliud quippiam eorum, quae tunc adversa nobis videbantur, mihi persuasisse, ut urbibus Romanis tibi cederem, sed mori praeoptasse, quam indignum quidquam admittere, et te potius permovisse, ut Romanorum civitates mihi deberi decerneres: nunc quando totum in manu habeo imperium, et ea sum potentia, ut ablata recuperare queam, aut ita summisso ac servili esse animo, ut urbes tibi volens relinquam, aut putare, te istuc postulantem rationi convenienter loqui. Me igitur nec iniurium, nec periurum vel ante fuisse, vel modo esse, ex dictis patere omnibus opinor. Quare si vel nunc servire iustitiae et aequitati est animus et Acarnaniam, Thessaliam at-

ὀλίγον ποιήσομαι τὸν λόγον, τῆς φιλίας ἀμειβόμενος καὶ τῆς A.C. 1350
φιλοτιμίας, ἧς ἡνίκα ἐδεόμην ἐπεδείξω, καὶ τὰς προτέρας
ἀνανεωσάμενος σπονδὰς καὶ τοὺς ὅρκους, αὖθις σύμμαχον
καὶ φίλον ἕξω, καὶ πειράσομαι ἐμαυτὸν ἀποδεικνύναι αὖθις
ἐξαρχῆς ἄξιον τῆς παρὰ σοῦ φιλοτιμίας καὶ σπουδῆς. εἰ δ'
αὖθις οὐδὲν δίκαιον ποιεῖν διανοῇ, ἀλλ' ἀδικεῖν εἰσάπαξ
ἔγνως καὶ ἐπιορκεῖν, ἐγὼ μὲν τῶν προσηκόντων τῇ Ῥωμαίων D
βασιλείᾳ οὐδενὸς παραχωρήσω, θεὸν δὲ μαρτυράμενος τὸν
ἔφορον τῶν ὅρκων, καὶ ἀνθρώπους, οἳ τότε τε παρῆσαν ἐν
τοῖς ὅρκοις καὶ νῦν πάρεισιν, ἐμοῦ τὰ δίκαια προκαλουμέ-
νου καὶ καταλύειν τὸν πόλεμον ἐθέλοντος, ἂν μὴ τυγχάνω
τῶν δικαίων, πειράσομαι τοῖς ὅπλοις τήν τε οὖσαν διασώ-
ζειν, καὶ τὴν ἀφῃρημένην ἀρχὴν ἀνακαλεῖσθαι· ἢν δέ τινα
συμβαίνῃ δυσχερῆ διὰ τὸν πόλεμον, μὴ ἐμοὶ τὴν αἰτίαν,
ἀλλὰ σαυτῷ τῶν γινομένων μὴ εὔορκα ποιεῖν προσλογίζε-
σθαι ἐθέλοντι."

κα'. Τοιαῦτα μὲν Καντακουζηνὸς ὁ βασιλεὺς ἐφ' οἷς P. 789
ἐγκαλεῖν ὁ Κράλης ἐπεχείρει, ἀπεκρίνατο· ὁ Κράλης δὲ ἀν-
τειπεῖν οὐκ ἔχων πρὸς οὐδὲν, (συνῄδει γὰρ αὐτῷ καὶ ἀδι- V. 631
κίαν καὶ παράβασιν τῶν ὅρκων,) ὀλίγον μὲν ἐπέσχε σιωπή-
σας· ἔπειτα ἐδεῖτο βασιλέως, τῶν ἄλλων ἀποστάντας μόνοι
διαλέγεσθαι ἐφ' ἑαυτοὺς περὶ τῶν διαφορῶν. ἐπεὶ δὲ ἐπεί- B
θετο ὁ βασιλεὺς καὶ ἀφίσταντο τῶν ἄλλων, ἐπιορκεῖν μὲν ὁ
Κράλης ὡμολόγει καὶ παρασπονδεῖν, τὰς Ῥωμαίων κατέχων

11. μὴ om. P. 20. μὲν om. P.

que urbes, quas habes in Macedonia, restituere, praeteritas iniurias haud in magno ponam discrimine: quando eas amore et honore mihi temporibus meis exhibito compensas, instauratoque foedere et sacramento, de integro ut amicum et socium te amplectar, rursumque studio atque observantia tua dignum me ab initio ostendam. Sin autem ius fasque contemnis, et iniuriam inferre ac peierare imbibisti, ego de Romano imperio nihil dimittam: Deum vero iurisiurandi praesidem, et homines, qui tunc aderant, cum iuraretur, et nunc adsunt, dum ad aequitatem provoco et bello supersedere cupio, Deum, inquam, hominesque testor, nisi ius meum consequar, me armis et quae habeo conservare, et quae ablata sunt recipere conaturum. Quodsi inde evenerint, quae tu minime velles, ne mihi, sed tibi irascare, qui iuratis manere nolueris."

21. Haec imperatoris ad Cralis criminationem responsio fuit: cui cum ille opponere nihil posset, (quippe quem iniuriarum atque perfidiae conscientia stimularet,) paulum conticuit. Deinde imperatorem rogavit, uti secedentes de controversia sua sine arbitris colloquerentur. Annuit, secedunt. Ibi tum Crales confiteri, se fidem

A. C. 1350 πόλεις, οὐκ ἐβούλετο δὲ ἀποδιδόναι, ἀλλ' ἐδεῖτο βασιλέως
τῶν εἰς αὐτὸν γεγενημένων ἀπομνημονεύοντα, ταύτην τὴν
χάριν καταθέσθαι, τὸ ἔχοντας ἑκάτερον, ἃ ἔχουσιν ἐν τῷ
παρόντι, τίθεσθαι σπονδάς. βασιλέως δὲ οὐδὲ τῶν φαυλο-
τάτων οὐδενὸς παραχωροῦντος, διελύθησαν ἀσύμβατοι. καὶ
Κράλης μὲν εἰς τὸ στρατόπεδον, βασιλεὺς δὲ εἰς τὴν πόλιν
ἐπανῆλθον, εἰς τὴν ὑστεραίαν αὖθις ἐπαγγειλάμενοι ἀλλή-
C λοις συντυχεῖν. καὶ ἐς τὴν ὑστεραίαν συνελθόντες, λόγους
ἐποιοῦντο περὶ τῶν ὁμοίων, καὶ οὔτε βασιλεὺς περὶ τῶν κα-
τεχομένων ἐνεδίδου πόλεων, οὔθ' ὁ Κράλης ὑπέμενεν ἀφί-
στασθαι. καίτοι γε ἔλεγε Κράλης, ἐς τοσοῦτον δέους πρὸς
βασιλέα καθεστάναι, ὡς καὶ ἐν ὀνείροις εἴ ποτε ὁρᾷν συμ-
βαίη, τοῦ ὕπνου ἀφίστασθαι αὐτίκα, καὶ πρὶν ληφθῆναι
ὕπνῳ, ἄϋπνον διανυκτερεύειν, εἰ λογίζοιτο περὶ ἐκείνου, ὅπως
χρὴ πολεμεῖν, ἐν ἀπόροις ὑπὸ δέους καθεστώς. οὐ μὴν οὐδὲ
πρὸς τοὺς ἔξω τὸ πάθος ἀπεκρύπτετο, ἀλλ' ἀναφανδὸν καὶ
πρὸς Τριβαλοὺς καὶ Ῥωμαίους τοὺς συνόντας μηδένα ἀν-
θρώπων ἔλεγε διὰ βίου, μήτε πρότερον, μήθ' ὕστερον ὥσπερ
D Καντακουζηνὸν τὸν βασιλέα ἐκπεπλῆχθαι καὶ δεδοικέναι.
καὶ ἐν τῇ συνουσίᾳ δὲ ἐκείνῃ, ἐρομένου βασιλέως, ὅτου χά-
ριν τοσαύτην ὑπομείνειεν αἰσχύνην τοῖς τῆς Βενετίας βου-
λευταῖς συγκαταλέξας ἑαυτὸν, μείζονα καὶ περιφανεστέραν
συμπάντων ἐκείνων ἔχων αὐτὸς ἀρχὴν, διὰ τὸν ἐκείνου φό-

parum sanctam habuisse, contraque foedus Romanorum oppida occupasse: nec tamen ad reddendum propendere, sed orare, collata in se beneficia apud animum recoleret, et hanc sibi gratiam persolveret, ut, ambobus retinentibus quod haberent, ita demum foedus ferirent. Cum nihil vel minimum concederetur, re imperfecta, Crales in castra, imperator in urbem rediit. Postridie denuo, ut inter se polliciti erant, conveniunt, eademque iterantur, et neque imperator de repetitione urbium occupatarum quidquam remittere, neque Crales eas reddere, quanquam diceret, tantum se timorem imperatoris concepisse, ut etiam si per somnium eum videret, statim expergisceretur, et, si de bello cum eo gerendo cogitaret, antequam somno consopiretur, prae metu anxio noctem insomnia traducere. Neque vero morbum celabat suum: quin palam apud Romanos et Triballos narrabat, se in omni ante acta vita nullum perinde mortalem, ut Cantacuzenum, timuisse horruisseque. Et in illa congressione quaerente imperatore, quid ita tandem dedecus tantum conscivisset, dum in senatum Venetorum se allegisset, qui maius et illustrius, quam ipsi, imperium haberet, respondit, eius metu adactum id fecisse: et adiecit, nihil mirum, quod se huc demisisset: mirum magis, non vilius atque despectius aliquid ausum.

βον, ἀπεκρίνατο καὶ προσετίθει, μηδὲν εἶναι θαυμαστὸν, A.C. 1350 εἰ τοιαῦτα ὑπομείνειε. τοὐναντίον μὲν οὖν, ὅτι μὴ καὶ πρός τι χεῖρον καὶ πολλῷ φαυλότερον ἐξετράπη· καίπερ δὲ οὕτω δέους ἔχων, καὶ οὐδὲ πρὸς πάντας αἰσχυνόμενος ὁμολογεῖν, ὅμως ἀφίστασθαι τῶν πόλεων οὐκ ἤθελεν, ἀλλ' ἐδεῖτο μόνον βασιλέως χωρεῖν πρὸς τὰς συμβάσεις Βέῤῥοιαν μόνην ἔχοντα καὶ Ἔδεσσαν καὶ τὰ ἄλλα φρούρια καὶ τὰς πολίχνας, ὅσαι P. 790 προσεχώρησαν. ἰσχυρίζετο δὲ καὶ ὅρκους τοῖς λόγοις προστιθεὶς, ὡς οὐ πλεονεξίας μᾶλλον ἢ αἰσχύνης ἕνεκα τῶν πόλεων ἀντιποιοῖτο. αἰσχύνεσθαι γὰρ οὐ τοὺς οἰκείους μόνον, ἀλλὰ καὶ τοὺς ἄλλους ὁπουδήποτε δυνάστας, εἰ φαίνοιτο τοσοῦτον ἡττημένος πρὸς τὸν βασιλέως φόβον, ὥστε τοσούτων πόλεων ἀμαχεὶ παραχωρεῖν, ἃς ἐπὶ τοσοῦτον χρόνον κτώμενος, χρήματά τε ἀναλώκει πλεῖστα, καὶ τοσούτους πόνους καὶ κινδύνους ὑπομεμενήκει μετὰ τῆς στρατιᾶς. βασιλεὺς δὲ ἐπεὶ ἑώρα ἀσυμβάτως ἔχοντα, „τὴν μὲν ἐμὴν" εἶπε „πρὸς σὲ εὐγνωμοσύνην, καὶ ὡς οὐδὲν τῶν φίλῳ προσηκόντων οὔτε πρότερον, οὔθ' ὕστερον ἐνέλιπον, καὶ ὁ παρελθὼν μὲν χρόνος, B οὐχ ἥκιστα δὲ καὶ ὁ νυνὶ παρὼν ἀξιόχρεως συμμαρτυρεῖν. σοῦ δὲ μηδὲν ἐθέλοντος τῶν δικαίων ποιεῖν καὶ προσηκόντων, ἀνάγκη πρὸς τὸν πόλεμον χωρεῖν, ταὐτὸν τοῖς θηρίοις πάσχοντα. καὶ γὰρ ἐκεῖνα βαλλόμενα καὶ ἐλαυνόμενα ὑπὸ τῶν θηρευτῶν, πρῶτα μὲν φεύγουσι καὶ τὴν πρὸς ἀνθρώπους μάχην, ὅση δύναμις, ἐκκλίνουσιν. ἐπειδὰν δὲ εἰς ἀνάγκην καταστῶσι καὶ τὸν κίνδυνον αἴσθωνται ἐφεστηκότα, στρεφό-

At enim cum tali timore laboraret, nec eum propalam confiteri erubesceret, nihilo minus urbes reddere detrectabat, rogabatque, uti tantum foedus iceret, contentus Berrhoea duntaxat et Edessa castellisque et oppidulis aliis, quae ad eum defecissent. Et iuratus affirmabat, non se urbes cupidinis potius, quam pudoris ergo, affectare: quem pudorem non apud domesticos modo, sed alios quoque ubicunque dynastas sibi incutiat, si metu imperatoris adeo perculsus deiectusque videatur, ut tot oppida sine pugna deserat, quae post tantam impensam tamdiu possederit, quorumque causa cum exercitu tot labores et discrimina pertulerit. Obstinationem viri cernens imperator, „Mei quidem candoris erga te," inquit, „et quod nullum unquam amici officium a me desiderari passus sim, cum praeteritum, tum maxime praesens tempus idoneo possunt esse testimonio. Quia nihil tibi facere allubescit, quod iustum honestumque sit, venire me ad arma oportebit, feras imitantem, quae venatorum iaculis appetitae et per silvas agitatae, primum quidem fugiunt et certamen cum hominibus quantum valent devitant; ad necessitatem autem redactae, periculoque iam proximae, se con-

A.C. 1350 μενα ἀμύνονται, καὶ οὕτω μετὰ σφοδρότητος, ὡς τῆς σφε-
C τέρας ἀφειδεῖν παντάπασι ζωῆς. τοῦτο δὴ καὶ αὐτὸς νυνὶ
ποιήσω. μάλιστα μὲν γὰρ ἐβουλόμην μὴ πόλεμον κινεῖν πρὸς
V.632 σὲ, ἀλλὰ φίλον καὶ σύμμαχον ἔχειν, ὥσπερ δίκαιον, καὶ τῶν
ὑπηργμένων ἀγαθῶν, ᾗ ἂν μάλιστα δυναίμην, ἐκτίνειν ἀμοι-
βάς. ἐπεὶ δ' αὐτὸς τῶν δικαίων ᾕρησαι ποιεῖν οὐδὲν, οὐδὲ
τῶν Ῥωμαίοις πόλεων ἀφίστασθαι, ἃς ἔχεις ἀδίκως κατα-
σχὼν, ἀνάγκη καὶ αὐτὸν ἃ νομίζω συμφέρειν Ῥωμαίοις πράτ-
τειν, καὶ μὴ περιορᾷν ἀδίκως οὕτω καταδουλωθέντας Τριβα-
λοῖς. ἀλλὰ νῦν μὲν ἐπεὶ μὴ καὶ ἡ παρεσκευασμένη στρατιὰ
ἀφῖκτο, εἰς Βυζάντιον καὶ αὐτὸς ἐπανελεύσομαι, καὶ παρα-
D σκευασάμενος τοῦ χειμῶνος, ἅμα ἦρι ὡς μάλιστα ἔχω μετὰ
πολλῆς δυνάμεως καὶ μεγάλης τῆς παρασκευῆς ὑμῖν ἐπιστρα-
τεύσω, γνώμην ἔχων, ὡς ἢ μαχόμενος πεσεῖσθαι, ἢ πρὸς τῷ
Ῥωμαίους ἐλευθεροῦν καὶ αὐτὸν καὶ ὑπηκόους ἐξανδραποδί-
ζεσθαι καὶ διαφθείρειν καὶ καταδουλοῦσθαι. ἃ εἰδότα καὶ
αὐτὸν ὡς ἀληθῆ, παρασκευάζεσθαι ὡς ἀμυνούμενον καὶ δια-
γωνιούμενον περὶ τῶν ὅλων." Κράλης δὲ ἀκούσας βασιλέως
οὕτως ἐμβριθῶς διειλεγμένου περὶ τοῦ πολέμου, καὶ ὁρῶν
ἀμετάθετον τὴν γνώμην ἔχοντα, καὶ γενόμενος περιδεὴς, ἐδεῖ-
το βασιλέως μὴ οὕτω πρὸς ὀργὴν ἐπὶ τὸν πόλεμον ἐξάπτε-
σθαι, ἀλλὰ λύσιν τινὰ ἐξευρίσκειν τῶν κακῶν, ὅθεν ὅ,τε πό-
P.791 λεμος καταλυθήσεται, καὶ μηδ' αὐτὸς παντάπασι μηδὲν τῶν

17. διαγωνούμενον P.

vertunt, et dum vitam suam vehementissime defendunt, ipsi vitae nullo modo parcunt. Idem sane ego hunc faciam. Nihil enim minus cupiebam, quam bello te persequi, sed, ut aequum erat, amicum et socium habere, tuisque meritis ultro mihi praestitis, quantas maximas possem, gratias referre. Quoniam tamen nihil rectum ac probum agere, neque ab urbibus, quas contra fas occupatas retines, discedere decrevisti, opus est et me aggredi, quae ex Romanorum re publica fore sentio, et excutere iugum, quod eorum cervicibus Triballi per nefas iniunxerunt. Verum nunc quidem, cum insuper conscriptae copiae nondum adsint, Byzantium revertar, instructusque hibernis mensibus, primo vere cum quam ingenti potero exercitu, magnoque apparatu in vos movebo, ea mente, ut aut proeliando occumbam, aut praeter libertatem mea opera Romanis restitutam teque populumque tuum caedibus ac servituti subiiciam. Et cum tu quoque scias, me vera loqui, ad resistendum et decertandum de summa rerum te compara." Crales, auditis tam graviter ac serio de bello dictis, cum voluntatem imperatoris immutabilem videret, admodum extimescens, precabatur, ne sic iratus ad arma ferveret: quin potius viam aliquam in his malis inveniret, qua et bello supersederetur, et ipse pro laboribus atque periculis, quae

τε πόνων καὶ τῶν κινδύνων, ὧν ὑπέμεινε τὰς πόλεις κτώμενος, ἀπόναιτο. ἐπέτρεπέ τε πάντα βασιλεῖ καὶ συνετίθετο στέργειν πᾶν, ὅ,τι ἂν αὐτῷ δοκοίη βέλτιον καὶ λυσιτελοῦν ἑκατέροις. βασιλεὺς δὲ τό,τε πάντα ἔχειν ὁρῶν ἀπονητὶ ἀδύνατον, καὶ τό τινων ἀποστερούμενον ὀλίγων μὴ συγκατατίθεσθαι πρὸς τὴν εἰρήνην, ἀλλὰ περὶ τῶν ὅλων διακινδυνεύειν βούλεσθαι ἀβουλίας, ἀδήλου μάλιστα τοῦ μέλλοντος ὄντος, καὶ τοῦ πολέμου πολλὰς ἐν τῷ μεταξὺ δυναμένου δέχεσθαι μεταβολὰς, ἄλλως θ' ὅτι καὶ βαρβάρους ἔμελλεν ἐπάγειν ἐνθυμούμενος, οἳ πλεῖστα καὶ Ῥωμαίους βλάπτουσιν, B οἷς δοκοῦσι συμμαχεῖν, καὶ τὴν ἐσομένην Τριβαλῶν φθορὰν καὶ τοὺς φόνους καὶ τοὺς ἀνδραποδισμοὺς, ὧν ἐκήδετο, καίτοι πολεμίων ὄντων, διὰ τὴν θρησκείαν, τὸ μὲν ἀληθὲς, εἶπε, καὶ δίκαιον, πρὸς Κράλην, καὶ ὃ πᾶς ὁστισοῦν ἂν ἐπιψηφίσαιτο δικαίως διαιτῶν, οὐδὲν εἶναι ἕτερον, ἢ ἐξίστασθαι Ῥωμαίοις τῶν πόλεων τῶν τοῖς ὅρκοις περιειλημμένων. ἐπεὶ δ' αὐτὸν ὁρᾷ πάνυ περιεχόμενον τῶν πόλεων, καὶ τῆς ζωῆς οὐ μικρὸν μέρος ἡγούμενον ἀφαιρεθήσεσθαι, εἰ τούτων ἀποστερηθείη, ἀδικήσειν μὲν Ῥωμαίους, πλὴν διελόμενον τὰς πόλεις, ὡς ἂν αὐτῷ δοκοίη, καὶ παραχωρήσαντα ὅσων C ἂν ἐθέλοι, εἰ μὲν καὶ αὐτῷ δοκοίη καὶ πείθοιτο αὐτοῦ τῇ ψήφῳ, τίθεσθαι εἰρήνην ἐπὶ τούτοις καὶ σπονδάς. εἰ δὲ μὴ βούλοιτο, ἐξεῖναι αὖθις πολεμεῖν τὰς πάσας ἔχοντι. καὶ αὐτίκα Ἀκαρνανίαν μὲν καὶ Θετταλίαν, Σέρβιά τε καὶ

A. C. 1350

4. τότε P. 21. καὶ ante αὐτῷ om. P.

urbibus acquirendis tolerasset, non omnino nihil reciperet: remque totam eius arbitrio permittebat, aequi bonique se facturum promittens, quidquid ipse utrisque melius commodiusque futurum iudicasset. Imperator, intelligens et omnia citra molestiam laboremque haberi non posse, et paucis quibusdam privatum paci repugnare ac de summa iacere aleam velle dementis esse, cum futura incertissima sint, et anceps ac dubia fortuna belli: ad haec barbaros se introducturum cogitans, qui et Romanis, quorum videntur socii, plurimum noceant, et Triballorum futuram cladem, caedes, servitutes, (de quibus, quanquam hostibus, nihilominus ut Dei cultor erat sollicitus,) Cralem compellans ait, veritatem et iustitiam et quod quilibet bonus aestimator calculo suo approbarit, nihil esse aliud, quam Romanis urbibus iuramento comprehensis se abdicare. Ceterum quia ipsum tantopere urbibus inescatum videat et arbitrantem, vitae partem non modicam cum illis amissurum, iniuriam quidem Romanis se irrogaturum, verumtamen iudicio suo urbes partiturum et cessurum, quot sibi placuerit, si illi etiam videatur, et suae stet sententiae, pacem super his et foedus faciendum. Si recuset, licere illi, se omnes habeatem de integro armis lacessere:

A. C. 1350 τὰς ἐντὸς τούτων πρὸς θάλασσαν πολίχνας, καὶ Βέῤῥοιαν καὶ Ἔδεσσαν, Γυναικόκαστρόν τε καὶ Μυγδονίαν μετὰ τῶν κατῳκισμένων πόλεων, καὶ τὰς περὶ Στρυμμόνα κώμας ἄχρι τῶν Φερῶν ὁρίων, καὶ Ταντεσάνου ὄρη προσαγορευόμενα, ἀπένεμε Ῥωμαίοις, Ζίχνα δὲ καὶ Φερὰς καὶ Μελενίκον καὶ Στρύμβιτζαν καὶ Καστορίαν καὶ τὰς ἄλλας Μακεδονικὰς κώμας καὶ πολίχνας, αἳ τῶν εἰρημένων ὅρων ἐκτὸς D ἦσαν, Κράλην ἔχειν· καὶ συμμαχίαν ἐπὶ τούτοις ποιεῖσθαι καὶ σπονδὰς, καὶ μηδὲν ἀλλήλους ἀδικεῖν. οὕτω μὲν ὁ βασιλεὺς διῄρει τὰς πόλεις· καὶ ἐδόκει καὶ Κράλῃ καλῶς ἔχειν, καὶ συνέβησαν ἐν τούτοις, καὶ πάντες ἥδοντο, καὶ Τριβαλοὶ καὶ Ῥωμαῖοι, πρὸς τὴν εἰρήνην. ὅ,τε βασιλεὺς εἱστία φιλοτίμως Κράλην καὶ τοὺς συνόντας ἐπ' αὐτοῦ τοῦ τόπου, οὗ αἱ συμβάσεις ἐγεγένηντο, παρόντος καὶ τοῦ νέου βασιλέως καὶ συμφιλοτιμουμένου βασιλεῖ τῷ κηδεστῇ.

P. 792 V. 633 B κβ'. Μετὰ δὲ τὸ ἄριστον συνέθεντο, ὥστε εἰς τὴν ὑστεραίαν βασιλέα μὲν ἐπιλέξασθαι πέντε Ῥωμαίων τῶν ἐν τέλει, καὶ τούτοις ἐπιτρέψαι τὴν παράληψιν τῶν πόλεων· Κράλην δὲ ἐκ τῶν οἰκείων ἴσους παρασχεῖν, ὥστε παραδοῦναι. καὶ συνταξάμενοι ἀλλήλοις, ἐπεὶ τέλος εἶχον αἱ συμβάσεις, ὁ μὲν εἰς τὸ στρατόπεδον, οἱ βασιλεῖς δὲ εἰς τὴν πόλιν ἀπεχώρουν. ἐπελθούσης δὲ νυκτὸς, τινὲς τῶν συνόντων βασιλεῦσι κρύφα ἐλθόντες πρὸς τὸν Κράλην, συνεβούλευον τὰς

4. καὶ τὰ ντε σάλου M. mg. 6. Στρίμβ. M. 20. αἱ om. P.

et mox Acarnaniam, Thessaliam, Servia, et intra has ad mare sitas, et Berrhoeam cum Edessa, Gynaecocastrum et Mygdoniam cum instauratis oppidis, et circum Strymonem vicos usque ad terminos Pherarum, et Tantessani montes appellatos Romanis attribuit; Zichna, Pheras, Melenicum, Strombitzam, Castoriam aliosque vicos et oppidula Macedonica, quae extra dictos montes erant, Cralem retinere voluit, et super his foedus societatemque inire, et abstinere damnis mutuis. Sic imperator urbes distribuit: quae distributio etiam Crali placuit: et ita inter illos convenit: paxque confecta Triballis iuxta ac Romanis gaudio fuit. Atque eodem in loco Cralem eiusque comitatum imperator ad epulas magnificas invitavit, iuniore imperatore praesente et cum socero pariter ex ea munificentia gloriam aucupante.

22. Secundum prandium pacti sunt, ut postridie imperator Romanos principes viros quinque deligeret, qui suo nomine urbes acciperent, Crales de suis totidem destinaret, qui illas pro eo traderent: finitisque conventis et salute dicta, hic ad castra, ille in urbem se retulit. Iam nox erat, cum quidam ex comitibus imperatorum clam ad Cralem adeunt hortanturque, urbes ne tradat, sed bellum ad-

πόλεις μὴ παραδιδόναι, ἀλλὰ πόλεμον αἱρεῖσθαι μᾶλλον πρὸς A. C. 1350
Καντακουζηνὸν τὸν βασιλέα, ὡς βλάπτειν δυνησόμενον ὀλίγα
ἢ οὐδέν. νῦν μὲν γὰρ ἀξιόμαχον οὐκ ἔχειν στρατιάν· ἂν
δὲ ἐπανήκῃ εἰς Βυζάντιον ὡς παρασκευασόμενος, τὸν Πα- C
λαιολόγον βασιλέα πείσειν συνθήσεσθαι πρὸς αὐτὸν, ᾗ ἂν μά-
λιστα δοκῇ καθ' ἡδονὴν, καὶ κοινῇ τὸν πόλεμον πρὸς ἐκεῖνον
ἀνελέσθαι. ἡγεῖσθαι γὰρ αὐτοὺς οὐκ ἀνεκτὸν ἐκεῖνον ἄρχειν,
βασιλέα τῆς πατρῴας ἀποστερήσαντα ἀρχῆς. καὶ ὁ Κράλης
αὐτίκα ἔνθους ἦν ὑφ' ἡδονῆς, καὶ πολλὰς ὡμολόγει χάριτας
τοῖς ἀπαγγείλασι, βασιλεῖ τε ἐπηγγέλλετο προθύμως τῷ Πα-
λαιολόγῳ συμμαχήσειν κατὰ κηδεστοῦ τοῦ βασιλέως καὶ πᾶ-
σαν ἐπιδείξεσθαι σπουδὴν καὶ εὔνοιαν πρὸς αὐτόν· ἅμα τε ἕῳ,
ἐπεὶ ἡμέρα ἦν, πέμψας πρὸς βασιλέα, ἀπηγόρευε τὴν ἐπὶ τοῖς
εἰρημένοις εἰρήνην· ἀλλ' εἰ βούλοιτο τὰς ἄρτι ληφθείσας πό- D
λεις μόνας ἔχειν, μᾶλλον δὲ καὶ ἐξ ἐκείνων ἀποδόντα, οὕτω
πείθειν αὐτὸν μὴ πολεμεῖν. εἰ δὲ μὴ βούλοιτο, παρασκευασάμε-
νον πρὸς μάχην ἐξελθεῖν· αὐτὸν γὰρ παντὶ σθένει πολεμήσειν.
τῶν μὲν οὖν Κράλη λόγων ὁ βασιλεὺς ὀλίγον ἐποιεῖτο λόγον.
ᾔδει γὰρ ὡς δυνησόμενος αὐτὸν καταναγκάζειν καὶ ἄκοντα
τὰ δίκαια ποιεῖν. σφόδρα δὲ ἤχθετο κατὰ Ῥωμαίων τῶν ἐπι-
βουλευόντων (οὐ γὰρ ἠγνόησεν, ὅθεν ἡ μεταβολὴ,) καὶ τὴν
διόρθωσιν τῶν πραγμάτων ἀπεγίνωσκε, πολέμων αὖθις ἐμ-
φυλίων καὶ στάσεων μεγάλων τὰ τοιαῦτα οἰόμενος ἀρχήν.
ὅμως καὶ οὕτως ἔχων, ἐπηγγέλλετο εἰς τὴν ὑστεραίαν ἐξε-
λεύσεσθαι πρὸς μάχην. Κράλης δὲ καὶ αὐτὸς παρεσκευά- P. 793

versus Cantacuzenum malit, qui, cum in praesentia exercitu inferior sit, parum aut nihil obesse possit. Si Byzantium redeat, ut illic se comparet, Palaeologum imperatorem permoturos, ut cum eo quibus videbitur optatissimis conditionibus paciscatur, coniunctimque bellum contra illum suscipiat. Sibi enim intolerabile videri, imperare eum, qui heredem imperii legitimum hereditate sua deiecerit. Crales statim laetitia ebrius, multas suasoribus gratias agit, seque imperatori Palaeologo contra socerum prompte affuturum, et omnem ei benevolentiam studiumque spondet. Postquam luxit, pacem certa lege constitutam renuntiavit. Sed si velit urbes nuper occupatas solas habere, imo vero, si etiam de iis adhuc quasdam reddat, sic persuasurum sibi, ut bello abstineat: si nolit, paratus ad proelium exeat; se totis viribus contra pugnaturum. Imperator Cralis verba parvi ducere: norat enim, se illum cogere in gyrum posse. Vehementer autem Romanis insidiatoribus succensebat: non enim ignorabat, unde haec eius mutatio: et rerum emendationem desperabat, ratus, bellorum rursus civilium magnarumque seditionum haec esse praeludia. Tamen, quamvis sic affectus, postridie se ad

A. C. 1350 ζετο, καὶ παραθαῤῥύνων τοὺς οἰκείους πρὸς τὸν βασιλέως πόλεμον. οὐ χρὴ δεδοικέναι, ἔφασκε, Καντακουζηνὸν τὸν βασιλέα, ἄχρις ἂν ὑπὸ τῶν οἰκείων πολεμῆται, ἀλλὰ βεβαίας ἔχειν ἐλπίδας τοῦ περιέσεσθαι καὶ τὰς ἡρπασμένας Ῥωμαίων πόλεις καθέξειν ἀσφαλῶς. ἐοικέναι γὰρ ἔφασκεν ἐκεῖνον ἐν ὕδασιν ἀνθρώπῳ καταβεβαπτισμένῳ, τοὺς οἰκείους δὲ ἐφεστῶτας, εἴ ποτε δυνηθείη ἀνακύψαι, πιέζοντας αὖθις κατα- V. 634 βαπτίζειν καὶ μήθ' ἑαυτῷ χρήσιμον, μήτ' ἐκείνοις γίνεσθαι ἐᾷν. ἂν μέντοι τῶν οἴκοι διαφορῶν ποτε ἀπαλλαγείη, τότ' ἤδη πάντων αὐτῷ ἐξίστασθαι ἑκόντας, καὶ πολλὴν πρόνοιαν B ποιεῖσθαι φίλον ἔχειν. ἀντικαθίστασθαι γὰρ πρὸς πόλεμον, ἂν τῶν οἴκοι δυσχερῶν ἀπαλλαγείη, οὔτ' αὐτὸν λυσιτελεῖν ἡγεῖσθαι, οὔτ' ἐκείνοις συμβουλεύειν. οὕτω μὲν ὁ Κράλης οὐ τῇ σφετέρᾳ μᾶλλον θαῤῥῶν δυνάμει, ἢ ταῖς διχοστασίαις καὶ διαφοραῖς Ῥωμαίων, αὖθις ὥρμητο πρὸς πόλεμον, καὶ ἐς τὴν ὑστεραίαν ἅμα ἕῳ συντάξας ἐπὶ φάλαγγας τὴν στρατιὰν, ἐχώρει πρὸς Θεσσαλονίκην ἐκ τοῦ στρατοπέδου. καὶ ὁ βασιλεὺς ὁμοίως τήν τε πεζὴν καὶ ἱππικὴν δύναμιν ἀντιπαρέταττεν ἐξαγαγών· οὐδέτερος δὲ ἐπεχείρει πολέμου ἄρχειν, ἀλλ' ἐπιπολὺ ἀτρεμοῦντα ἀντικαθίστατο ἀλλήλοις τὰ C στρατόπεδα. Κράλης δὲ πρὸς βασιλέα πέμψας, ἢ τὴν εἰρήνην ἔφασκεν αἱρεῖσθαι, ἂν ἐθέλῃ, ἔχοντας ἃ ἔχουσιν ἑκάτερον, ἢ μὴ μέλλειν, ἀλλ' ἄρχειν συμβολῆς. βασιλεὺς δὲ τὰ τῇ προτεραίᾳ εἰρημένα καὶ αὖθις ἔφασκεν αἱρεῖσθαι, καὶ

8. ἐκείνους P. 18. ἀντέταττεν M. mg.

dimicationem exiturum denuntiavit. Crales contra se parare et suos confirmare: Cantacuzenum non esse timendum, quamdiu a suis oppugnetur, sed constanter sperandum, victoriam, quaeque Romanis ademerint urbes, retenturos. Similem enim esse homini aquis submerso, quem sui adstantes, si quando emerserit, iterum sub aqua deprimunt, et neque sibi, neque ipsis commodare sinunt. Sin domesticis discordiis ac dissidiis aliquando expeditus fuerit, tum iam omnibus illi cedendum libenter, ambiendamque studiose eius amicitiam. Nam tum illi armis adversari, nec se putare conducere, nec ipsis hoc suadere. Sic Crales non sua magis potentia, quam seditionibus ac dissensionibus Romanorum confisus, de integro bellum parturiebat, et die altero prima luce per phalangas disposito exercitu, e castris Thessalonicam procedebat: similiterque imperator pedestres et equestres copias educens, in acie adversa constituebat. Neuter autem proelium ordiebatur, stabantque diu, nec se exercitus commovebant. Crales tandem imperatori nuntiat, aut pacem componendam, si utrumque retinere velit, quae habet: aut sine mora pugnam incipiendam. Renuntiare iubet imperator,

φίλον ἐθέλειν μᾶλλον ἔχειν, ἢ πολέμιον, τὰς πόλεις ἀποδόντα· A.C. 1350 ἂν δ' αὐτὸς τὸν πόλεμον αἱροῖτο, πρῶτον μᾶλλον αὐτὸν ἄρχειν συμβολῆς μικρὸν προβάντα, ὡς οὕτω καὶ αὐτὸν ὡς ἀμυνόμενον καὶ οὐκ ἄρχοντα πολέμου ἀγωνιούμενον προθύμως, ἐπιμαρτυρόμενον καὶ ἀνθρώπους καὶ θεὸν, ὡς οὐκ ἀδικεῖ, ἀλλὰ μᾶλλον ἀδικεῖται, οὐδὲ ἐπιορκεῖ καὶ κακὸς εἶναι βούλεται περὶ τὸν φίλον, ἀλλ' ἀνάγκῃ ἐφ' ἃ μὴ βούλοιτο χωρεῖ. ἂν δ' αὐτοῦ κινουμένου πρώτου, ἔφασκε, μὴ D τὸ στράτευμα ἀντεπάγῃ καὶ αὐτὸς, τὴν νίκην ἐκεῖνον ἔχειν, ὡς αὐτοῦ φυγομαχήσαντος. Κράλης δὲ ἐπεὶ ἐπύθετο τοὺς βασιλέως λόγους, πέμψας αὖθις, ἔφασκε μηδ' αὐτὸς βούλεσθαι τὴν μάχην· ἂν δὲ φαίνοιτο κινῶν τὰς φάλαγγας μετὰ μικρὸν, μὴ νομίζειν ἐπιέναι, ἀλλ' ἀναχώρησιν εἶναι τὴν κίνησιν πρὸς τὸ στρατόπεδον. τοιαῦτα ὁ Κράλης εἶπε· καὶ μετὰ μικρὸν ἀναστρέψας αὖθις ηὐλίσατο πρὸς τὸ στρατόπεδον τὴν νύκτα. καὶ βασιλεὺς ὁμοίως εἰσήλαυνεν εἰς τὴν πόλιν μετὰ τῆς στρατιᾶς. Κράλης δὲ εἰς τὴν ὑστεραίαν διαβὰς τὸν Ἀξειὸν, τὰ περὶ Ἔδεσσαν κατέδραμε καὶ περιστρατοπεδευσάμενος ἐπολιόρκει. βασιλεύς τε ἐπεὶ μὴ ἐδόκει ἔτι μέλλειν ἐν Θεσσαλονίκῃ, (πράττειν γὰρ ἔτι ἀξιόλογον οὐδὲν ἐξῆν,) παρεσκευάζετο ὡς εἰς Βυζάντιον πλευσούμενος. μέλλων P. 794 δὲ ἀπαίρειν ἤδη, πολλὰ βασιλεῖ τῷ νέῳ περὶ τοῦ μὴ πείθεσθαι παρῄνει Κράλῃ. ᾔδει γὰρ ἐπιχειρήσοντα ἐκεῖνον, αὖθις τὸν πρὸς ἀλλήλους πόλεμον κινεῖν Ῥωμαίων, ἵν' αὐτῷ

11. αὐτὸ P. 23. ἐπιχειρήσαντα M.

se hesterno die pacta praeferre, et amicum ipsum, quam hostem, malle, si urbes restituerit. Sin bellum ei optatius sit, prior paulum progressus, pugnae det initium: tum enim se non ut conflictus auctorem, sed ut sui defensorem alacriter dimicaturum, Deum atque homines testantem, non se dare, sed accipere ac perpeti iniuriam, neque fidem frangere et male mereri de amico, sed necessitatem a se exprimere, quae ipse nolit. Quodsi prior ille se moverit, nec ipse contra gradiatur, victoriam sibi quasi de fugitivo habeat. His acceptis, Crales nec se pugnae avidum esse dixit. Si phalangas paulo post moveri viderit, ne putet motum illum sui invadendi, sed in castra revertendi causa exsistere. Haec Crales. Nec diu post in castra se recipiens, ibi pernoctavit. Imperator quoque cum cohortibus suis urbem repetivit. Crales, Axio transmisso, et finitimos Edessae locos depraedatus, ipsam obsidere instituit. Imperator cum diutius Thessalonicae commorandum non putaret, quod nihil memorabile agendum restaret, Byzantium navigationem comparabat. Discessurus iuniorem imperatorem maiorem in modum hortabatur, ne Crali fideret. Iam enim rursus aggressum bello ci-

A.C. 1350 ἐξῇ τὰς πόλεις ἔχειν, ἐκείνων ἀσχολουμένων πρὸς ἀλλήλους.
καὶ συνεβούλευε φυλάττεσθαι τὴν ἐπιβουλήν. οὐδὲ γὰρ εἶναι
περὶ μικρῶν, ἀλλὰ περὶ τῆς ἀρχῆς αὐτῆς ἐπιβουλεύειν, καὶ
τὴν βλάβην οὐκ αὐτῷ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἔσεσθαι
Ῥωμαίοις· καίτοι γε ἐκεῖνον τῶν ὄντων τὰ ἐναντία κατα-
ψεύσεσθαι, φάσκοντα προθύμως συμμαχήσειν ἐπὶ τῷ τὴν
πατρῴαν ἀνασώζεσθαι ἀρχὴν ἀφῃρημένην, καὶ ἀμύνεσθαι
B τὸν ἠδικηκότα, ἄδηλον ὄν, εἰ μὴ μόνον οὐκ ἀποδώσει τὴν
ἀρχὴν, ὥσπερ ἐπαγγέλλεται, ἀλλὰ καὶ περὶ τῆς ζωῆς ἐπιβου-
λεύσει. τούτων δὲ αὐτῷ πείθεσθαι μηδὲν σαφῶς εἰδότα,
ὡς ἀπάτῃ πάντα συσκευάζεται, ἵνα μᾶλλον ἀφέληται αὐτὸς
τὴν οὖσαν ἀσφαλῶς. εἰ δ' ἀμελήσας τῶν παραινέσεων πεί-
θοιτο αὐτῷ, τότε εἴσεται τὴν βλάβην, ὅτε μήτ' αὐτῷ μηδὲν,
μήτε τοῖς ἄλλοις ὄφελος ἐκ τοῦ εἰδέναι ἔσται. οὐδὲ γὰρ
οὐδὲ τοῖς πρωτοπλάστοις συνήνεγκε τοῦ παραδείσου ἐκβλη-
θεῖσι τὸ εἰδέναι, ὡς ἠπάτηνται τῷ ὄφει. τοιαῦτα καὶ ἕτερ'
ἄττα πλείω παραινέσας καὶ συνταξάμενος, ἀπέπλει, Ἀσά-
νην Ἀνδρόνικον τὸν κηδεστὴν μετὰ βασιλέως τοῦ νέου κατα-
λιπών. Κράλης δὲ ὀλίγῳ ὕστερον ἢ ὁ βασιλεὺς ἀπῆρεν ἐκ
C Θεσσαλονίκης, Ἔδεσσαν ἐπόρθησεν, ἑλὼν τινων προδοσίᾳ τῶν
V. 635 τἀκείνου ᾑρημένων. συντέθειτο γὰρ αὐτοῖς κλίμακας κατασκευ-
ασάμενον, ἐπὶ τειχομαχίαν ἥκειν, αὐτοὺς δὲ σημεῖον ἄραντας
ἐπὶ τῶν τειχῶν, ἐφ' ὧν ἑστᾶσιν, ἥκειν ἐπ' ἐκείνους μετὰ τῶν κλι-
μάκων. ἄδειαν δὲ ἐκείνων παρεχομένων καὶ ἀμυνομένων τοὺς

3. μικρὸν P.

vili Romanos implicare, ut, iis inter se dimicantibus, ipse urbes sibi habeat: et monebat, caveret insidias, quae non res parvas, sed imperium ipsum attingerent: unde non ad ipsum duntaxat, sed ad alios quoque Romanos calamitas redundaret. Tametsi is aliud, quam res est, loquens et mentiens, dicat, impigre se ipsum adiuturum, quo paternum imperium a raptore recuperet eumque ulciscatur: cum dubitetur, an non solum ei imperium non restituturus, quod tamen polliceatur, sed etiam vitae eius insidias instructurus sit. Nullam ei fidem horum commodet, certoque sciat, omnia haec artificiose strui, ut potius ipse quod reliquum est imperii secure devoret. Si, spretis admonitionibus, Crali crediderit, tunc cogniturum esse, quantum damni fecerit, quando nec ipsi, nec aliis ullum fructum ea cognitio datura sit. Neque enim protoplastis paradiso eiectis a serpente deceptos esse cognoscere profuisse. Haec et plura cum admonuisset, Andronicum Asanem socerum cum iuniore imperatore relinquens, dicto vale, solvit. Crales paulo post eius Thessalonica discessum, quibusdam de factione sua prodentibus, Edessam cepit, captam evertit: cum quibus pepigerat, ut, paratis scalis, signum de muro ipsis sustollentibus, accederet. Tum iidem arcen-

ἔνδον μᾶλλον, ῥᾳδίαν ἔσεσθαι τὴν ἅλωσιν. ὅπερ δὴ καὶ ἐγί- A. C. 1350
νετο κατὰ τὸ σύνθημα. καταστάντων γὰρ εἰς τὴν τειχομα-
χίαν, τοῖς τε προδιδοῦσιν ἦρετο τὸ σημεῖον ἀπὸ τῶν τειχῶν,
καὶ ὁ Κράλης τὰς κλίμακας ἔχων, ἐχώρει πρὸς ἐκείνους·
ἀδείας δὲ τυχόντες, ἀνέβαινον ἐπὶ τὰ τείχη, καὶ καθῄρουν
αὐτίκα προσπεσόντες, ἕως ἐποίησαν καὶ ἵπποις βάσιμα· ἦν D
γὰρ οὐδὲ ὕψους ἔχοντα ἱκανῶς. Λυζικὸς δὲ ὁ τῆς πόλεως
ἄρχων, αἰσθόμενος τὴν προδοσίαν, ἐχώρει μὲν ἐπ' ἐκείνους
ἔχων τοὺς περὶ αὐτὸν, ἤνυε δὲ οὐδὲν, καθῃρημένων ἤδη τῶν
τειχῶν· ἀλλ' ἀναστρέψας ἔσπευδεν ἐπὶ τὴν ἄκραν. καὶ οἱ
ἐκ Βυζαντίου παρὰ βασιλέως καταλελειμμένοι διακόσιοι φρου-
ροὶ, ὡς ᾔσθάνοντο τὴν πόλιν ἑαλωκυῖαν, ἀνεχώρουν καὶ αὐ-
τοὶ ἐπὶ τὴν ἄκραν. Κράλης δὲ ἐπεὶ τὴν πόλιν εἶχεν, ἐχώ-
ρει ἐπ' ἐκείνους τεθορυβημένους ἔτι ἀπὸ τῆς τροπῆς. καθι-
σταμένων τε πρὸς μάχην, ὁ Λυζικὸς ἐτέτρωτο βέλει τὸν μη-
ρὸν, ἀμυνόμενος ἀπὸ τοῦ πύργου. ἦν γὰρ ἀνεπισκεύαστος
ἡ ἄκρα. καὶ αὐτίκα ἡ φρουρὰ τὰ ὅπλα παρεδίδουν, πίστεις
λαβόντες ἐπὶ τῷ μηδὲν ἀνήκεστον παθεῖν. ἐπεὶ δὲ καὶ ἡ ἄκρα P. 795
εἴχετο, τὴν μὲν φρουρὰν καὶ Μακροδούκαν τὸν ἄρχοντα ἀπέ-
λυσεν ὁ Κράλης κατὰ τοὺς ὅρκους, τὰ ὅπλα μόνον ἀφελόμε-
νος, Λυζικοῦ δὲ τὸ γένειον ἐπ' αὐτοῦ τίλλεσθαι ἐκέλευεν,
οὐ μόνον διὰ τὸ ἀντιστῆναι τότε, ἀλλ' ὅτι καὶ βασιλέως Ἀν-
δρονίκου περιόντος, ἐν Καστορίᾳ μεγάλων αἴτιος αὐτῷ κατέ-
στη συμφορῶν. ἔπειτα ἐκέλευε δεθέντα ἄγεσθαι τὴν ἐπὶ

20. καὶ post ὅρκους add. P. 23. αὐτῷ om. P.

tes, qui intus propugnarent, securitatem facerent, ut ita urbs facilius caperetur. Res secundum pacta transigitur. Nam cum in eo essent, ut muros oppugnarent, proditoresque signum inde dedissent, Crales scalas admovit, milites impune adscenderunt, statimque irruentes ita eos diruerunt, (non enim erant alti,) ut equis pervios redderent. Lyzicus praefectus urbem proditam conspiciens, cum praesidio contra vadit: sed muris iam prostratis, actum agere se intelligens, in arcem festinus recurrit. Similiter Byzantii ducenti, ab imperatore in praesidio relicti, ubi urbem captam senserunt, ipsi quoque in arcem refugerunt. Crales urbe potitus, in illos adhuc ex fuga pavitantes tetendit. Cum e turri se tuerentur, (arx enim nondum reparata erat,) et Lyzicus femur sauciatus esset, subito praesidiarii arma tradiderunt, fide accepta, nihil incommodi perpessuros. Ut autem et arx in potestatem venit, praesidium et Macroducam praefectum Crales, ut iurarat, armis tantum ablatis, dimisit: Lyzico in conspectu suo barbam velli iussit, non solum quia tum restitisset, sed quia etiam Andronico vivo apud Castoriam non parvae calamitatis ipsi auctor fuisset. Deinde vinctum Scopiam, ibi poenas

A. C. 1350 Σκοπιάν, ὡς ἐκεῖ τῶν τολμημάτων δίκας δώσοντα. ὁ δὲ ὑπὸ τοῦ τραύματος ἀμεληθέντος καὶ τῆς ἄλλης δυσπραγίας ἐτελεύτησε μεταξὺ ἀγόμενος. Κράλης δὲ ἐφῆκε τὴν πόλιν τοῖς B στρατιώταις διαρπάζειν· καὶ ἐπόρθησάν τε καὶ ἐνέπρησαν τὰς οἰκίας· τῶν οἰκητόρων δὲ τὸ μὲν πλεῖστον καὶ ἄριστον ἐξήλασε γυμνὸν μάλιστα ἐν ἀκμῇ τοῦ χειμῶνος, Ἰανουαρίου ἄρτι ἱστα-
A. C. 1351 μένου, καὶ διεσκεδάσθησαν κατὰ Βέῤῥοιαν καὶ τὰς ἄλλας πόλεις. ὁ δὲ ἄπορος παντάπασι καταλέλειπτο ἐκεῖ ἐπὶ τὰς ὑπολειπομένας καταφυγὼν οἰκίας. αὐτὸς δὲ ἐπεὶ καὶ χειμὼν ἐπεγένετο ἐξαίσιος, φρουρὰν ἐπὶ τὴν ἀκρόπολιν καταλιπὼν, πρὸς τὴν οἰκίαν ἀνεχώρει. ἐλέγετο δὲ ὑπὸ χειμῶνος στρατιώτας τε καὶ τῶν σκευοφόρων ὑποζυγίων πλεῖστα τῷ στρατοπέδῳ ἐναποθανεῖν. βασιλεὺς δὲ εἰς Βυζάντιον ἐπα-
C νελθὼν ἐπυνθάνετο περὶ τοῦ Μυσῶν βασιλέως Ἀλεξάνδρου, ὅτι πλεῖστα ἀνιῷτο διὰ τὴν τῶν βαρβάρων ἔφοδον ἀπροσδόκητον γεγενημένην καὶ μέγιστα κακώσασαν τὴν γῆν αὐτοῦ. ὑπώπτευε δὲ οὐκ ἀφ' ἑαυτῶν τοὺς βαρβάρους ἐπελθεῖν, ἀλλὰ βασιλέως πέμψαντος, ὃ καὶ μάλιστα ἠνία, ὅτι, μηδεμίαν πρόφασιν αὐτοῦ πρὸς τὸν πόλεμον παρεσχημένου βασιλεῖ, παρασπονδῶν αὐτὸς κακῶς ποιεῖ τὴν χώραν. πέμψας δὲ ὁ βασιλεὺς πρεσβείαν πρὸς αὐτὸν, πρῶτα μὲν περὶ τῶν βαρβάρων τῆς ἐφόδου ἀπελογεῖτο, μὴ κατὰ γνώμην ἐκείνῳ γεγενῆσθαι, ἀλλ' αὐτοὺς ἀφ' ἑαυτῶν μεγάλα δυναμένους, ἅττα ἂν δοκῇ ποιεῖν. τοῦτο δὲ συμβαίνειν οὐ μᾶλλον διὰ τὴν ἐκείνων δύναμιν,

11. οἰκείαν M.

audaciae excepturum, duci mandavit. Qui et propter neglectam curationem vulneris et alioqui propter hunc casum suum in ipsa via decessit. Crales militi urbem diripiendam, incendendam evertendamque permisit. Incolarum pars maxima et praecipua, summa hieme, novo nimirum Ianuario, nuda expellitur, perque Berrhoeam et alias urbes dissipatur. Egentissimus quisque ad aedes relictas confugiens, ibi relinquitur. Crales, hieme saeviente, imposito in arcem praesidio, domum redit. Fama vulgavit, milites et animalia vectoria plurima frigoris acerbitate in castris emortua. Byzantium reversus imperator de Moesorum rege Alexandro quaerit: singularem quippe ex eo moestitudinem capiebat, quod Persae in eius regnum inopinato irruentes, cladem ei gravissimam intulerant. Incessebat enim Alexandrum suspicio, non suopte nutu, sed missu imperatoris irrupisse barbaros: quae res vehementissime illum cruciabat, quia, cum ei nullam ansam hostilia machinandi praebuisset, tamen, contempto foedere, ab eo vexaretur. Missa igitur legatione, primum quidem de incursione barbarorum respondit, non eam sua voluntate factam, sed ipsos per se potentes, cupiditatibus suis mo-

ἢ διὰ τὸ μὴ αὐτοὺς ἐθέλειν τῆς πλεονεξίας ἀποστάντας καὶ A.C. 1351
τῶν ἀλλοτρίων τῆς ἐπιθυμίας, ἀλλήλοις ὅση δύναμις ἐπιμα- D
χεῖν καὶ ἀνείργειν τοὺς βαρβάρους, ῥᾷστα δυναμένους, εἰ
συμφωνήσαιεν. εἰ γὰρ ἐβούλετο Κράλης τὰς ἡρπασμένας
πόλεις ἀποδιδόναι καὶ τὰ δίκαια ποιεῖν κατὰ τοὺς ὅρκους, V.636
οὐκ ἂν αὐτῷ ἐδέησε βαρβάρων πρὸς τὴν συμμαχίαν πάν-
των μάλιστα ἀπεχθῶς πρὸς αὐτοὺς διακειμένῳ, ἀνάγκῃ δὲ
χρωμένῳ, ἵνα τά τε ὄντα διασώζοι καὶ τὰ ἡρπασμένα, εἰ
δύναιτο, ἀνακαλοῖτο. πρὸς μὲν οὖν ἐκεῖνον ποιήσειν, ὅ,τι
ἂν δοκῇ μάλιστα λυσιτελεῖν, αὐτῷ δὲ συμβουλεύειν, συναί-
ρεσθαι αὐτῷ πρὸς τὸ κωλύειν τοὺς βαρβάρους ἀδεῶς, ὅταν
δοκῇ, πρὸς τὴν Θρᾴκην περαιοῦσθαι. τοῦτο δ' ἂν γένοιτο, εἰ
χρήματα παρέχοιτο τακτὰ πρὸς τῶν τριηρέων τὴν παρασκευήν.
αὐτὸν μὲν γὰρ εὐπορεῖν τῆς ναυτικῆς δυνάμεως, δεῖσθαι δὲ P.796
χρημάτων, ἐξ ὧν ἂν τραφείη· ὧν εἰ καὶ αὐτὸς παράσχοιτο
ὅσα δυνατὰ, τριήρεις ἐπιστήσει κατὰ τὸν Ἑλλήσποντον, αἳ
παραπλέουσαι οὐκ ἐάσουσι τοὺς βαρβάρους περαιουμένους
βλάπτειν. καὶ τοῦτον τὸν τρόπον τῆς ἐκείνων ἀπηλλάχθαι
περιέσται βλάβης. ἂν δὲ μὴ Κράλης ἐθέλῃ ποιεῖν τὰ δί-
καια πρὸς ἀμφοτέρους, (εἰδέναι γὰρ καὶ αὐτὸν ὑπ' ἐκείνου
ἀδικούμενον οὐ μικρά τινα,) εἰ μὴ ἡ παροῦσα δύναμις ἐξαρ-
κεῖ ἐκεῖνον καταναγκάζειν τὰ δέοντα ποιεῖν, τότε χρήσεσθαι
καὶ τοῖς βαρβάροις τοσούτους ὑπ' αὐτῶν περαιουμένους, ὅσους

rem gerere. Nec tamen magis istuc propter illorum potentiam evenire, quam quod ipsimet nolint avaritia et appetitione rerum alienarum desistentes, pro virili iuvare mutuum et coërcere barbaros, quod facile possent, si conspirarent. Etenim si Crales ereptas urbes restituere, et ut iuraverat, conservare iustitiam voluisset, non sibi societatem barbarorum requirendam fuisse, quos pessime oderit: necessario autem iis uti, quo et praesentia tueatur, et abrepta, si possit, recuperet. Adversus Cralem igitur se facturum, quod inprimis commodaturum videatur: ipsi autem se hoc dare consilii, uti ad barbaros in Thraciam nullo metu ac pro libidine traiicientes prohibendos secum vires coniungat. Hoc fieri posse, si pecuniae ad apparatum triremium constitutae pendantur: sibi navales copias non deesse, deesse autem pretium, unde alimenta provideantur: quod si ille pro facultate eroget, triremes in Hellespontum deducturum, quae oras praeternavigando barbaros traiicere ac nocere continenti non sinant. Et hoc modo eorum vexationes licere effugere. Quodsi Crales praestare se ambobus, qualem decet, noluerit, (constare enim sibi, eum quoque laesum ab illo graviter,) si praesens eum copia ad officium cogere nequiverit, tunc et barbarorum ope usuros, traiecta eorum auctoritate tanta multitudine, quan-

A. C. 1351 ἄγεσθαι οἷ ἂν ἐθέλωσι, καὶ μὴ πολλοὺς ὄντας, ἀφοβίᾳ τρέ-
B πεσθαι ἐπὶ σφᾶς καὶ διαφθείρειν. τοιαῦτα μὲν ὁ βασιλεὺς πρὸς τὸν Ἀλέξανδρον ἐπρεσβεύετο. καὶ ἐδόκει κἀκείνῳ ἡ βασιλέως παραίνεσις λυσιτελεῖν, καὶ συνετίθετο πρὸς τὴν πρᾶξιν· συμβὰν δέ τι καὶ τοιοῦτον ἐπέῤῥωσε μᾶλλον πρὸς τὸ ἔργον. ἑορτῆς γάρ τινος δημοσίας ἀγομένης ἐν Τρινόβῳ τοῖς αὐτοῦ βασιλείοις, καὶ ὄχλου πλείστου συνεῤῥυηκότος, ἐπεὶ παρῄει δι' ἐκείνων, καὶ τῶν βασιλέως ἑπομένων πρέσβεων, τῇ σφετέρᾳ διαλέκτῳ πάντες ἐπεβόων, ὡς δεῖ Καντακουζηνῷ τῷ βασιλεῖ πάντα ποιεῖν τὰ κατὰ γνώμην καὶ τὴν
C εἰρήνην ἐκ παντὸς τρόπου τὴν πρὸς αὐτὸν αἱρεῖσθαι, ἵνα μὴ ἐκπολεμωθέντος, ἀπόλωνται αὐτοὶ διαφθαρέντες ὑπὸ τῶν βαρβάρων, καὶ ἐδέοντο πείθεσθαι αὐτοῖς. Ἀλεξάνδρου δὲ τῶν πρέσβεων πυνθανομένου, εἰ τῶν εἰρημένων ἐπαΐουσιν, ἐπεὶ ἀγνοεῖν ἐκεῖνοι ἔφασαν, ἡρμήνευεν αὐτὸς ἑλληνιστὶ, καὶ τεκμήριον ἐποιεῖτο μέγιστον τοῦ ὄχλου τὴν ἀξίωσιν τοῦ σφίσι μάλιστα λυσιτελεῖν τὴν πρᾶξιν, ὅτι καὶ μηδ' ὑφ' ἑνὸς ἐρωτώμενοι, τὰ σφίσι συμβουλεύουσι συνοίσοντα. αὐτίκα τε ἐπιψηφισάμενος, καὶ αὐτὸς ἐξέπεμπε τοὺς πρέσβεις. βασιλεὺς δὲ πυθόμενος, ὡς προθύμως δέξαιτο Ἀλέξανδρος τὴν παραίνεσιν καὶ βούλοιτο παρέχεσθαι χρήματα πρὸς τὴν πα-
D ρασκευὴν, ὑπερήσθη τε, δυνήσεσθαι νομίσας ἀπείργειν τοὺς βαρβάρους τοῦ μὴ Ῥωμαίους καὶ Μυσοὺς ἐπιόντας διαφθείρειν, καὶ ὥρμητο παρασκευάζεσθαι ἤδη πρὸς τὸ ναυτικὸν συ-

tam ducere quocunque voluerint: et ita, in hostes paucos intrepide facto impetu, eis vitam ademturos. Haec fuit legationis sententia. Regi cohortatio imperatoris visa est conducibilis, reique gerendae societatem pactus est. Evenit autem quiddam, quod ei ad hoc operis animos addidit. Cum enim Trinobi, ubi sedes illi, publica laetitia dies festus ageretur plurimique mortales aliunde concurrissent, dum per eos transit, legatis imperatoris prosequentibus, omnes, sua quique lingua, acclamarunt, Cantacuzeno gratificandum per omnia, et omnimodis pacem cum eo conficiendam, ne, si is ad bellum irritetur, ipsi barbarorum gladiis intereant, et orabant voti compotes fieri. Alexandro autem legatos interrogante, ecquid audita intelligerent, cum negassent, Graece illis interpretatus est, populique petitionem pro augurio maximo habuit, bene ipsis rem processuram, quod etiam a nemine interrogatus, quae sibi expedirent, suasisset: statimque et ipse petitis suffragatus, legatos dimisit. Imperator cognoscens, Alexandrum hortationi suae benignas aures commodasse et velle pecuniam ad apparatum conferre, mirabiliter gavisus est, ratus, se posse barbaros reprimere, ne Romanos et Moesos incursando vastarent, et accingi ad expeditionem navalem barbaris pro-

στήσασθαι ἐπὶ κωλύσει τῶν βαρβάρων. τό,τε νεώριον τὸ A.C. 1351
πρὸς τῷ Ἑπτασκάλῳ ἐν ἐκείνῳ τῷ ἔτει ἐξεκάθηρεν, ὑπὸ πολ-
λῶν ἐτῶν ἰλύος ἐπιγενομένης προσχωσθὲν καὶ μὴ δυνάμενον
εὐπετῶς εἰσδέχεσθαι ὁλκάδα φόρτον ἄγουσαν, μέγα ἔργον
καὶ πλεῖστα λυσιτελοῦν τῇ πόλει, καὶ πολλῷ πόνῳ καὶ ἀνα-
λώμασι κατορθῶσαι δυνηθείς. ἔληγον δὲ εἰς οὐδὲν αἱ τοῦ
Μυσοῦ ἐπαγγελίαι. ὕστερον γὰρ ὀλίγῳ πρὸς βασιλέα πρε-
σβείαν πέμψας, ἀπηγόρευε τὴν εἰσφοράν. Κράλην γὰρ ἔφα-
σκε πυθόμενον, οὐ μετρίως αὐτοῦ κατηγορεῖν, ὅτι φόρους P. 797
Ῥωμαίοις παρέχειν ὑποσταίη ἑκοντὶ, καὶ ἃ μὴ τοῖς ὅπλοις
δύναιτο βιάζεσθαι βασιλεὺς ὁ Καντακουζηνὸς, ταῦτα πείσεις
παραγαγών. δι' ἃ μηδ' αὐτὸν τὰ ὑπεσχημένα δύνασθαι
ποιεῖν, τοσαύτην αἰσχύνην προστριβόμενα αὐτῷ καὶ γένει.
ἐφ' οἷς οὐ μετρίως ἀγανακτῶν ὁ βασιλεὺς, ἐπεχείρει πεί-
θειν, ὡς μᾶλλον αὐτῷ λυσιτελοίη ἡ αὐτοῦ παραίνεσις, ἢ
Κράλη. φθονοῦντα γὰρ ἐκεῖνον καὶ ἐπιβουλεύοντα ἀεὶ
ταῦτα πειρᾶσθαι διαλύειν, ἃ πολλὴν αὐτῷ καὶ τοῖς ὑπη-
κόοις οἴσει τὴν ὠφέλειαν. οὐ γὰρ παρέχειν φόρους, ὥσπερ V. 637
ἐκεῖνος ἀπατᾷ, ἀλλ' ἀναλίσκειν εἰς δέον ὑπὲρ τῆς ἀρχῆς, πλὴν
εἰ μὴ καὶ τὰ τοῖς σφετέροις στρατιώταις παρεχόμενα φό- B
ρους ὀνομάσει. ἀλλ' ἦν οὐδὲν ἀξιόχρεων τῶν λεγομένων εἰς
πειθώ. βασιλεὺς δὲ τὴν ἐσομένην αὐτῷ φθορὰν ὑπὸ τῶν
βαρβάρων προειπὼν καὶ διαμαρτυράμενος, ὡς τότε τῆς νυνὶ
μεταμελήσει ἀβουλίας, ὅτε μηδὲν ἀπόνασθαι ἐξέσται τῆς

16. φρονοῦντα P.

hibendis constituit, navaleque in Heptascalo, pluribus annis luto ibidem exaggerato, ut onerariam cum onere haud commode posset excipere, illo anno expurgavit, potuitque magnum et civitati utilissimum opus multo labore multoque aere feliciter conficere. Ceterum Moesi promissa venti rapuerunt: non diu enim post per legatos de pecunia collatitia retractavit. Cralem quippe, re audita, non leviter reprehendisse, quod tributa Romanis ultro promisisset, et quae armis obtinere Cantacuzenus nequiret, haec sibi dolo persuaderi sustinuisset. Quare se promissa tantum dedecus sibi ac generi suo inurentia persolvere non posse. Hac de causa non parum indignatus imperator, docere aggressus est, suam, quam Cralis, admonitionem illi fructuosiorem fore: qui, ut homo invidus et insidiosus, semper ea disturbare nitatur, quae ipsi Alexandro eiusque populo valde conductura sint. Non enim Alexandrum tributa pendere, ut ille fraudulentus comminiscatur, sed in rebus imperio necessariis collocare pecuniam: nisi quae suis ipsemet militibus stipendia solvit, tributa nominet. Verum nihil horum ad Alexandrum inducendum satis valebat. Imperator imminentem a barbaris cla-

A. C. 1351 μεταμελείας, ἐπέπαυτο πρὸς τὴν ἐπιχείρησιν καὶ αὐτός. ἃ εἰς ὕστερον ἅπαντα ἐξέβαινε.

C κγ'. Μετὰ τοῦτο δὲ ὁ βασιλεὺς σύγχυσιν δεινὴν καὶ ἀταξίαν ὁρῶν ἐν τῇ ἐκκλησίᾳ γινομένην, καὶ τῆς κοινωνίας τῶν λοιπῶν ἀφισταμένους τοὺς τὰ Βαρλαὰμ καὶ Ἀκινδύνου ᾑρημένους, πολλούς τε τούτοις συναπαγομένους, διαστροφήν τε τῶν ὀρθῶν δογμάτων ἐγκαλοῦντας τῇ ἐκκλησίᾳ καὶ τὴν δίκην ἐπιβοωμένους καὶ παρενοχλοῦντας ὁσημέραι καὶ δεομένους ἀντικαθίστασθαι πρὸς τὴν ἐξέτασιν, Καλλίστου τε ὁμοίως τοῦ πατριάρχου καὶ τῶν ἄλλων ἀρχιερέων καὶ τῶν D λογάδων τῶν μοναχῶν, ὅσοι τοῖς ἀποσχισταῖς ἐναντία ἐφρόνουν ἐν τοῖς δόγμασι, δεομένων καὶ αὐτῶν ὁμοίως σύνοδον συγκροτεῖν καὶ τῶν δογμάτων τὴν ἐξέτασιν ποιεῖσθαι, δίκαιον εἶναι οἰηθεὶς μὴ τοιαῦτα γινόμενα περιορᾷν, ἀλλὰ τῆς κατὰ τὴν ἐκκλησίαν εἰρήνης προνοεῖσθαι ὅση δύναμις, ἐπέτρεπε τὴν σύνοδον γενέσθαι. καὶ τούς τε ἄλλους μετεπέμπετο ἀρχιερέας γράμμασι καὶ τὸν Θεσσαλονίκης Γρηγόριον τὸν Παλαμᾶν, καίτοι βασιλεὺς εὐθὺς ἐξαρχῆς μετὰ τὸ πεπαῦσθαι τὸν συγγενικὸν πόλεμον καὶ πᾶσαν ὑπ' αὐτῷ τὴν Ῥωμαίων ἡγεμονίαν γεγενῆσθαι, ἀναγκαῖον οἰηθεὶς ὥσπερ τὰς κοσμικὰς διαφορὰς, οὕτω δὴ καὶ τὰς τῆς ἐκκλησίας παύεσθαι, τὸν Ἀκίνδυνον Γρηγόριον ἔτι περιόντα, ὅστις τῆς τοι- P. 798 αύτης διαφορᾶς μετὰ Βαρλαὰμ μάλιστα προέστη, οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις μετεπέμψατο, καὶ ἐκέλευε τῶν ἀντικαθι-

6. συναγομένους M.

dem ei praedicens et testificans, tunc propter istam amentiam poenitudine tactum iri, quando poenitere nihil proderit, hortatione destitit. Quae omnia postmodum ita acciderunt.

23. Post haec imperator confusionem horribilem et turbas in ecclesia excitatas intuens, atque a communione reliquorum discessisse Barlaami et Acindyni sectatores, multosque ab iis seductos, et illos ecclesiam perversorum dogmatum accusare, et iudicium postulare, tumultuantes quotidie rogantesque ad rationem reddendam se vocari, Callisto patriarcha et aliis episcopis monachorumque primariis, quod seditiosis ac distractoribus illis contraria sentirent, similiter orantibus synodum congregari et dogmata examinari, aequum existimans, non haec vili pendere, sed, quantum posset, ecclesiae paci consulere, synodum agi permisit: et cum alios episcopos, tum Gregorium Palamam Thessalonicensem litteris accersivit. Quanquam statim ab initio, postquam fluctus belli civilis resederunt, totius iam compos imperii, necessarium reputans quomodo civiles, sic etiam ecclesiasticas sedare lites atque controversias, Gregorium Acindynum adhuc superstitem, (qui cum Barlaamo huic dissidio au-

σταμένων ἀναφανδὸν κατηγορεῖν, εἴ τι ἔχοι. μάλιστα γὰρ A.C. 1351 αὐτὸν, εἰς λόγους ἀλλήλοις ἐλθόντων τῶν μερῶν, βούλεσθαι εἰδέναι τἀληθὲς, ἐκ τῶν πρὸς ἀλλήλους ἀντιλογιῶν γινομένου ἐναργοῦς. Ἀκίνδυνος γὰρ αὐτὸς μὲν παῤῥησιάζεσθαι οὐκ ἐθάῤῥει, ἑτέρους δέ τινας προσπέμπων τοὺς αὐτῷ φρονοῦντας ἴσα, βασιλεῖ δι' ὄχλου γίνεσθαι παρέπειθε, καὶ τὴν δίκην ἐξαιτεῖσθαι, ὡς ἀδικουμένους καὶ διαστροφὴν ἐγκαλουμένους τῶν ὀρθῶν δογμάτων, τῶν περὶ Παλαμᾶν μᾶλλον τοιούτων ὄντων καὶ δικαίων ἐξωθεῖσθαι. δι' ἃ ὁ βασιλεὺς B Ἀκινδύνῳ μᾶλλον παῤῥησίας μετεδίδου, καὶ ἐκέλευε μὴ αὐτὸν κρυπτόμενον δι' ἑτέρων τὴν διαφορὰν ἀνακινεῖν, ἀλλ' αὐτὸν ἐν φανερῷ τοῖς ἐναντίοις ἀντικαθιστάντα, ἢ νικᾶν, ἂν φαίνηται μᾶλλον αὐτὸς εὐσεβέστερα πρεσβεύων, ἢ ἡττώμενος διορθοῦσθαι, καὶ μὴ ἀναισχυντεῖν, ἐφ' οἷς αὐτὸς ἀδι- V.638 κεῖ μᾶλλον ἑτέροις τὴν παρατροπὴν τῆς ἀληθείας ἐγκαλῶν. Ἀκίνδυνος δὲ, ἀπηγγελμένων αὐτῷ τῶν βασιλέως λόγων, μάλιστα μὲν ἔφασκε βούλεσθαι ἀντικαθίστασθαι τοῖς ἀντιλέγουσι, δεδοικέναι δὲ, μὴ φανερὸς γενόμενος δίκας ἀπαιτῆται, ὧν καὶ αὐτὸς παρὰ τὸν τοῦ πολέμου χρόνον τῷ πατριάρχῃ Ἰωάννῃ συναιρόμενος προσέκρουσε πρὸς βασιλέα. καὶ ὁ βα- C σιλεὺς αὐτίκα θέσπισμα ἐξετίθει, ὥστε μηδεμίαν Ἀκίνδυνον βλάβην ὑφορᾶσθαι, ἀλλὰ παῤῥησίᾳ περὶ τῶν δογμάτων λέγειν ὅσα οἴεται εἶναι ἀληθῆ. ὁ δὲ καὶ μετὰ τὴν τοσαύτην

12. ἀντικαθιστάντα M. 21. ἐτίθει M. mg.

ctor et patronus fuit,) non semel, sed saepius advocavit, et adversarios, si quid haberet, manifeste reos peragere iussit: maxime enim se, partibus disceptantibus, veritatem ex mutua contentione elucentem velle cognoscere. Acindynus siquidem ipse libere loqui non audebat, sed alios quosdam farinae suae allegans, suadebat eis nequiter, ut imperatorem turbarent et actionem, tanquam laesi deque corruptela rectorum dogmatum falso accusati, postularent, cum potius socii Palamae tales essent et proscribi mererentur. Quocirca imperator maiorem Acindyno libertatem impertiebat, hortans, ne se occultaret, aut per alios controversias suscitaret, sed palam ac per se adversariis resistens, aut vinceret, si magis pietatem ipse colere videretur, aut victus corrigeretur: neve impudenter ageret, aliis dissensionem a veritate exprobrans, cum in eo ipsemet scelus admitteret. Ille, verbis imperatoris sibi renuntiatis, percupere se dixit palam respondere adversariis, timere autem, ne, si publico se credat, poenas reposcatur eorum, in quibus, patriarchae Ioanni belli tempore subserviens, imperatorem offenderit. Imperator statim edictum proponit, ut Acindynus nihil durius formidans, de dogmatis quae vera putet, citra metum expromat. Nihilo minus ille, etiam

A. C. 1351 ἄδειαν μᾶλλον ἀφανὴς ἦν καὶ τὸν ζόφον ᾑρημένος ἄχρι τελευτῆς. καὶ μετὰ τὴν ἐκείνου τελευτὴν οἵ τε πρότερον τὰ ἴσα ᾑρημένοι, διαδεξάμενοι τὴν διαφορὰν, ἔτι τε ὁ τῆς Ἐφεσίων πρόεδρος καὶ ἄλλοι, ὅσοι αἱρεθήσεσθαι ἐλπίζοντες ἐπὶ τῶν πατριαρχικῶν θρόνων ἠγανάκτουν διὰ τὴν ἀποτυχίαν, προσθέμενοι ἐκείνοις, καίτοι Βαρλαάμ τε καταψηφισάμε- D νοι τὴν ἀρχὴν καὶ ὕστερον κατὰ Ἰωάννου τοῦ πατριάρχου καὶ Ἀκινδύνου πνεύσαντες σφοδρὸν, καὶ ψήφοις ἁπάσαις ἐκεῖνον καθελόντες τῆς ἀρχῆς δι' οὐδὲν ἕτερον, ἢ τὸ τὰ Βαρλαὰμ καὶ Ἀκινδύνου πεπρεσβευκέναι, ἐθορύβουν τε ὕστερον καὶ τῆς ἐκκλησίας κατηγόρουν, ὡς παρὰ τῶν θεολόγων τὴν παράδοσιν περὶ τῶν τῆς πίστεως δογμάτων καὶ πρεσβευούσης καὶ τοὺς ἄλλους διδασκούσης. δι' ἃ ὁ βασιλεὺς ᾠήθη δεῖν σύνοδον ἀθροίσας, ἐξέτασιν ποιεῖσθαι περὶ τῶν δογμάτων. ἐπεὶ δὲ συνῆλθον οἱ ἑκασταχόθεν προστάται τῶν ἐκκλησιῶν, ἀμφοτέρων τῶν μερῶν γενομένων ἐν βασιλείοις τοῖς τῶν Βλαχερνῶν λεγομένοις, καὶ βασιλέως τοῦ Καντακουζηνοῦ παρόντος καὶ τῶν ἐν τέλει Ῥωμαίων τῶν μάλιστα ἐπι- P. 799 φανῶν, ἐπὶ τέσσαρσιν ἡμέραις τῶν ἀμφισβητουμένων τὴν ἐξέτασιν ἐποιήσαντο. ὅσα μὲν οὖν ἀλλήλοις ἀντεῖπον Παλαμᾶς τε ὁ Θεσσαλονίκης (πρὸς ἐκεῖνον γὰρ μάλιστα ὁ λόγος ἦν,) καὶ οἱ τὰ Ἀκινδύνου ᾑρημένοι, ὧν ἦν κεφάλαιον ὅ,τε Ἐφέσου καὶ ὁ Γάννου μητροπολῖται, καὶ Γρηγορᾶς καὶ Δέξιος, οὐκ ἀναγκαῖον διηγεῖσθαι. εἰ γάρ τῳ τὰ τοιαῦτα

tanta libertate concessa, se occulere et in latebris usque ad obitum delitescere. Post hominis obitum eius sectae affines dissidium excipientes, (Ephesiorum antistite et aliis, qui se throno patriarchico, quem speraverant, excidisse indignabantur, accedentibus, quamvis Barlaamum a principio damnassent posteaque contra Ioannem patriarcham et Acindynum fremuissent, et omnibus calculis illum de gradu deturbassent, ob hoc solum, quod Barlaami et Acindyni doctrinam admiraretur,) tumultuabantur et ecclesiam criminabantur, quod de dogmatis fidei, quae theologi non tradidissent, ipsa et honorifice sentiret, et alios doceret. Idcirco imperator, coacta synodo, dogmata in disquisitionem adducenda censuit. Ubi undequaque ecclesiarum rectores convenerunt, et utraque pars affuit in palatio in Blachernis, quae dicuntur, affuit etiam Cantacuzenus imperator et de nobilitate Romana illustrissimi quique, inque controversiarum quaestione dies quatuor consumpti sunt. Quaenam igitur ibi altercationes exstiterint Palamae, Thessalonicensis episcopi, (cum eo enim potissimum certamen erat,) et Acindynianorum, (quorum capita et antesignani Ephesi et Gani metropolitae, Gregoras item et Dexius erant,) commemorare hoc loco supervacaneum esset.

προὔργου μαθεῖν, τῷ περὶ τούτων γεγραμμένῳ τόμῳ κατὰ A.C. 1351
μέρος ἅπαντα διηγουμένῳ ἐντυχόντι, πάντα ἀκριβῶς εἰδέναι
περιέσται. ἐκεῖνο δὲ μόνον ἀναγκαῖον εἶναι ἡγησάμεθα προσ-
κεῖσθαι τῇ ἱστορίᾳ, ὡς ἑάλωσαν ἐπ' αὐτοφώρῳ οἱ τὰ Ἀκιν- B
δύνου ᾑρημένοι τὰς ἴσας δόξας Βαρλαὰμ περὶ τῶν δογμάτων
ἔχοντες τῆς ἐκκλησίας. διὸ τῶν μὲν ἀρχιερέων ἡ σύνοδος
Ἐφέσου καὶ Γάννου καθαίρεσιν κατέγνω, Βαρλαάμ τε καὶ
Ἀκινδύνου διαῤῥήδην χωρισμὸν ἀπὸ τοῦ λοιποῦ τῆς ἐκκλη-
σίας σώματος, ὡς μέλη νενοσηκότα ἀνιάτως καὶ μηδεμίαν
μετὰ τελευτὴν διόρθωσιν ἐπιδεχόμενα, τῶν δ' ἄλλων εἰ μέν
τις ἐπιστρέψας σύνθηται τοῖς ὑγιαίνουσι τῆς ἐκκλησίας δό-
γμασιν, ἐκείνων πολλὴν ἀσέβειαν καταγνούς, δέχεσθαι τὴν ἐκ-
κλησίαν καὶ ὡς οἰκείου μέλους προνοεῖν, μηδὲν μήτε ἐγκα-
λοῦσαν τῶν προτέρων, μήτε ὀνειδίζουσαν· εἰ δέ τις μένοι C
διὰ τέλους ἀδιόρθωτος, τοῖς αὐτοῖς ἐπιτιμίοις ὑποκεῖσθαι
Βαρλαὰμ καὶ Ἀκινδύνῳ. καὶ ἐπὶ τούτοις ἐγένετο τόμος τρί-
τος ἐπὶ δυσὶ τοῖς πρότερον γεγενημένοις. ὅ,τε γὰρ ἐπὶ κα-
θαιρέσει πατριάρχου τοῦ Ἰωάννου γεγενημένος, ὃν καὶ ὁ τῶν
Ἱεροσολύμων πατριάρχης ὑπογέγραφε, πολλὴν ἀσέβειαν Βαρ-
λαὰμ καὶ Ἀκινδύνου κατηγορεῖ καὶ τῶν ὀρθῶν δογμάτων
διαστροφήν, δι' ἃ καὶ πατριάρχης ὁ Ἰωάννης καθῃρέθη, ὡς
ταὐτὰ φρονήσας Βαρλαάμ, καὶ ὁ πρώτως ἐπὶ τῇ διαγνώσει
βασιλέως Ἀνδρονίκου τοῦ νέου γεγενημένος, ἡνίκα καὶ ὁ πα- V. 639
τριάρχης Ἰωάννης τῆς συνόδου προστάτης ἦν, ὃν καὶ αὐ- D
τὸς ὑπεσημήνατο χερσὶν οἰκείαις, οὐ μόνον Βαρλαὰμ καὶ

17. γεγενημένος M.

Si cuius ea nosse interest, tomum super hoc conscriptum et sigillatim omnia recensentem legat licet, sat superque omnia discet. Illud tantummodo huic historiae inserendum duximus, Acindyni sectatores, quasi in ipso furto, ut dicitur, cum Barlaamo de ecclesiae dogmatibus sapere deprehensos fuisse. Quapropter synodus Ephesi et Gani episcopos ordine movendos decrevit: Barlaamum vero et Acindynum a reliquo ecclesiae corpore, ut membra morbo insanabili infecta nulliusque correctionis post mortem capacia, manifeste amputavit. Si quis autem eorum, nefaria impietate damnata, ad rectam semitam rediens, incorruptam ecclesiae doctrinam complecteretur, eum ab ecclesia suscipiendum et ut membro legitimo, sine ulla praeteritorum reprehensione aut exprobratione, providendum statuerunt. Qui usque ad extremum spiritum obstinatus maneret, iisdem poenis, quibus Barlaamus et Acindynus, multaretur. Secundum haec tomus tertius duobus prioribus est additus. Nam ille post Ioannis patriarchae abdicationem conscriptus, (cui etiam patriarcha Hierosolymorum subscripsit,) Barlaami et Acindyni scelera-

A. C. 1351 Ἀκινδύνου καταψηφίζεται, ὡς ἀδίκως κατηγορηκότων τῶν μοναχῶν, ἀλλὰ καὶ εἴ τις, φησὶν, ἕτερός τι τῶν ὑπὸ τοῦ Βαρλαὰμ βλασφήμως καὶ κακοδόξως κατὰ τῶν μοναχῶν, μᾶλλον δὲ κατὰ τῆς ἐκκλησίας αὐτῆς λαληθέντων ἢ συγγραφέντων φανείη πάλιν τῶν μοναχῶν κατηγορῶν, ἢ ὅλως ἐν τοῖς τοιούτοις καθαπτόμενος, τῇ αὐτῇ καταδίκῃ παρὰ τῆς ἡμῶν μετριότητος καθυποβάλλεται, καὶ ἀποκήρυκτος ἔσται καὶ αὐτὸς καὶ ἀποτετμημένος καὶ τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ τοῦ ὀρθοδόξου τῶν
P. 800 Χριστιανῶν συστήματος. οὕτω μὲν καὶ ὁ τρίτος τόμος ἀκόλουθος τοῖς δυσὶ προτέροις ἐγεγόνει, καὶ τὰ αὐτὰ κατεψηφίσατο τῶν τὰ Βαρλαὰμ καὶ Ἀκινδύνου ᾑρημένων. ὃν πατριάρχης τε ὁ Κάλλιστος μετὰ τῶν ἀρχιερέων ὑπογέγραφε καὶ βασιλεὺς πρὸ αὐτῶν ὁ Καντακουζηνός· ὕστερον δὲ καὶ ὁ Παλαιολόγος Ἰωάννης βασιλεὺς ὁ νέος σύμψηφος γενόμενος τῇ ἐκκλησίᾳ, ἐρυθροῖς καὶ αὐτὸς γράμμασιν ὑπεσημήνατο. ἐπεὶ δὲ πάντα εἶχε τέλος τὰ περὶ τὴν ἐξέτασιν τῶν δογμάτων, καὶ ὁ τόμος οὐδενὸς ἐδεῖτο ἔτι, Καλλίστου τοῦ πατριάρχου ἐν τῷ νεῷ τῆς τοῦ θεοῦ σοφίας τὴν θείαν ἐπιτελοῦντος μυσταγωγίαν μετὰ τῶν λοιπῶν ἀρχιερέων, καὶ βασιλεὺς
B ὁ Καντακουζηνὸς πᾶσαν σκευὴν βασιλικὴν ἐνδὺς καὶ τῶν ἀδύτων ἐντὸς γενόμενος, πατριάρχῃ καὶ τῇ λοιπῇ τῶν ἀρχιερέων ἐκ-

8. θεοῦ pro Χριστ. M.

tam impietatem et germanorum dogmatum corruptionem detegit, (quam ob causam et Ioannes patriarcha sede sua depulsus est: quod nimirum cum Barlaamo sentiret:) et primus, post diiudicationem Andronici iunioris imperatoris compositus, quando et patriarcha Ioannes synodo praesidebat, quem et ipse manu sua subsignavit, non solum Barlaamum et Acindynum, ut iniústos monachorum accusatores, damnat, sed et si quis alius, inquit, quippiam a Barlaamo, blaspheme et haeretice contra monachos, imo vero contra ecclesiam ipsam dictorum scriptorumve rursum monachis obiecerit, aut omnino in talibus eos perstrinxerit, eadem poena a nostra mediocritate damnatur, atque a sancta Dei catholica et apostolica ecclesia et orthodoxo Christianorum coetu etiam ipse exterminatur atque praeciditur. Sic itaque et tertius tomus duos praecedentes consequens factus est, eademque contra Barlaami et Acindyni sequaces decreta: cui Callistus patriarcha cum episcopis subscripsit, et ante eos Cantacuzenus imperator, deinde Ioannes Palaeologus imperator iunior, ecclesiae concors, et ipse rubrica subsignavit. Discussione dogmatum penitus absoluta et tomo plane iam perfecto, Callisto patriarcha in templo divinae sapientiae cum reliquis episcopis Missae sacrificio fungente, Cantacuzenus, omni imperatorio ornatu excultus, intra adyta patriarchae reliquoque episcoporum ordini to-

κλησίᾳ τὸν τόμον ἐπιδέδωκεν. μετὰ τοῦτο δὲ οἱ τὰ Βαρλαὰμ A. C. 1351
καὶ Ἀκινδύνου ᾑρημένοι ὑπὸ βασιλέως καὶ πατριάρχου τοῦ
Καλλίστου ἐκελεύσθησαν μηδὲν περὶ δογμάτων μήτε λέγειν,
μήτε γράφειν, ἵνα μὴ διαφθείροιεν τοὺς ἀκεραιοτέρους ἐξα-
πατῶντες. οἱ μὲν οὖν αὐτῶν ἐπείθοντο καὶ ἦγον ἡσυχίαν,
τοῖς δὲ οὐκ ἤρκει σιωπᾶν, ἀλλὰ καὶ διαλεγόμενοι πολλοὺς
προσδιέφθειρον καὶ γράφοντες. διὸ καὶ δεσμωτήριον ὑπὸ βα-
σιλέως κατεκρίθησαν καὶ ᾤκησαν ἐπὶ χρόνον· ὅσοι δὲ αὐ- C
τῶν ἦσαν ἐπιφανέστεροι, ἐν ταῖς ἰδίαις οἰκίαις εἴργοντο μηδέ-
σιν ἔρχεσθαι εἰς λόγους. καὶ οὕτω δείσαντες ἐπαύοντο τοῦ
κακουργεῖν· εἰ δέ τινες αὐτῶν καὶ μετὰ τὸ περιῃρῆσθαι τὴν
τοῦ πᾶσιν ἐντυγχάνειν ἄδειαν. ἔγραφόν τισιν, ἢ διελέγοντο
περὶ τῶν δογμάτων, ἀλλὰ κρύφα καὶ πολλὴν τοῦ λανθάνειν
πρόνοιαν ποιούμενοι.

κδ΄. Γρηγορᾶς δὲ ὁ Νικηφόρος οὔτε πρότερον, οὔθ' ὕστε- D
ρον ἐπέπαυτο, ἀλλὰ πρῶτα μὲν Τραπεζουντίοις ἔγραφε τοῖς
ἐπιτηδείοις καὶ τῆς Βυζαντίων ἐκκλησίας παρατροπὴν τῶν
ὀρθῶν δογμάτων κατηγόρει, ἐδίδασκέ τε ἀδεῶς, ὡς χρὴ ταύ- V. 640
της ἀποτέμνεσθαι νενοσηκυίας· ἔπειτα δὲ καὶ τοῖς ἐν Κύ-
πρῳ φίλοις, τῶν ἄλλων δὲ μάλιστα Λαπίθῃ Γεωργίῳ τινί,
πρὸς ὃν οὐ κοινῇ τῆς ἐκκλησίας μόνον κατηγόρει, ἀλλὰ καὶ ἰδίᾳ
τῶν προεστηκότων. ἔγραφε δέ ποτε πρὸς οὐδένα ὑγιὲς οὐδέν, P. 801
ἀλλ' ἐξεπίτηδες ψεύδη πλάττων καὶ συκοφαντίας, τὰ μήτε
ὄντα, μήτε λαληθέντα περὶ τῶν δογμάτων κατηγόρει. ἐπεὶ

mum tradidit. Postea Barlaami et Acindyni discipuli ab imperatore et patriarcha iussi sunt de dogmatis nihil neque dicere, neque scribere, ne sinceriores suis fallaciis perverterent. Horum alii obedientes quiescebant, alii tacere non poterant, sed cum voce, tum scriptis disserendo plures insuper depravabant: quare et carcere ab imperatore puniti sunt, quem ad tempus habitarunt. Eorum illustriores in suis ipsorum aedibus attinebantur, ne cum illis verba miscerent. Ita timentes, sceleri modum faciebant. Si qui etiam post ablatam cum omnibus colloquendi potestatem cum quibusdam per litteras, aut coram super dogmatis agerent, id clam et cum multa latendi providentia fiebat.

24. At Nicephorus Gregoras nec ante, nec post cessabat, sed primum quidem, datis Trapezuntium litteris ad amicos, Byzantinam ecclesiam, ut rectorum dogmatum desertricem, accusabat, docebatque audacter, ab ea, ut morbida, secedendum; deinde et in Cyprum ad sui cupidos; prae aliis autem ad quendam Georgium Lapitham, apud quem non solum ecclesiam communiter, sed et separatim eius magistratus in vituperationem adducebat, cum tamen nihil quidquam sanum cuiquam scriberet, sed de industria mendacia et ca-

A. C. 1351 δὲ τὰ τοιαῦτα τολμώμενα λανθάνειν οὐκ ἐνῆν, βασιλεῖ τε ὁμοίως καὶ πατριάρχῃ δεινὸν ἐδόκει τὸ μὴ μόνον αὐτὸν ἑαυτῷ, ἀλλὰ καὶ πολλοῖς ἑτέροις τῆς ἴσης ἀπωλείας αἴτιον εἶναι, τοῖς ἐν τῇ μονῇ τῆς ἀχωρήτου χώρας τοῦ σωτῆρος Χριστοῦ προσαγορευομένης προσέταττον μοναχοῖς, ἐπεὶ καὶ Γρηγορᾶς αὐτοῖς χρόνον συχνὸν συνῆν, μηδένα πρὸς αὐτὸν φοιτᾷν ἐᾷν, κωλύειν τε ὁπόση δύναμις, μὴ τοῖς ἔξω γράμματα πέμπειν B καὶ διαφθείρειν τοὺς πολλοὺς ἐξαπατῶντα. ἐπεὶ δὲ ἐκωλύετο τὰ κατὰ γνώμην πράττειν, οὐχ ἧττον κατὰ βασιλέως, ἢ τῆς ἐκκλησίας ἐκμανεὶς, ἔγραφε κατ' ἀμφοτέρων. καὶ τῆς μὲν κατὰ τῆς ἐκκλησίας ὕβρεως τὴν τοῦ γενομένου κατὰ τὴν τρίτην σύνοδον τόμου περὶ τῆς Ἀκινδύνου καὶ Παλαμᾶ διαφορᾶς προεστήσατο κατηγορίαν, μεγάλα μὲν ἀεὶ ἐπαγγελλόμενος καὶ δεινὰ ἀπελέγξειν καταψευδόμενον καὶ τοῖς θεολόγοις ἐναντία περιέχοντα, οὐδέποτε δὲ οὐδὲν τῶν ἐπηγγελμένων ἐκπληρῶσαι δυνηθείς. ὅταν γὰρ ἐπ' αὐτὴν μάλιστα τὴν C ἀκμὴν τῶν ἀποδείξεων τοῦ ζητουμένου καταστῇ, ὥσπερ ἐκλαθόμενος τῶν ἐν χερσὶν, ἐφ' ἕτερά τινα μὴ προσήκοντα ἐξάγεται, ἢ τινων ὕβρεις καὶ συκοφαντίας, (ταῦτα γὰρ μάλιστα αὐτῷ φίλα κατὰ πᾶσαν συγγραφὴν,) ἢ διηγήματά τινα μηδὲν προσήκοντα, καὶ παραπαίει εἰκῇ καὶ μάτην λογομαχῶν καὶ

lumnias confingens, quae nec erant, nec in sermonem venerant de dogmatis, ea ille accusabat. Ubi vero huiusmodi facinorosa audacia diutius latere non potuit, pariterque imperator et patriarcha pro intolerando habuerunt, eum non sibi tantum, sed aliis praeterea multis idem exitium parare, monachis in monasterio, quod Christi appellatur, (et est in regione solitaria,) quoniam et Gregoras inter eos longo iam tempore vivebat, mandarunt, neminem aditum ad eum permitterent caverentque, quantum possent, ne foras litteras quopiam daret ac fraudibus suis multos circumduceret. Cum voluntatem explere non sineretur, nihilo minus contra imperatorem aeque, ut contra ecclesiam, insaniens, utrumque scriptis laceravit. Et contumeliis quidem in ecclesiam tomi in tertia synodo super Acindyni et Palamae dissensione facti reprehensionem praeposuit, semper pollicens, se ostensurum, illum librum valde ac turpiter mentiri sanctorumque patrum scitis contraria continere: nec tamen unquam, quod pollicetur, aliqua ex parte praestare valet. Cum enim ad ipsum articulum venit, quo probare debet, de quo quaeritur, quasi oblitus, quae in manibus erant, ad alia quaedam, nihil ad institutum pertinentia, aut ad quosdam calumniis et maledictis incessendos, (quod illi in omni scriptione sollemne est,) aut ad narrationem ineptam delabitur: et frustra atque inaniter verbis velitando nihilque opportunum proferendo desipit. Postquam vero Cantacuzenum imperatorem ipsum per se deprimere atque evertere

μηδὲν καίριον φθεγγόμενος. βασιλέως δὲ ἐπεὶ μὴ αὐτοπροσώ- A. C. 1351 πως εἶχε καταφέρεσθαι, τῶν τε Παλαιολόγων βασιλέων πρὸς ἀλλήλους πόλεμον ἐνστησάμενος ὑπόθεσιν τοῦ λόγου, καὶ τὰ μὲν ἀγνοίᾳ τῶν πραγμάτων, τὰ δ' εὐνοίᾳ τὴν ἀλήθειαν παραφθείρας, καὶ κατὰ πᾶσαν ἐξουσίαν ὥσπερ ἐν πλάσματι καταψευσάμενος, ἔπειτα καὶ καθ' εἱρμὸν ἐπὶ τὸν ἐφ' ἡμῶν πρὸς D Καντακουζηνὸν τὸν βασιλέα πόλεμον κεκινημένον προϊών, πολλὰ μὲν αὐτοῦ καὶ ἄλλα κατηγορεῖ, ἀνδραποδισμοὺς καὶ φόνους καὶ σφαγὰς καὶ λεηλασίας καὶ ὅσα δυσχερῆ ἐν τῷ τοῦ πολέμου χρόνῳ συμπέπτωκε Ῥωμαίοις, αὐτῷ προσάπτων, καὶ διὰ φιλαρχίαν καὶ τιμῆς βασιλικῆς ἐπιθυμίαν τῶν δεινῶν ἐκείνων οὐδένα λέγων πεποιῆσθαι λόγον. ὃ δὲ μάλιστα αὐτοῦ καθάπτεται καὶ ὡς ἐπιπλεῖστον διατρίβει, ἐκεῖνό ἐστιν, ὅτι, περιόντος τε ἔτι βασιλέως Ἀνδρονίκου, τῆς Ῥωμαίων βασιλείας ἐρῶν ὑπερφυῶς καὶ μὴ δυνάμενος τυχεῖν, ἐπὶ P. 802 τοὺς ἐν Ἄθῳ μοναχοὺς δοκοῦντας ἀρετῆς ἀντιποιεῖσθαι καὶ μυστήρια θεοῦ εἰδέναι ἐφοίτησε, πευσόμενος περὶ τῶν μελλόντων, καὶ εἰ πρὸς αὐτὸν ἡ βασιλεία Ῥωμαίων ἥξει. ἔπειτα ἐπὶ τοὺς μοναχοὺς τραπόμενος, πολλὰ καὶ δεινὰ κατηγορεῖ, οὐ μόνον Μασσαλιανοὺς καὶ περὶ τὰ ὀρθὰ δόγματα διεφθαρμένους λέγων, ἀλλὰ καὶ περὶ πότους καὶ οἰνοφλυγίας ἀκρατεῖς· „ἐσθίουσι γάρ" φησιν „ὑπὲρ χοίρους, καὶ πίνουσιν ὑπὲρ ἐλέφαντας. ἐπειδὰν δὲ ἀνανήψωσι τῆς πολλῆς μέθης, μυ-

1. αὐτὸ προσώπως P.

non potuit, Palaeologorum imperatorum bellum mutuum pro argumento sumens, et partim ignorantia rerum gestarum, partim gratia corrupta veritate, ac totis viribus velut in fabula comminiscenda mentiens, deinde ordine ad bellum, quod nostra memoria contra Cantacuzenum excitatum est, progressus, tum alia complura crimini dat, servitutes, caedes, trucidationes, populationes et quaecunque Romanis per id bellum luctuosa inciderunt, illi adscribens: tum ob amorem dominandi imperialisque fastigii cupidinem malorum illorum nullam duxisse rationem affirmat. Illud autem Cantacuzenum ante alia vellicat, et cor eius urit, quod mentitur, eum, adhuc vivente Andronico, imperii Romani longe appetentissimum, cum id assequi non posset, ad monachos in monte Atho, qui viri sancti et a Deo afflati futurorum praesensionem habere iudicabantur, profectum esse, de futuris, et an ad se Romanum imperium perventurum esset, percunctaturum. Post ad monachos conversus, multis et acriter in eos, non solum ut in Massalianos et prave de religione sentientes, sed etiam ut crapulae ac vinolentiae deditos, invehitur. Comedunt enim, inquit, plus quam sues, et bibunt plus quam elephanti. Ubi autem ebrietatem nimiam edormierunt, arcana Dei se

A. C. 1351 στήρια θεοῦ εἰδέναι διατείνονται καὶ περὶ μελλόντων προφητεύουσι." καὶ ἕτερ' ἄττα κατηγόρηκεν ἐκείνων, ὧν πᾶς τις V. 611 ἂν ἀπέσχετο πλὴν αὐτοῦ. ἔπειτα διηγησάμενος τὰ κατὰ τὸν B πόλεμον μάλιστα φιλοψευδῶς, καὶ γενόμενος ἐν ᾧ τὰ κατὰ τῆς ἐκκλησίας τὴν διαφορὰν διηγεῖσθαι ἔμελλε, κακοδοξίαν βασιλέως κατηγορεῖ καὶ τῶν πατρίων ἀθέτησιν δογμάτων. δι' ἃ οὐδὲ τὴν δίκην οἴεται δεῖν στέργειν τὴν παρ' ἐκείνου δικασθεῖσαν, ὡς ἐκδεδιῃτημένην διὰ τὸ ἐκεῖνον Παλαμᾷ προσκεῖσθαι καὶ τὴν ἴσην ἐν τοῖς δόγμασι διαστροφὴν ᾑρῆσθαι. ἃ ἐπεὶ ἀνέγνω βασιλεύς, (ἧκε γὰρ αὐτῷ εἰς χεῖρας,) περὶ μὲν τοῦ τόμου τῆς κατηγορίας οὐδένα ποιήσεσθαι λόγον εἶπεν, ὑπὲρ ἑαυτοῦ ἀπολογεῖσθαι δυναμένου μάλιστα. εἰ γὰρ ἐκείνου τῆς ὀρθότητος καὶ τῆς ἀληθείας σαφὴς ἀπόδειξις τὸ τοῖς C ἁγίοις σύμφωνα λέγειν θεολόγοις καὶ τοῖς ὑπὸ τῶν θείων πρότερον συνόδων περὶ τῆς ὀρθῆς πίστεως κεκυρωμένοις, τοῦτο δ' ἐκείνῳ σπουδάζεται διαπαντὸς καὶ πολλὴν τούτου τοῦ μέρους πρόνοιαν ποιεῖται, ἑτέρας ἀποδείξεως οὐκ ἂν δεηθείη περὶ ἑαυτοῦ, τῆς προσούσης ἐξαρκούσης. ἀξιόχρεως δ' ἂν εἴη καὶ ὁ κατηγορῶν αὐτὸς, ἐν ἄλλοις αὐτοῦ συγγράμμασι τὰ Βαρλαὰμ διεφθορότα δόγματα κακίζων καὶ ὅλην γλῶτταν ἐπαφιείς, ἡνίκα βασιλέα τὸν νέον Ἀνδρόνικον τετελευτηκότα μονῳδῶν, πρὸς τοῖς ἄλλοις ἐγκωμίοις καὶ τοῦτο τέθεικεν· „οἱ τῆς ἐκκλησίας ἱεροὶ προστάται, ζητήσατε τὸν διάπυρον σπουδαστὴν καὶ συλλήπτορα τῶν δογμάτων, οἱ ἐν

scire contendunt, et responsa edunt. Denique aliorum quorundam eos insimulat, quae praeter ipsum nemo illis intentasset. Deinde cum de bello mirifice mentiendo narrasset, iamque eo pervenisset, ut ab ecclesia dissensionem quorundam exponeret, ipse docet, quo pacto imperator in fidem orthodoxam offendat et dogmata patria convellat. Quare nec iudicium ab illo iudicatum approbatione dignum putat, ut qui Palamae adhaereat eandemque doctrinae perversitatem colat. Quae cum legisset Cantacuzenus imperator, (in manus enim eius venerunt,) de accusatione quidem tomi nullum se verbum dicturum ait, cum is semet tueri maxime possit. Si namque ex eo eius rectitudo et veritas demonstratur, quia sanctis patribus et a sacris antea synodis de germana fide constitutionibus consentanea loquitur, et is haec semper studet, eique rei diligenter prospicit, alia probatione opus non est, cum sufficiat, quae suppeditat. Quin et ipse accusator testis idoneus fuerit, qui in aliis scriptis suis prava Barlaami dogmata liberrime vituperat, quando mortuum Andronicum iuniorem lamentans, inter cetera encomia sic praedicat: „Sacri ecclesiae praesides, fervidum amatorem et tutorem dogmatum: qui in montibus et speluncis habitatis, vestrae

ὄρεσι καὶ σπηλαίοις, τὸν πρόβολον καὶ προασπιστὴν τῆς ὑμετέρας A. C. 1351
εὐκλείας καὶ δόξης, οἱ τῶν θείων ἀσκητηρίων ἡγήτορες, τὴν τῆς D
ὑμετέρας ἰσχύος ἀκρόπολιν. μνήσθητε τοὺς ὑπὲρ ὑμῶν τελευταίους ἀγῶνας αὐτοῦ, πῶς, πεπονηκότος ἤδη καθάπαξ τοῦ σώματος ἔκ τε τῶν πολεμικῶν τραυμάτων, ἔκ τε τῶν ἰατρικῶν καυτήρων, καὶ πρὸς θάνατον ἐντεῦθεν ἐλαυνόμενος, κατεφρόνησέ τε τοῦ σώματος, καὶ τῆς ἑαυτοῦ ζωῆς ἀφειδήσας, προθύμως ἐπὶ τὸ βῆμα καὶ τοὺς ἱεροφάντας ἧκε, καὶ οὐ πρότερον ἐκεῖθεν ἀπήλλαξε, πρὶν τοὺς ὑμῶν ὑβριστὰς καὶ τὰ ἐκείνων διεφθορότα δόγματα καὶ παρέγγραπτα τῆς ἐκκλησίας ναυάγια συντρίψαι τε καὶ ὅλοις δοῦναι φθορᾶς καὶ ἀπωλείας βυθοῖς τε καὶ κύ-
μασι." τοιαύτας καὶ αὐτὸς πρὶν διαφθαρῆναι τὰς δόξας εἶχε P. 803
περὶ τῶν δογμάτων. οὐ γάρ ἐστιν εἰπεῖν, ὡς ἕτερα μὲν ἦσαν, ὧν κατέγνω βασιλεὺς δικάζων καὶ διαφθορὰν κατεψηφίσατο καὶ παρατροπὴν τῆς ἀληθείας, ἕτερα δ' ὁ ἐπ' ἐμοῦ γεγενημένος τόμος ἐξήλασε τῆς ἐκκλησίας, καθ' οὗ τὴν θαυμαστὴν ἐπεδείξατο σπουδήν, ἀλλὰ ταὐτὰ παντάπασιν. ὡσαύτως δὲ καὶ περὶ τῶν ἐν Ἄθῳ ἁγίων, ὧν μέθας καὶ ἀδδηφαγίας καταψεύδεται, τοῦ βίου λαμπρότερον παντὸς φωτὸς τὴν ἐκείνων ἀρετὴν καὶ οἰκειότητα πρὸς θεὸν ποιοῦντος ἐναργῆ. τοσοῦτον γὰρ ἀπέσχοντο μέθης καὶ κραιπάλης διὰ βίου, ὅσον ἀληθεί-
ας ὁ κατηγορῶν. Ἕλληνες μὲν οὖν φασιν ἐν μύθοις, Ἄτλαν- B
τά τινα, τῶν μετὰ Κρόνου θεῶν καθῃρημένων, ταύτην ὑπὸ τῶν ἀρξάντων τὴν δίκην κατεψηφίσθαι τοὺς τῆς γῆς ἀνέχειν

5. ἰατρῶν add. M. ante ἰατρ. 12. τοιαῦτα P.

claritudinis et gloriae defensorem ac propugnatorem: sacrorum monasteriorum moderatores, vestri roboris arcem desiderate. Mementote supremos eius pro vobis agones, quomodo, debilitato iam penitus toto corpore hostilibus vulneribus medicorumque ustionibus, et inde ad mortem tendente, se contempserit vitaeque haud pepercerit, alacriter ad tribunal et sacrorum antistites venerit, nec prius inde abierit, quam insectatores vestros et depravata illorum dogmata et inducta ecclesiae naufragia contriverit et imis perditionis exitiique fluctibus dederit." Talis item eius fuit, priusquam perverteretur, de dogmatis sententia. Non enim dici potest, alia fuisse, quae iudicio suo ut depravationem ac perniciem veritatis condemnavit imperator: alia tomum sub me confectum ex ecclesia exturbasse, (adversus quem tomum mirum est quantum studii adhibuerit,) sed eadem penitissime. Idem et de sanctis in monte Atho habendum, quos temulentiae ac ventris vitio deditos mentitus, quando vita et mores omni luce clarius illorum virtutem et cum Deo coniunctionem produnt. Tantum enim semper a vinolentia et crapula abfuerunt, quantum accusator a veritate. Graeci fabulantur, Atlantem quendam, diis cum Saturno coelo pulsis, hac poena

A.C. 1351 κίονας, ὡς ἂν πιέζοιτο τοσούτῳ βάρει. ἐγὼ δὲ τούτους φαίην
ἄν, καὶ τῆς ἀληθείας ἐμοὶ συμμαρτυρούσης, ταύτην τὴν τι-
μὴν λαχεῖν τοῦ βίου τῆς πολλῆς φιλοσοφίας ἕνεκα παρὰ
θεοῦ τὸ τὴν γῆν ἀνέχειν, εὐχαῖς ἱλεουμένους αὐτῇ τὸ θεῖον.
ὅτι δ' αὐτὸς ἐν αὐτοῖς γενόμενος, ἔτι βασιλέως περιόντος, περὶ
τῆς Ῥωμαίων βασιλείας προφητεύειν ἐδεόμην, εἰ ἥξει πρὸς
ἐμὲ, ψεύδεται σαφῶς. καὶ τούτου γε ἀπόδειξις ἐναργεστάτη,
C οὐχ ἧττον μὲν καὶ τοῦτ' αὐτὸ τὸ ἐκεῖνον τοιαῦτα λέγειν ψευ-
δόμενον, ὡς τὰ πολλὰ καὶ περὶ τἄλλα, ὥσπερ δὴ καὶ περὶ
τοῦτο. μάλιστα δὲ καὶ Ἄννα ἡ βασιλὶς τἀληθῆ συμμαρτυ-
V. 642 ρήσειε πάντων μάλιστα ἐμοὶ τὰ τοιαῦτα συνειδυῖα. οὐχ ἧτ-
τον γὰρ ἢ βασιλεὺς καὶ αὐτὴ τότε τοῦ τὰ βεβουλευμένα ὑπερ-
θέσθαι μοι ἐγένετο αἰτιωτάτη. οὐ γὰρ ὥσπερ ἐκεῖνος κατε-
ψεύσατο, ἐπὶ προφητείας ἧκον ἐγὼ τότε καὶ μελλόντων ἀπο-
βάσεις ἐπὶ τοὺς ἐν Ἄθῳ μοναχοὺς, ἀλλὰ μάλιστα μὲν δεη-
σόμενος ἐκείνων ὑπὲρ τῆς βασιλέως ὑγιείας, ἧς οὐδὲν ἐμοὶ
βέλτιον, οὔτε τιμιώτερον ἐν βίῳ ἦν, ἔπειτα καὶ τὸ θεῖον
ἵλεων εὐχαῖς ἐμοὶ ποιεῖν πολλὰ προσκεκρουκότι ἐν τῷ βίῳ
D καὶ τὴν ἐκεῖσε τῶν ἐνθάδε βεβιωμένων εὐθύνην δεδοικότι.
πρὸς τούτοις δὲ ἐπεὶ ἐδόκει καὶ τῶν τοῦ βίου θορύβων ἀνα-
χωρεῖν, εἰς κόρον ἀπολαύσαντι καὶ δόξης ἀνθρωπίνης καὶ
εὐημερίας καὶ τρυφῆς, ἐσκεπτόμην, ἐν τίνι τῶν φροντιστηρίων

2. ταύτης τῆς τιμῆς τυχεῖν M. mg. 19. εὐθύνειν P. 21. χόρον P.

a principibus punitum, ut terrae columnas sustineret, atque ita ponderis vastitate premeretur. Atqui ego, veritate mihi attestante, hosce homines vita puriter admodum agenda hunc honorem a Deo consequi dixerim, ut terrarum orbem, eius numen precibus illi placantes, fulciant ac sustentent. Me autem, etiamnum vivo Andronico imperatore, ad eos profectum de imperio Romano ut mihi vaticinarentur, rogasse, ecquid ad me venturum esset, aperte mentitur: quem hoc ipsum mentiri certissima illa probatio est, quod toties etiam in aliis mentiri consuevit. Inprimis autem et Anna imperatrix, eorum omnium mihi conscia, veritati testimonium impertiet. Non enim minus illa me, quam imperator, commovit, ut deliberata in aliud tempus differrem. Non ego, ut ille mendax ait, tunc ad monachos in Atho monte discessi, ut futuros eventus ex eorum praedictionibus elicerem, sed ante omnia, ut imperatoris valetudinem, qua in vita nihil habebam melius ac pretiosius, eorum votis precibusque commendarem. Item, ut eorundem pro me supplicationes impetrarem, qui, quod toties Deum offendissem, perpetratorum supplicia post obitum luenda pertimescerem. Ad haec cum animo sederet, post humanae gloriae, felicitatis ac deliciarum satietatem a tumultibus recedere, praestare cogitabam alicui

βέλτιον οἰκεῖν καὶ τὸν ἐπίλοιπον βίον ἐν ἀταραξίᾳ διανύειν, A. C. 1351 τῶν τοῦ βίου ματαίων ἀποστάντα θορύβων καὶ ταραχῶν. καὶ ἐδόκει τὸ Βατοπεδίου αἱρετώτερον, αὐτίκα τε τοῖς ἐκεῖσε μοναχοῖς ἐκέλευον, ἀναλώματα παρέχων, οἰκήσεις ἐμοὶ ποιεῖν, αἳ καὶ εἰς δεῦρο διασώζονται ἀπόδειξις ἐναργὴς τῆς παρ' ἐμοὶ πρεσβευομένης ἀληθείας. τοῦ δὲ μὴ τότε αἴτιον ἐκεῖ καταλειφθῆναι καὶ σχῆμα μοναχῶν ἀναλαβεῖν, ἀλλ' αὖθις P. 804 πρὸς βασιλέα καὶ τὸν θόρυβον τῶν πραγμάτων ἐπανήκειν, οὔθ' ἡ φιλοκοσμία ἦν, οὔθ' ἡ ῥᾳθυμία περὶ τὰ καλά, ἀλλὰ βασιλεὺς αὐτὸς ἀτόπως ἐξεχόμενος καὶ οὐδὲ βιωτὸν ἡγούμενος αὐτῷ τὸν βίον ἐμοῦ διεστηκότος. ὡς γὰρ ἐπυνθάνετο τὴν αἰτίαν, ἥ με ἄγει πρὸς τὸν Ἄθω, καὶ τῆς ἐν βίῳ φιλοσοφίας ἤκουεν ἐπιθυμίαν καὶ θορύβων καὶ πραγμάτων ἀπαλλαγῆς, πολλὴν ἀφιλίαν κατηγόρει, ὅτι τὰ δοκοῦντα λυσιτελεῖν ζητῶν ἰδίᾳ, τῶν κοινῶν καταμελῶ, καὶ μόνον καταλείπων ἐπὶ τοσοῦτον πραγμάτων ὄχλον, αὐτὸς βούλομαι ἀναχωρεῖν καὶ ἀπολαύειν τῆς γαλήνης. ἠγανάκτει τε καὶ ἀδικίαν B τὸ πρᾶγμα ἀπεκάλει καὶ τῆς πρὸς αὐτὸν ἀθέτησιν φιλίας. ἐμοῦ δὲ τὸ περὶ ψυχῆς τὸν λόγον πεποιῆσθαι ἰσχυριζομένου, καὶ μηδὲν ἀξιοῦντος ἡγεῖσθαι προτιμότερον, καὶ μᾶλλον ἐκεῖνον ἀποδεικνύντος ἀδικεῖν, εἰ βουλομένῳ ταύτης πρόνοιαν ποιεῖσθαι καί τινα εὐπρόσωπον ἀπολογίαν ἐπὶ τοῦ φοβεροῦ ἐκείνου βήματος, ἐφ' οἷς προσκέκρουκα θεῷ, πορίζειν ἐμαυτῷ

11. βίον om. P.

monasterio me mandare, ibique reliquum annorum meorum ab inanibus mundi perturbationibus strepituque remotum in tranquillitate consumere. Placebat autem magis Batopedii monasterium. Moxque, monachis illis dato argento, praecepi, domicilia mihi construenda locarent, quae usque nunc exstant veritatemque, qua nihil colo sanctius, testantur clarissime. Cur autem non illic monachi habitum indutus manserim, sed ad imperatorem negotiorumque tumultus redierim, nec amor mundi in causa fuit, nec ad res humanas laude dignas torpor quidam, sed imperator ipse immodice mihi affixus, et qui sine me vitam sibi insuavem atque acerbam putaret. Ut enim sciscitatus, quid me Atho adduxisset, causam percepit, nempe liberandi me a curis et negotiorum turbis vitaeque innocenter actitandae desiderium, amicitiam a me magnopere violatam conquestus est, quod privata sectans commoda, publica negligerem et ipsum solum in tanta occupationum multitudine molestiaque destituens, ipse secedere et tranquillo otio perfrui meditarer: erumpensque in me stomachum, propositum meum iniuriam et amicitiae suae contemptum appellabat. Me autem affirmante, animam curare voluisse, et aequum censente, nihil hoc uno praestantius existimari, magisque ipsum iniquum esse, si me eo incumben-

A. C. 1351 αὐτὸς φαίνοιτο κωλύων, ἐπεὶ μὴ πείθειν ἐκεῖνος εἶχεν, ἀλλ' ἰσχυρῶς ἐχόμενον ἑώρα τῶν προτέρων λογισμῶν, καὶ βασιλίδι τῇ γυναικὶ χρησάμενος συμμάχῳ, ἔπεισαν ἄμφω πολλοῖς
C χρησάμενοι λόγοις καὶ παραινέσεσι, μὴ τὸ νῦν ἔχον πράττειν τὰ κατὰ γνώμην. φίλον δὲ τἀληθὲς, οὐδ' αὐτὸν δυνάμενον διαστῆναι βασιλέως ὑπὸ τῆς ἄκρας συνηθείας, καίτοι μάλιστα βουλόμενον, οὐ μὴν παντάπασι τῶν λογισμῶν ἐκείνων ἀπεσχόμην, ἀλλὰ τότε μὲν αὖθις ἀναστρέφειν ἐπηγγελλόμην, ὥσπερ ἐκεῖνοί γε ἠξίουν. καὶ ἀνέστρεφον εἰς Θεσσαλονίκην πρὸς ἐκείνους μετὰ τὸ τοὺς ἁγίους ἐκείνους προσειπεῖν, καὶ τὴν δεξομένην ἐν ὑστέρῳ οἴκησιν οἰκοδομεῖσθαι ἐν Βατοπεδίῳ παρασκευάσαι. γνώμην δὲ εἶχον, ὡς, εὖ διαθέμενος τὰ κατ' ἐμὲ, αὖθις ἐπανήξων καὶ συνεσόμενος τοῖς ἐκεῖσε μοναχοῖς, τὸν ἴσον βίον ἑλόμενος αὐτοῖς. ὀλίγῳ δὲ ὕστερον
D τετελευτηκότος βασιλέως, ἐπεὶ πράττειν ἑτέρως οὐκ ἐξῆν, τῆς ὅλης διοικήσεως τῶν πραγμάτων ἐπ' ἐμὲ καταλειφθείσης, καὶ ἄκων κατεσχόμην, τῶν συκοφαντῶν δὲ ἐκείνων τὸν πόλεμον κεκινηκότων καὶ τὸν περὶ τοῦ ζῆν κίνδυνον ἐμοί τε καὶ τοῖς
V. 643 συνοῦσιν οὕτως ἀθρόον ἐπενεγκόντων, οὐ τῆς ἐμαυτοῦ μᾶλλον ἢ τῶν ὅλων σωτηρίας ἕνεκα τὸ βασιλεὺς Ῥωμαίων εἱλόμην εἶναι, καὶ τοσοῦτον ὑπέμεινα κακῶν ἑσμὸν, ἀνημέρως οὕτω πολεμηθεὶς ἐπὶ τοσοῦτον χρόνον. δι' ἃ μάλιστα ψεύδεται Γρηγορᾶς οὐκ ἀνεξέλεγκτα, ἀλλὰ πάντων μάλιστα εὐελεγκτό-

9. ἐν Θεσσαλονίκῃ P.

tem et honestam aliquam responsionem apud formidabile illud Dei tribunal pro admissis acquirere laborantem prohibere conaretur, postquam animum meum flectere nequivit et in suscepto consilio obfirmatum vidit, Augustam adscivit sociam. Inde ambo multis verbis et argumentis me pervicerunt, ne tum, quod cupiebam, exsequerer. Quanquam (amica enim veritas) nec ipse, etsi impense volebam, propter coniunctissimam familiaritatem ab imperatore separari poteram. Nec tamen ab ea mente prorsus discessi, sed tum quidem, pro eo ac illi petebant, rediturum me promisi: et ubi sanctos illos allocutus effeci, ut in Batopedio habitaculum mihi construeretur, Thessalonicam ad imperatorem redii. Erat autem in animo, rebus meis bene compositis, reverti, et inter monachos illos eadem vitae instituta legesque profiteri. Brevi intervallo imperatore mortalitate perfuncto, quia aliud non licebat, tota rectione in humeros meos translata, detentus sum etiam invitus. Cum autem sycophantae illi bellum suscitassent, et me meosque adeo in summum discrimen coniecissent, non meae potius, quam omnium saluti consulturus, imperatorem Romanum fieri me sustinui, tantumque malorum examen tamdiu oppugnatus toleravi. Quod cum ita sit, Gregoras mentitur ea impudentissime, quae non refutari modo, sed

τατα. ὅτι δὲ μέ φησι τῇ Παλαμᾷ προσκείμενον μερίδι ἄδικον ψῆφον ἐπενεγκεῖν, καὶ διὰ τοῦτο μηδ' αὐτὸν πείθεσθαι ἐθέλειν, ὡς τὸν αὐτὸν ὄντα καὶ δικαστὴν καὶ ἀντικαθιστάμενον πρὸς τὴν δίκην τοῖς κρινομένοις, εὐχερέστατα ψευδόμενον ἀπελέγξω. τοὐναντίον γὰρ μᾶλλον Βαρλαάμ, ὃς τῆς τοιαύτης ἦρξε διαφορᾶς, προσεκείμην ἐξαρχῆς αὐτός. αὐτόν τε γὰρ εἶχον ἐπὶ τῆς ἐμῆς οἰκίας διατρίβοντα καὶ τοὺς ἀδελφούς, καὶ πολλῆς ἠξίουν τῆς προνοίας, καὶ ἐν τοῖς μάλιστα τῶν φίλων ἦγον, καὶ μᾶλλον ἐπ' ἐκείνου χώραν εἶχε τὸ ἐμὲ προκατειλῆφθαι. ἐκεῖνος γὰρ ἀεὶ συνῆν καὶ τὰ παρ' ἑαυτοῦ ἐξετίθει ἀκριβέστατα καὶ ὑφηγεῖτο συνεχῶς. ὅθεν οὐδ' ἔστι σκήψασθαί τινα, ὡς ἃ μὲν Παλαμᾶς περὶ ὧν πρεσβεύει B καὶ διαβεβαιοῦται, ᾔδειν, τὰ τῶν ἀντιλεγόντων δὲ ἠγνόουν. ἀλλ' εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἐκείνοις μᾶλλον ἐνέτυχον προτέροις, καὶ μετὰ τοῦ πολέμου τὴν κατάλυσιν, ἐπεὶ τῶν Ῥωμαίων ὑπ' ἐμοὶ πᾶσα ἡ ἡγεμονία ἦν, τοσοῦτον ἀπέσχον τοῦ μᾶλλον προσκεῖσθαι τοῖς ἑτέροις ὑπ' ἀκρισίας, ὥστε πατριάρχην τὸν Ἰωάννην οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις ἐπὶ τὴν δίκην προὐκαλούμην μέλλοντα ἐν τοῖς αὐτοῖς τούτοις ἐξετάζεσθαι. τὰ ἴσα γὰρ ἐνεκαλεῖτο. καὶ μετ' ἐκεῖνον αὖθις τὸν Ἀκίνδυνον, ἐπεὶ κρυπτόμενος αὐτὸς ἑτέρους προσέπεμπε καὶ παρέπειθε θορυβεῖν, ὡς ἀδίκως ὑπὸ τῆς ἐκκλησίας διαστροφὴν C

A. C. 1351
P. 805

5. οὐ γὰρ μόνον P. pro τοὐναντίον γὰρ μᾶλλον, addito μᾶλλον ante προσεκείμην. 12. πρεσβεύειν διαβεβαιοῦται P.

facillime refutari queant. Quod porro me partibus Palamae addictum, iniustam tulisse sententiam ait, atque ideo nec se pariturum, cum iudicio disceptantibus idem et iudex et adversarius fuerit, nullo negotio eius vanitatem demonstrabo. Contra enim potius Barlaamo, eius dissensionis incentori, a principio adhaerebam, quem et in aedibus meis cum fratribus hospitio exceperam, et curabam eum studiose numerabamque in amicissimis: cui prae aliis patebat ad me aditus; assiduo enim mecum versabatur resque suas exponebat mihi accuratissime et docebat quotidie. Unde non est, cur quis fingat, me, quae Palamas quidem pro verissimis duceret et confirmaret, non ignorasse, ignorasse autem, quae contra ab aliis dicerentur. Sed si vera licet loqui, cum illis et prius et bello finito, postquam imperio universo potitus sum, egi: tantumque abfuit, ut magis temeritate quadam ab aliis starem, ut Ioannem patriarcham saepius in his ipsis examinandum ad iudicium provocarim: siquidem eorumdem reus erat. Et post illum rursus Acindynum (qui se parietibus tegens, alios mittebat, male a se persuasos, ut tumultuarentur, perinde, quasi corruptorum ecclesiae dogmatum per nefas accusaretur, cum ipsi potius adversarii ea corrumperent,) non praeterii, sed ad quaestionem de se habendam ire et iuri stare iussi,

A. C. 1351 τῶν δογμάτων ἐγκαλοῖντο, αὐτοὶ μᾶλλον κακῶς περὶ αὐτῶν φρονοῦντες, οὐ περιεῖδον, ἀλλ' ἐπὶ τὴν ἐξέτασιν ἐκέλευον χωρεῖν καὶ τυγχάνειν τῶν δικαίων, καὶ πίστεις παρεῖχον ἐπὶ τῷ πείσεσθαι προσδοκᾶν μηδὲν δεινόν. δεδοικέναι γὰρ ἔλεγε, μὴ εἰρχθῇ. αὐτὸς δὲ οὐδὲν ἧττον καὶ μετὰ τὰς πίστεις ἀπεκρύπτετο καὶ ἠγνοήθη μέχρι τελευτῆς. χρόνῳ δὲ ὕστερον ἐπεὶ αὐτός τε Γρηγορᾶς καὶ ἄλλοι ἀνεφύησαν τῆς Βαρλαὰμ καὶ Ἀκινδύνου αἱρέσεως διάδοχοι καὶ τὴν ἐκκλησίαν ἐθορύβουν καὶ τὸ δικαστήριον ἐπεβοῶντο, οὐ περιεῖδον αὖθις, ἀλλὰ σύνοδόν τε ἐκ πολλῶν ἀρχιερέων συνεκρότουν, καὶ τὸν Θεσ-
D σαλονίκης Γρηγόριον τὸν Παλαμᾶν μετεπεμπόμην λόγον, περὶ ὧν ἐνεκαλεῖτο, δώσοντα, καίτοι δίκαιος ὢν τὰ δὶς ἐψηφισμένα στέργειν πρότερον. βασιλεύς τε γὰρ Ἀνδρόνικος ὁ ἀοίδιμος μετὰ τῆς συνόδου κατεδίκασεν ἁπάσαις ψήφοις οὐ Βαρλαὰμ τότε μόνον, ἀλλὰ καὶ εἴ τις ὕστερον φαίνοιτο φρονῶν τὰ ἴσα, καὶ μετὰ ταῦτα, ἐμοῦ ἀπόντος, Ἄννα ἡ βασιλὶς μετὰ τῶν ἀρχιερέων, ἡνίκα πατριάρχην τε καθεῖλον τὸν Ἰωάννην διὰ τὴν κακοδοξίαν καὶ τοὺς φρονοῦντας τὰ ἴσα αὖθις ἢ φρονήσοντας, ὅτε καὶ τῶν ὕστερον ἀντιλεγόντων οἱ πλείους ἦσαν σύμψηφοι, ἢ προστάται τῶν γινομένων μᾶλλον. δίκαιος οὖν, ὥσπερ ἔφην, τὰ ἐψηφισμένα στέργειν ὤν, οὐχ ὑπέμεινα,
P. 806 μὴ καὶ ἐπ' ἐμαυτοῦ τὴν ἐξέτασιν ποιήσασθαι τῶν λεγομένων, καὶ τὸν τοῦ δικαίου λόγον οὐ παρεῖδον, ἀλλ' ἐξήνεγκα τὴν ψῆφον ἀληθῆ καὶ δικαίαν, οὔτε φιλίαν, οὔτε ἔχθραν, οὔτε

1. ἐγκαλοῖτο M. mg.

fidemque dedi, nihil ei triste eventurum: timere enim se affirmabat, ne iussu meo in carcerem raperetur. Ille vero, quamquam accepta fide, nihilo minus se occultabat, et ad mortem usque latuit. Tempore procedente, ubi ipse Gregoras et alii Barlaami et Acindyni haeresis successores exorti, ecclesiam perturbarunt et tribunal appellarunt, denuo rem minime dissimulandam censui, sed multorum episcoporum synodum coëgi Gregoriumque Palamam, Thessalonicensem antistitem, accersivi, de quibus accusabatur, responsurum, quamvis antea bis decretis merito contentus esse potuissem. Nam et laudatissimus ille imperator Andronicus cum synodo non Barlaamum solum, sed si quis in posterum paria sentire reperiretur, penitus damnavit, et postea, me absente, Anna imperatrix cum episcopis, quando Ioannem patriarcham propter opinionis errorem simulque omnes eadem sentientes aut sensuros exauctoravit, cum plures eorum, qui contradixerunt, assentirentur, imo rei agundae praeessent potius. Cum itaque, ut narravi, decretis contentus esse possem, non quievi, quin me quoque imperatore, quae dicta sunt, in disquisitionem vocarentur, et iustitiae rationem habui, sententiam

τῶν ὄντων οὐδὲν ἕτερον τῆς ἀληθείας προτιμήσας. ὃς γὰρ A. C. 1351
οὐδ' ἐπὶ μικροῖς τισι καὶ εὐκαταφρονήτοις τινῶν διαφερομέ-
νων τὸ δίκαιον παρεῖδον, ἀλλ' ἀληθῶς καὶ δικαίως ἐδίκασα
πᾶσι, σχολῇ γ' ἂν περὶ δογμάτων τῆς δίκης οὔσης, ἔνθα τὸ
κινδυνευόμενον θεός, τῆς ἀληθείας ἕτερόν τι προειλόμην·
ἀλλ' ὡς ἐπ' αὐτοῦ θεοῦ τὴν ἐξέτασιν τῶν δογμάτων σαφῆ
καὶ καθαρὰν πεποιημένος, Παλαμᾶν μὲν εὕρισκον καὶ τοὺς V. 644
τὰ ἴσα ᾑρημένους τοῖς ἁγίοις καὶ θεολόγοις ἄκρως συμφω-
νοῦντας, καὶ κατ' ἴχνος ἑπομένους φανερῶς, Γρηγορᾶν δὲ B
καὶ τοὺς ἄλλους, οἳ ἀντικαθίσταντο, τὰ Βαρλαὰμ καὶ Ἀκιν-
δύνου δοξάζοντας ἀπαραποιήτως, ἃ ὅτι τῆς ἀληθείας ἔκφυ-
λα καὶ τῆς περὶ τῆς εὐσεβοῦς ὑπὸ τῶν ἁγίων πατέρων πα-
ραδοθείσης πίστεως ἐναντία, ἐξῆν μὲν καὶ τοῖς προτέροις τό-
μοις χρήσασθαι διδασκάλοις. οὐ μὴν ἀλλὰ καὶ αὐτοὶ τοῖς
ὑπὸ τῶν διδασκάλων τῆς ἐκκλησίας παραδοθεῖσιν, ὥσπερ κα-
νόσι, παραθέντες, τὴν διαστροφὴν εὕρομεν σαφῆ καὶ καθαράν.
οὗ ἕνεκα καὶ αὐτός, καὶ τῶν ἄλλων ἁπάντων ἀρχιερέων συν-
επιψηφιζομένων, ἐκείνους μὲν ὡς ὀρθῶς φρονοῦντας ἐδι-
καίωσα, τούτων δὲ κατεψηφισάμην· τὸ δὲ ἑξῆς, ὥσπερ ἦν
δίκαιον, τοῖς μὲν νενικηκόσι πάντα τρόπον ἐπεκούρησα, τοῖς C
ἡττημένοις δὲ ἀναισχυντοῦσι καὶ μήτ' ἐπιστρέφειν πρὸς τὴν
ἀλήθειαν βεβουλημένοις, μήτε ἡσυχίαν ἄγειν, τῇ σφετέρᾳ μό-
νον ἀγαπῶσιν ἀπωλείᾳ, ἀλλὰ πρὸς τὸ ἴσον βάραθρον καὶ
ἄλλους ἐκκαλουμένοις, καὶ πρὸς ὕβρεις χωροῦσιν ἀνερυθριά-

veram et iustam, nullo vel ad amicitiam, vel ad odium, vel ad aliud quidquam respectu, tuli. Qui enim nec ob parva quaedam et despicabilia litigantium iura vilipendi, sed ex vero et iusto ius dixi omnibus, multo minus in dogmatum iudicio, ubi id, de quo periculum est, Deus est, veritate quidquam antiquius habui; sed tamquam praesente et audiente numine dogmata ad liquidum et fideliter discutienda cum curassem, Palamam et socios sanctis Patribus summe congruentes eorumque vestigia manifeste prementes, Gregoram vero et alios, qui his adversabantur, Barlaami et Acindyni genuinos discipulos inveni, quorum placita cum veritate pugnantia, et pietate fidei a sanctis Patribus traditae esse contraria, licebat etiam magistris prioribus tomis discere. Nihilo minus cum praescriptis ab ecclesiae doctoribus velut canonibus ea comparassemus, minime dubiam plane depravationem vidimus. Quocirca, episcopis omnibus approbantibus, illos quidem ut recte sentientes absolvi, hos condemnavi: ac de cetero, ut aequum erat, victoribus omni ratione adiutorem me praebui, victis, amissa fronte nec ad veritatem redire, nec quiescere volentibus, nec sua tantum pernicie contentis, sed ad idem barathrum et alios illicientibus, sine ulla

A. C. 1351 στως καὶ πᾶσαν ὑπερβολὴν ἀναισχυντίας ἐπιδεικνυμένοις,
ὥσπερ ἔθος ἐξαρχῆς τοῖς ἐχθροῖς τῆς ἀληθείας καὶ τῆς ἐκ-
κλησίας πολεμίοις, καὶ δίκην τὴν προσήκουσαν ἐπέθηκα, μᾶλ-
λον δὲ καὶ τῆς ἀξίας ἀποδέουσαν πολύ. οὐδὲ γὰρ τοῦ κακῶς
ἐκείνους πάσχειν πρόνοιαν ἐποιησάμην, ἀλλὰ τοῦ μὴ δύνα-
σθαι κακῶς ποιεῖν. ἔστι δὲ, οἶμαι, νόμος καὶ ἐπὶ τῶν ἄλ-
D λων τῶν βιωτικῶν, καὶ δημοσίων καὶ ἰδίων, ἐγκλημάτων, τὸν
δικαστὴν πρὶν μὲν εἰς λόγους ἀντικαταστῆναι τοὺς ἀλλήλοις
διαφερομένους, μηδενὸς καταψηφίζεσθαι ἐρήμην, εἰ μὴ βού-
λοιτο ἐκδιαιτᾷν· ἐπειδὰν δὲ ἥκοιεν εἰς λόγους, καὶ ἡ νίκη χω-
ρήσοι πρὸς τὸν ἕτερον, (πᾶσα γὰρ ἀνάγκη,) καὶ αὐτὸν τῷ τὸ
πλέον ἔχοντι προστίθεσθαι καὶ καταναγκάζειν τὸν ἀδικοῦντα
τὰ δίκαια ποιεῖν. οὐ δὴ διὰ τοῦτο πᾶς τις ἀδικῶν παραγρά-
ψεται τὸν δικαστὴν καὶ ἀδικίαν ἐπικαλέσει, ὅτι τῷ ἠδικη-
μένῳ προσετέθη. ἃ Γρηγορᾶς νυνὶ ποιῶν, οὐ μᾶλλον ψευ-
δολογίας, ἢ ἀνοίας καὶ μοχθηρίας δόξαν ἀποφέρεται. ὅτι δ᾽
αὐτὸς τὴν διαστροφὴν παθὼν τῆς ἀληθείας καὶ τὴν πάτριον
P. 807 εὐσέβειαν ἐξομοσάμενος καὶ συναπαχθεὶς τοῖς αἱρετικοῖς
Ἀκινδύνῳ καὶ Βαρλαὰμ ὑπὸ μοχθηρίας τρόπων καὶ ἀποτυ-
χίας, ὧνπερ ἤλπισεν, ἀφειδήσας καὶ ψυχῆς αὐτῆς, ἵνα μόνον
ἀμύνηται τοὺς δόξαντας λελυπηκέναι, ἐμοὶ τὰ ἴσα ἐγκαλεῖ,
θαυμαστὸν οὐδέν. ὃς γὰρ οὐκ ἐφείσατο θεοῦ, ἀλλὰ διὰ τὴν
πρός τινας ἀπέχθειαν ἐκείνου ψευδῆ πολλὰ κατεῖπε, σχολῇ

verecundia contumeliosis et supra omnem modum impudentibus (id quod a principio inimicis veritatis et ecclesiae hostibus in more fuit) poenam debitam inflixi, imo enimvero minorem debita; neque enim ut illi malum, quod merebantur, acciperent, sed ne possent malum dare, providebam. Est autem, opinor, lex et in aliis vitae humanae publicis privatisque criminibus, iudicem, priusquam litigatores causam dicant, nullum damnare, nisi ab officio velit discedere: auditis autem utrisque partibus, et ad alteram respiciente victoria, (quod omnino oportet,) et ipsum ad validiorem accedere, illamque aliam, quae laeserat, ad officium compellere. Non igitur iniurius quilibet propterea contra iudicem excipiet eumque pro iniusto traducet, quia se ad violati partes adiunxerit. Quod Gregoras nunc faciens, non magis mendacii, quam amentiae et improbitatis opinionem consequitur. Quod autem legitimum de veritate sensum in se corrumpi passus, et patria pietate eiurata, transversim raptus, a Barlaamo et Acindyno haereticis, propter improbitatem suam et frustrationem eorum, quae speraverat, nec ipsi animae suae pepercit, ut ulcisceretur tantummodo, a quibus se laesum putat, mihi eadem obiicit, mirari nemo debet. Qui namque Deum ipsum non est reveritus, sed propter odium suum in quosdam adversus illum

γ' ἂν ἀπέσχετο βασιλέως, καὶ ταῦτα δόξαντος λελυπηκέναι. A.C. 1351 ὅτι δ' εὐσεβὴς ἐγὼ καὶ τῆς ὀρθῆς καὶ πατρίου δόξης ἐξεχόμενος ἀκριβῶς, καὶ πᾶσα μὲν ἡ τῶν ὀρθοδόξων ἐκκλησία συμμαρτυρήσειε, χάριτι θεοῦ βεβαίως ἡδρασμένη περὶ τὴν ἀλήθειαν καὶ τῶν ἀποστολικῶν παραδόσεων ἐχομένη ἀκριβῶς· οὐχ ἧττον δὲ καὶ Γρηγορᾶς αὐτὸς ὁ νυνὶ τοιαῦτα ἐγκα- B λῶν, παρὰ πάντα τὸν τοῦ πολέμου χρόνον οὐ μόνον ἐγκώμια πολλὰ διεξιὼν ἐμοῦ, ἀλλὰ καὶ τὰ ἔσχατα ὑπομένειν ὑπὲρ τῆς εἰς ἐμὲ εὐνοίας ᾐρημένος, ὅτε τὰ αὐτὰ ἐφρόνουν οἷα καὶ νυνί. τῇ γὰρ ὑπὸ βασιλέως ἐξενηνεγμένῃ καταδίκῃ Βαρλαὰμ καὶ αὐτὸς συνεπεψηφισάμην, καὶ μετὰ τὴν ἐκείνου τελευτὴν αὖθις Ἀκίνδυνον κατεδίκασα, Ἰωάννου τότε πατριάρχου τὴν σύνοδον συγκροτοῦντος καὶ οὐ μέτρια ἀγανακτοῦντος, ἐφ' οἷς Ἀκίνδυνος Παλαμᾶ καὶ τῶν ἄλλων μοναχῶν ἀδίκως κατηγόρει, Βαρλαὰμ συνηγορῶν. C

κε'. Τοιαῦτα μὲν βασιλεὺς ὁ Καντακουζηνὸς ὕστερον, V. 645 ἐπεὶ εἰς χεῖρας αὐτῷ τὰ Γρηγορᾶ συγγράμματα ἧκει, ἀπε- D λογεῖτο περὶ ἑαυτοῦ, καὶ ψευδῆ καὶ ἀπίθανα συγγεγραφέναι ἀπεδείκνυεν ἐκεῖνον. ἔπειτα καὶ τῶν Ῥωμαίων τοὺς ἐν λόγῳ μάλιστα καὶ ἐπιφανεστέρους ἐξεπίτηδες συγκαλεσάμενος, εἰς ἐπήκοον ἀναγινώσκεσθαι παρεῖχε πάντων, καὶ πολλὴν αὐτοῦ πάντες κατεγίνωσκον ψευδολογίαν καὶ ἀναίδειαν καὶ κουφότητα, ὅτι περὶ δημοσίων πραγμάτων, ἃ πολλοί, μᾶλλον δ' ἅπαντες συνίσασι, γράφειν προείλετο οὐκ ἀληθῆ, ἐφ' οἷς

17. γράμματα P. ἀπεγορεῖτο P.

mendacia multa effudit, longe minus ab imperatore, praesertim cum ei offecisse videretur, temperare voluit. Pietati autem meae et in vera atque avita religione constantiae tota ecclesia, gratia Dei in veritate stabilita et Apostolicis traditionibus sedulo inhaerens, testimonium dabit: nec minus ipse Gregoras, accusator meus, qui toto belli tempore non solum de laudibus meis multa disseruit, sed etiam benevolentia quadam in me mea causa extrema perpeti paratus fuit, quando eadem sentiebam, quae hodie sentio. Nam damnationem Barlaami, qua illum feriit Andronicus imperator, ipse approbavi, et post eius mortem rursum Acindynum damnavi, Ioanne patriarcha synodum convocante et stomachante vehementius propter ea, quae Acindynus Barlaamo patrocinans, in Palama ceterisque monachis iniuste accusaverat.

25. Haec Cantacuzenus imperator postea, cum scripta Gregorae in manus eius venissent, pro se respondit, ipsumque falsa et incredibilia scripsisse demonstravit. Deinde honoratissimis et nobilissimis Romanorum dedita opera convocatis, in eorum praesentia recitari ambo iussit, omnesque Gregoram mendacem graphicum et hominem bene inverecundum ac levem pronuntiarunt, quod de publicis re-

A. C. 1351 ἔμελλε ῥᾷστα ἀπελέγχεσθαι ψευδόμενος. πυθόμενος δὲ ὁ Γρηγορᾶς ἃ δράσειε βασιλεὺς τὰ ἐκείνου θριαμβεύσας πλάσματα, οὐ μετρίως ἠνιάθη, ὅθεν καὶ συντυχὼν ὕστερον, ὠνείδιζε P 808 τὸν θρίαμβον, ὡς ἐπ' ἐκείνου τῇ αἰσχύνῃ εἰργασμένον. ἔφασκέ τε τὴν μὲν πρὸς τὸν τόμον ἀντιλογίαν ἰδίαν εἶναι, τὰ δὲ κατ' αὐτοῦ συγγεγραμμένα, ὅτου εἴη, ἀγνοεῖν· βούλεσθαι δὲ ἀφανίζειν ἐντυχόντα καὶ αὐτόν· ἃ εἰ καὶ πρότερον ἐπέμφθη πρὸς αὐτὸν, πυρὶ παρεδίδου ἂν πρὶν εἰς ἑτέρας ἥκειν ἀκοάς. βασιλεὺς δ' ἔφασκεν, οὐ συνορᾷν αὐτῷ τοὺς λόγους εἰς ὅ,τι τείνει. εἰ μὲν γὰρ μὴ τὰ συγγεγραμμένα ἤθελεν εἶναι φανερὰ, ἀλλ' ἀφανείᾳ πολλῇ κατέχεσθαι τὸν πάντα χρόνον, ἀνθ' ὅτου συντιθεὶς τοσοῦτον πόνον ἤνεγκεν; εἰ δ' ὅπερ δίκαιον, μᾶλλον εἶναι φανερὰ ἐβούλετο, καὶ μεγάλας ἂν εἴη χάριτας εἰδέναι δίκαιος, ὅτι ἐπὶ τοσούτων καὶ τῶν ἐπιφανεστέρων μά- B λιστα καὶ θαυμάζειν λόγων δύναμιν εἰδότων παρέσχετο ἀναγινώσκεσθαι, ἵν' ἐπαινοῖτό τε καὶ τὰς ἐπικαρπίας κομίζοιτο τῶν πόνων ζῶν, μάλιστα καὶ τῶν ἐπαίνων αἰσθανόμενος. νεκροὺς γὰρ οὔτ' ἔπαινος, οὔτε ψόγος ἡδύνειν ἢ ἀλγύνειν οἶδεν. εἰ δὲ διὰ τὸ πεφωρᾶσθαι τὰ ψευδῆ, ἃ ἐξ οὐκ ὄντων αὐτὸς παρ' ἑαυτοῦ πλάττεται, ἀλγεῖ, οὐκ αὐτὸς ἂν εἴη τῆς ἀλγηδόνος αἴτιος αὐτῷ, εἴπερ μηδὲ πέπεικεν αὐτὸς φαῦλον εἶναι καὶ τῆς ἀληθείας καταψεύδεσθαι. δέον μέντοι καὶ πρὸς τοῦτο μὴ πάνυ δάκνεσθαι. ὀλίγῳ γὰρ ὕστερον ἀπολιπὼν τὸν

bus, quas plerique omnes nossent, figmenta litteris mandare non dubitasset, adeo ut mendaciorum convinci facillime posset. Gregoras, audito quod imperator fecisset, et quomodo de eius commentis triumphum egisset, tristitia non vulgari affectus, eum convenit, de triumpho illo, ut ad dedecus suum instituto, conquestus est. Quae contra tomum dicta sint, sua esse: quae contra ipsum imperatorem, nescire se, cuius sint: velle autem, ubi inciderit, ea supprimere: quae si prius accepisset, quam ad aliorum aures venirent, igni mandaturum fuisse. Hic imperator, non se perspicere, quorsum verba eius pertineant. Si enim scripta sua nolebat exire in publicum, cur tantum laborem in componendo susceperit? Si autem, quod aequius, publica volebat esse, etiam magnas sibi gratias merito debere, cum coram tam multis et illustribus et vim dicendi admirari scientibus ea legenda dederit, ut et laudaretur et laborum suorum fructum adhuc vivus perciperet gloriamque sentiret; mortuos enim nec laudibus delectari, nec vituperatione contristari. Quodsi propterea doleat, quia eius mendacia deprehensa sint, quae nullo fundamento ipse excogitarit, non se illi causam doloris esse, quandoquidem non suaserit, ut tam improbe contra veritatem mentiretur. Oportere tamen etiam ob hoc moerori non indulgere:

βίον, οὔτε τῶν ἐπαινούντων αἰσθήσεται, ἢ τῶν ὑβριζόντων, A. C. 1351
ἄν τε δίκαιοι καὶ ἀληθεῖς αἱ μέμψεις ὦσιν, ἄν τε μή, ὥσπερ C
καὶ ὧν αὐτὸς κατηγόρηκε πολλὰ καταψευδόμενος. ἐκεῖνο δὲ μᾶλλον δίκαιον λυπεῖν καὶ οὐκ ὀλίγην ἐμποιεῖν φροντίδα, μὴ ἐν τῷ μέλλοντι δικαστηρίῳ, ὥσπερ καὶ τῶν ἄλλων ἐγκλημάτων τῶν κατὰ τὸν βίον καὶ τοῦ ψεύδους καὶ τῆς συκοφαντίας δίκας δῶμεν, καὶ μάλιστα εἰ μηδεμίαν πρόφασιν ἑτέραν ἔχοι, ἢ ἄδικον ἀπέχθειαν. ταῦτα μὲν οὖν ὕστερον βασιλεῖ τῷ Καντακουζηνῷ ἐπράχθη τε καὶ εἴρητο μετὰ τὸ τῆς ἀρχῆς βασιλεῖ τῷ γαμβρῷ παρακεχωρηκέναι καὶ καθ' ἡσυχίαν βιοτεύειν, ὑποδύντα σχῆμα μοναχῶν. τότε δὲ ἐπεὶ τὰ κατὰ τὴν σύνοδον ἀπήρτιστο πάντα καὶ τέλος εἶχε, καὶ V. 646
οἱ τὰ Ἀκινδύνου ᾑρημένοι ἠλέγχοντο ἀσεβοῦντες φανερῶς, D
ἐπὶ τὰς πολιτικὰς ἐτρέπετο πάλιν πράξεις· καὶ παρεσκευάζετο ὡς ἐπιστρατεύσων Τριβαλοῖς. ἐν τούτῳ δὲ τοῖς ἐν Γαλατᾷ Λατίνοις δέκα καὶ τέτταρες ἐκ Βενετίας ἐπέπλευσαν τριήρεις. νυκτός τε ἐπελθόντες ἀπροσδόκητοι, ἀπέβησάν τε οὐ προαισθομένων, καὶ ἐγένοντο ἐντὸς τειχῶν, (ἦσαν γὰρ αἱ πύλαι τοῦ φρουρίου νυκτὸς ἀνεῳγμέναι ὑπ' αὐθαδείας καὶ θρασύτητος τῶν ἐνοικούντων,) καὶ ἐκάκωσαν οὐκ ὀλίγα. ὡς γὰρ ᾔσθάνοντο οἱ φύλακες τὴν ἅλωσιν, βοῇ τε ἐχρῶντο καὶ συνεκάλουν ἐπὶ τὴν ἄμυναν τοὺς ἐγχωρίους. οἱ δὲ ἐκ τῶν οἰκιῶν ἄοπλοι ἐπὶ τὴν θάλασσαν κατιόντες, βουλόμενοι, ὅ,τι

12. ἀπήρτηστο P. 17. τε om. M. 21. ἄλησιν P. 23. βουλόμενοι om. P.

paulo enim post discessu facto ex hac vita, nec laudes, nec reprehensiones sensurum, sive iure ac vere, sive secus reprehendatur. Sicut nec illi sentiant, quos ipse multa mentiendo insimulaverit. Illud potius aegritudinem ac sollicitudinem non parvam ingenerare nobis debere, ne in futuro iudicio quomodo aliorum criminum in hac vita designatorum, sic mendacii quoque calumniarumque poenas persolvamus: potissimum si praeter iniquum odium nullam aliam mentiendi calumniandique causam habuerimus. Haec postea a Cantacuzeno facta et dicta sunt, quum imperatori genero imperium tradidit et sub habitu monachi vitae genus pacatum et quietum agere constituit. Tunc autem synodo prorsus finita, et Acindyni sectatoribus impietatis evidenter convictis, civilibus actionibus sese reddens, expeditionem in Triballos adornavit. Interea ad Latinos Galataeos quatuordecim Venetorum triremes appelluntur. Et quia noctu improvisi supervenerant, non animadversi descenderunt, intraque muros ingressi, (portae siquidem oppidi per noctem apertae relinquebantur; ea erat incolarum superbia et audacia;) non parum nocuerunt. Custodes enim ubi oppidum captum animadverterunt, vociferationibus cives ad vim propulsandam concitarunt, qui

A. C. 1351 εἴη τὰ δρώμενα μαθεῖν, ἐτιτρώσκοντό τε καὶ ἀπέθνησκον πολ-
P. 809 λοί. ἔπειτα ὡς ᾔσθοντο ἀναθαρσήσαντες καὶ ὁπλισάμενοι, ἐξήλασαν τοὺς πολεμίους αὖθις, οὐδὲν γενναῖον εἰργασμένους, ἀλλὰ φαυλότατα ἠγωνισμένους· ὅμως διεσώθησαν πάντες ἐπὶ τὰς τριήρεις, οὐδενὸς πεσόντος, τραυματιῶν δὲ ὀλίγων γενομένων, ἀναγόμενοί τε τοῦ λιμένος, καὶ ὁλκάδας εἷλκυσαν κενάς τινας καὶ ἐκυρίευσαν. ἐπεὶ δὲ ἡμέρα ἤδη ἦν, δὶς μὲν καὶ τρὶς ἐπεχείρησαν πῦρ ἐνεῖναι ταῖς ὁλκάσιν οὔσαις πλείσταις ἐπὶ τοῦ λιμένος, ἀπεκρούσθησαν δὲ ὑπ' ἐκείνων, οὐδ' ἐγγὺς γενέσθαι δυνηθέντες. ἔπειτα παραπλέοντες ἐκάκουν, καί τινων ἐκράτησαν ὁλκάδων ἐκ Πόντου καταπλεουσῶν. ἐν
B ταύταις δὴ ταῖς ὁλκάσι καὶ πρέσβυς ἐκ Βενετίας ἀφῖκτο Δελφὶν ὠνομασμένος πρὸς βασιλέα, καὶ ἐδεῖτο συμμαχεῖν αὐτοῖς πρὸς τὸν κατὰ τῶν ἐκ Γεννούας πόλεμον, μεγάλα τέ τινα ἐπηγγέλλετο τὸν δοῦκαν Βενετίας καὶ τὴν βουλὴν Ῥωμαίους ὠφελήσειν, εἰ πείθοιτο αὐτοῖς συμμαχεῖν ὁ βασιλεύς. τὰ ἴσα δὲ καὶ ὁ ῥὴξ Ῥαουήνας πρὸς βασιλέα διὰ γραμμάτων ἐπρεσβεύετο, καὶ μεγάλα ἐπηγγέλλετο, καὶ ἐδεῖτο βασιλέως τοῖς ἐκ Βενετίας συμμαχεῖν, οἷς καὶ αὐτὸς σύμμαχός ἐστι. βασιλεὺς δὲ ἀπηγόρευεν αὐτοῖς, ὥσπερ καὶ πρότερον, τὴν συμμαχίαν ἐν Θεσσαλονίκῃ. ἔφασκε γὰρ ἀδικεῖν μηδέν, εἰ
C πρὸς τῷ μηδὲν αὐτοῖς ἐμποδὼν εἶναι πρὸς τὸν πόλεμον, μηδὲ πρὸς ἐκείνους πολεμοίη. ὡς μὲν γὰρ αἰτίας ἐκεῖνοι πολλὰς

6. εἵλκυσαν P. 12. τριήρεσι M.

ex aedibus inermes versus mare decurrentes, et quid hoc rei esset noscitare cupientes, partim vulnerabantur, partim (et quidem non pauci) interficiebantur. Tandem re comperta, animis et armis instructi, hostes, nulla re memorabili gesta, et ignavissime proeliantes, rursum eiiciunt: qui ad triremes, nullo suorum interfecto, aliquot dumtaxat vulneratis, pervenerunt, solventesque onerarias quasdam vacuas secum abstraxerunt ac sibi proprias fecerunt. Claro iam die bis terque ignem in onerarias, quae plurimae in portu stabant, immittere conati sunt, sed accedere propius non sinebantur. Deinde praetereundo alias infestabant et quasdam e Ponto descendentes onerarias capiebant. In istis igitur triremibus etiam legatus Venetorum, nomine Delphinus, ad imperatorem mittebatur, opem rogatum ad bellum contra Genuenses, promittebatque, ducem Venetiarum et senatum de Romanis meriturum optime, si auxilium annueret. Paria Ravennae princeps per litteras pollicens rogabat, nempe uti Venetos adiuvandos susciperet, quibus etiam ipse opitularetur. Imperator eis societatem, ut et antea apud Thessalonicam, negavit, addiditque, nullam se ipsis facere iniuriam, si, praeterquam quod nullo eis ad bellum impedimento esset, adversum Galataeos etiam non pugnaret. Qui tametsi bellum saepe commeruerint, et

παρέσχοντο πολέμου, καὶ οὐδεὶς ἂν αὐτῷ μέμφοιτο δικαίως A.C. 1351 ἀμυνομένῳ τῶν προτέρων ἕνεκα ἀδικημάτων, οὐδεὶς ἂν ἔχοι ἀντειπεῖν· πρὸς μέντοι τὴν αὐτῶν φιλίαν ἐνστήσεσθαι οὐδὲν, εἰ αὐτὸς ἑκὼν εἶναι τοῖς προσκεκρουκόσι παρέχοιτο συγγνώμην. ὁ μὲν οὖν βασιλεὺς οὕτως εὐφυῶς ἀπεσκευάζετο τὸν πόλεμον. μᾶλλον γὰρ ἐδόκει εἶναι ἄριστον ἑκατέρων ἀποσχόμενον προσέχειν τῇ ἠπείρῳ καὶ τὰς δεδουλωμένας Ῥωμαίων πόλεις ἐλευθεροῦν ἀπὸ τῶν πολεμίων. ὁ ἐκ Βενετίας δὲ πρεσβευτὴς καὶ ἄλλοι οὐ μετρίως ἠγανάκτουν, πρὸς τὴν συμμαχίαν αὐτοῖς ἀπαγορεύοντος βασιλέως. οἵ τε ἐκ Γαλατᾶ D ὁμοίως εἰδότες, ὡς οἱ πολέμιοι σφίσι δέονται βασιλέως συμμαχεῖν, πρεσβείας καὶ αὐτοὶ συχνὰς ποιούμενοι, ἐδέοντο μὴ σφᾶς περιιδεῖν, ἀλλὰ συγγνώμην τε παρέχειν, εἴ τι πρότερον ἠγνωμονήκασι, καὶ νῦν μὴ συμμαχεῖν τοῖς πολεμίοις. ἐπηγγέλλοντό τε εἰσαῦθις μηδέποτε ἀγνωμονήσειν, ἀλλὰ πάντα ποιήσειν τὰ κατὰ γνώμην βασιλεῖ καὶ δουλεύειν ἀκριβῶς. ἅμα δὲ καὶ χρήματα παρείχοντο οὐκ ὀλίγα. βασιλεὺς δὲ τὸ μὲν μὴ πολεμήσειν ἐπηγγέλλετο, εἰ τὰ ἐπαγγελλόμενα καὶ αὐτοὶ ἀληθῆ ἐπὶ τῶν ἔργων ἀποδείξαιεν, τὰ δὲ χρήματα οὐκ ἐλάμβανεν, οὐκ αὐτῷ πρέπουσαν οἰόμενος εἶναι τὴν μικρολογίαν, οὐδὲ δοκεῖν ἐπὶ χρήμασι τὰ κοινῇ λυσιτελοῦντα προΐεσθαι Ῥωμαίοις. οἱ ἐκ Βενετίας δὲ ὡς βασιλεὺς ἀσυμβάτως ἔχει συνορῶντες P. 810 πρὸς αὐτοὺς, (οὐδὲ γὰρ ᾤοντο οὐδὲν λόγου ἄξιον αὐτοὶ δυ- V. 647 νήσεσθαι, μὴ βασιλέως συνεφαπτομένου πρὸς τὸν πόλεμον,)

nemo queat reprehendere, aut contradicere, si praeteritas iniurias persequatur, attamen in amicitiam Venetorum nihil peccaturum, si offensas ipsis sua sponte condonet. Imperator igitur ita scite bellum subterfugit. Longe enim melius putabat, ab utrisque abstinentem, ad Romanorum urbes, quae erant in continente, ab hostium dominatu asserendas incumbere. At Venetus legatus et alii, qui cum eo venerant, huius societatis recusationem permoleste ferebant. Galataei quoque, ut resciverunt, hostes suos imperatorem rogare auxilia, iteratis legationibus orare insistebant, ne despicerentur, sed si quid antea improbius in illum admisissent, veniam daret, nec iam vires hostium augeret, in posterum nihil per scelus unquam, sed omnia ex eius arbitratu facturos diligenterque parituros; simul pecuniam ingentem offerebant. Imperator armis se temperaturum spondere, si opere ipso promissorum veritatem confirment: pecuniam repudiare, ratus, non se decere hanc humilitatem animi, neque videri pecunia delinitum commune Romanorum emolumentum in extremis ponere. Veneti eum a societate secum paciscenda abhorrentem experti, quoniam absque ipso nihil egregium se effecturos opinabantur, graviter id atque indigne ferebant: et cum

A. C. 1351 δεινὰ μὲν ἐποιοῦντο καὶ ἠγανάκτουν· φανερῶς μέντοι κινεῖν
πρὸς βασιλέα πόλεμον ὡρμημένοι οὐκ ἐφαίνοντο, ἀλλ' ὑπο-
ψίας παρεῖχον μόνον. αἱ γὰρ πρὸς Ῥωμαίους αὐτοῖς σπονδαὶ
ἐπ' ἐξόδῳ ἔτυχον οὖσαι τότε. ἔχουσι γὰρ πρὸς Ῥωμαίους
οὐ διηνεκεῖς, ἀλλ' ἐπ' ἔτεσι ῥητοῖς ἀπὸ τῶν Μιχαὴλ τοῦ
πρώτου τῶν Παλαιολόγων βασιλέως χρόνων. ἐπειδὰν δὲ ἐν
ἐξόδῳ αἱ συμβάσεις γένωνται, ἔξεστιν ὁποτερῳοῦν πόλεμον, εἰ
βούλοιτο, κινεῖν· εἰ δ' ἑκατέροις λυσιτελεῖν δοκοίη μᾶλλον ἡ
εἰρήνη, αὖθις τὰς σπονδὰς ἀνανεοῦσι καὶ τοὺς ὅρκους. ἐπε-
B κράτησε δὲ παρὰ Ῥωμαίοις καὶ τοῖς ἐκ Βενετίας Λατίνοις τὸ
τοιοῦτον ἔθος ἐκ τοιαύτης μάλιστα αἰτίας. βασιλεὺς ὁ πρῶτος
Μιχαήλ, ἐπεὶ Βυζάντιον ἀνεσώσατο Ῥωμαίοις καὶ Θρᾴκην καὶ
Μακεδονίαν καὶ τὴν ἄλλην ἅπασαν ἑσπέραν ἑξήκοντα ὀλίγῳ
πλείω ἔτη δουλεύσαντα Λατίνοις, πεζὴν μὲν καὶ ἱππικὴν δύνα-
μιν μεγάλην εἶχε καὶ ἀξιόμαχον πρὸς πάντας πολεμίους, ναυ-
τικὴν δὲ οὔπω τοσαύτην παρεσκευασμένος ἦν, ὅσην ὕστερον·
ὅθεν καὶ τοὺς θαλασσοκρατοῦντας ἐδεδίει καὶ ἐθεράπευε, τῷ
καιρῷ προσήκοντα ποιῶν· δεῆσαν μέντοι πρὸς ἑκάστους τί-
C θεσθαι σπονδάς, τοῖς μὲν ἄλλοις, ὅσοι κατ' ἐμπορίαν εἰς Βυ-
ζάντιον ἢ ἑτέρας παραλίους πόλεις Ῥωμαίοις ὑπηκόους κα-
ταπλέουσι, φόρους ἔταττε καὶ ἀργύριον ῥητὸν τῷ δημοσίῳ·
καὶ ἐπείθοντο ἀδύνατοι ὄντες ἀντιλέγειν. ἄχρι γὰρ καὶ νῦν
παρέχονται τοὺς φόρους. οἱ ἐκ Βενετίας δὲ καὶ Γεννούας
μέγα δυνάμενοι καὶ τὸν Ἰώνιον καὶ Αἰγαῖον καὶ τὸν Εὔξει-

20. Ῥωμαίους P. 24. μεγάλα M. mg. Ἰόνιον P. et M.

aperte bellum adversus illum moliri non viderentur, suspicionem tamen praebebant: nam foedus cum Romanis tum exspirabat. Quod quidem non aeternum, sed ad annos praefinitos ac certos habent, a temporibus Michaelis primi Palaeologi imperatoris: quibus transactis, utrivis parti bellum movere integrum est. Sin utrique parti pax utilior appareat, foedus denuo sancitur. Ea consuetudo inter Romanos ac Venetos hinc potissimum manavit. Michael imperator, Byzantio, Thracia, Macedonia, toto occidente (quae paulo amplius sexaginta annos sub ditione Latinorum fuerant) Romano imperio recuperatis, copias quidem pedestres et equestres non exiguas et quibusvis hostibus opponendas habebat, classem nondum tantam, quantam postea aedificavit: unde et maris dominos timebat, et tempori se accommodans, officiis eos demerebatur. Cum autem foedus facere cum singulis oporteret, aliis quidem mercatus causa Byzantium et ad alias urbes Romanorum maritimas navigantibus portoria et pecuniam certam aerario inferendam imposuit: qui quod aliter non possent, parebant et usque hodie vectigal pendunt. Veneti autem et Genuenses, freti potentia sua et Ionium, Aegaeum, Euxinum

νον στόλοις μεγάλοις παραπλέοντες, ὧν τὰ παράλια πάντα A. C. 1351 μάλιστα, ἢ τὰ πλείω ὑπήκοα Ῥωμαίοις τότε ἦσαν, οὐκ ἐπείθοντο παρέχειν φόρους, ἀλλ' ἠξίουν ἐν πᾶσιν ἐμπορίοις τὴν βασιλέως ἀτέλειαν καρποῦσθαι. βασιλεὺς δὲ τότε πείθειν οὐκ ἔχων, καὶ βιάζεσθαι τοῖς ὅπλοις μὴ δυνάμενος, τοῖς μὲν ἐκ Γεννούας ἔθετο σπονδὰς διηνεκεῖς ἐπὶ τῷ ἐκείνους μὲν εἶναι D ἀτελεῖς παντάπασιν ἐν πάσαις πόλεσι καὶ ἐμπορίοις, ἃ εἰσιν ὑπήκοα Ῥωμαίων, καταπλέοντας, αὐτοὺς δέ τινα τρόπον ὑπὸ βασιλέα τελεῖν, τριήρεις τε παρέχειν κατὰ συμμαχίαν, εἰ δέοιτο, πεντήκοντα ἐφωπλισμένας, βασιλέως μόνου ναύταις καὶ ὁπλίταις μισθὸν παρέχοντος. εἰ δὲ κενῶν δέοιτο τριηρέων, τὰς ἴσας παρέχειν μετὰ τῶν ὅπλων μόνων καὶ ἀρχόντων, συμμαχεῖν τε βασιλεῖ καθ' ὁποίου ἂν ποτε πολεμῇ, καὶ φίλους εἶναι αὖθις καὶ συμμάχους, οἷς ἂν ἐκεῖνος φίλοις χρῷτο. τοῖς ἐκ Βενετίας δὲ ἀσυμβάτως εἶχε καὶ ἐβούλετο πολεμεῖν. ἑτέρου δὲ πολέμου μείζονος ἐπικειμένου τοῦ ῥηγὸς Καρούλου, (προσεδοκᾶτο γὰρ ἐκεῖνος στόλῳ μεγάλῳ P. 811 ἐπιπλεύσειν Βυζαντίοις,) καὶ παρασκευαζομένου βασιλέως πρὸς ναυμαχίαν ἐπ' ἐκεῖνον, ἐδόκει δεῖν ἀνακωχὰς πρὸς τοὺς ἐκ Βενετίας τίθεσθαι, καὶ ἔθετο ἐπ' ἔτεσι ῥητοῖς, ἵν', εἴ ποτε ἀπαλλαγείη τοῦ πρὸς Κάρουλον πολέμου, ἐξείη πολεμεῖν αὐτοῖς, τῶν σπονδῶν ἐξηκουσῶν. τὸ δὴ τοιοῦτον ἐξ ἐκείνου ἄχρι νῦν ἐπικρατῆσαν ἔθος, τὸν ἴσον τρόπον αἱ πρὸς Ῥωμαίους

8. καταπλέουσιν P.

maria magnis classibus circumnavigantes, (ad quorum littora urbes paene omnes, aut saltem plurima pars tunc Romanis suberat,) huiusmodi portorium solvere detrectabant, volebantque per omnia emporia immunitatem sibi concedi. Imperator, quoniam illos tunc nec verbis movere, nec armis cogere valebat, cum Genuensibus foedus perpetuum percussit, ut essent quidem per universas urbes et emporia Romanorum immunes penitus, aliquo tamen modo imperatori subiicerentur et, si opus foret, subsidiarias triremes armatas quinquaginta mitterent, imperatore solum remiges et stipendia in militem suppeditante. Si vacuis egeret, totidem numero, tantum cum armis et praefectis praeberent et, quo bellatum proficisceretur, eo sequerentur eosdemque secum amicos ac socios colerent. Cum Venetis, quia convenire nihil poterat, proelio contendere cogitabat. Verum bello alio maiore ingruente, a rege, inquam, Franciae Carolo, (exspectabatur enim cum potenti classe Byzantium venturus,) et parante se ad navalem pugnam imperatore, placuit in annos certos cum Venetis inducias pacisci: ut, si quando bello contra Carolum defungeretur, exeunte foedere, adversum illos fortunam bellicam experiretur. Atque hac ab illis temporibus ducta consuetudine,

A. C. 1351 αὐτοῖς γίνονται σπονδαί. ἐπειδὰν δὲ ἥκωσιν εἰς τέλος, ἀνανεοῦνται αὖθις. εἰ δὲ δοκοίη θατέρῳ πολεμεῖν, ἔξεστι μηδὲν ἐγκαλουμένῳ. ἐν ἐξόδῳ τοίνυν τῶν πρὸς τοὺς ἐκ Βενετίας σπονδῶν, ὥσπερ ἔφημεν, οὐσῶν, ἐπεὶ μὴ βασιλέα πείθειν εἶχον συμμαχεῖν αὐτοῖς ἐπὶ τοὺς πολεμίους, φανερῶς B μὲν οὐ κατήγγελλον τὸν πόλεμον, τὸν δὲ ἄρχοντα τῶν ἐν Βυζαντίῳ οἰκούντων ὑπηκόων αὐτοῖς ἐν ταῖς τριήρεσιν ἀναλαβόντες, ἀπεχώρουν, δόκησιν δὲ παρεῖχον, ὡς ἀμυνοῦνται βασιλέα τοῦ μὴ συμμαχεῖν, εἴ ποτε λάβοιντο καιροῦ.

V. 648 κϛ'. Οἱ ἐν Γαλατᾷ δὲ ὁρῶντες ἐκείνους ἀποχωροῦντας, C οὐκ ἐνόμισαν ὅπερ ἦν, ὡς πρὸς τὴν ἐκείνων χάριν ἀπαγορεύσειεν αὐτοῖς ὁ βασιλεὺς τὴν συμμαχίαν, ἀλλ' ᾤοντο μεγάλα τινὰ ἀλλήλους ἀπαιτεῖν, δι' ἅπερ ἀσυμβάτως ἐσχηκέναι, ἄλλως τε καὶ τοὺς εὐεργετοῦντας ἀεὶ κακοῖς ἀμείβεσθαι εἰωθότες, ὥσπερ τοὺς πάλαι Λακεδαιμονίους λέγουσιν, ἵνα μηδενὸς δοκῶσι δεῖσθαι, μηδ' ἥττους εἶναι μηδενὸς, ὑπ' ἄκρας D αὐθαδείας καὶ φυσήματος, ἐν ἡμέρᾳ μέσῃ, καὶ μηδεμίαν αὐτοῖς αἰτίαν πολέμου παρεσχημένου βασιλέως, λίθον ἀφῆκαν ἐπὶ τὸ Βυζάντιον διὰ τῆς μηχανῆς. ἐπεὶ δὲ ἐπύθετο τὸ συμβὰν ὁ βασιλεὺς, πρὸς τὸν ἐκείνων ἄρχοντα πέμψας καὶ τὴν βουλὴν, τὴν αἰτίαν ἐπυνθάνετο, δι' ἣν ἄρχονται πολέμου. ἐκείνων δὲ ὑποκρινομένων ἀγνοεῖν καὶ τὴν αἰτίαν τῆς ἀτοπίας τῷ ἐπὶ τῆς μηχανῆς ἀνατιθέντων τεταγμένῳ, ἐκέλευον οἱ πρέσβεις ἐκεῖνόν τε καὶ τοὺς συναραμένους κολάζειν. ἀδύ-

15. Λακεδαιμονίας P.

Veneti cum Romanis foederantur: ea foedera, cum terminus advenerit, renovantur. Quod si alterutris bellum arriserit, citra crimen licet. Ergo in exitu foederis cum Venetis, ut dicebamus, ubi imperatorem ad coëundam belli societatem adducere nequiverunt, palam quidem arma haud denuntiantes, praefectum suorum, qui Byzantii habitabant, in triremes accipientes recesserunt, cum opinione, si occasionem nanciscerentur, se de imperatore ulturos.

26. Galataei cernentes, abire Venetos, et falso existimantes, non in ipsorum gratiam imperatorem auxilium denegasse, sed potius, cum magna quaedam inter se reposcerent, convenire non potuisse: cum alioqui etiam bene meritis semper male gratiam referre consuevissent, (quomodo olim Lacedaemonios fecisse fertur,) ne ullius egere, neve ulli cedere viderentur, prae nimio fastu et arrogantia meridie, nulla re ab imperatore irritati, lapidem tormento Byzantium per machinam iaculati sunt. Quo cognito imperator ad eorum principem et senatum mittit percunctatum, quare bellum inceptarent. Illi factum ignorare simulant et causam facinoris tam insolentis machinario tribuunt. Tum legati in illum et administros exemplum edi

νατον γὰρ μὴ καὶ πολλοῖς ἑτέροις χρῆσθαι συνεργοῖς. οὕτω A. C. 1351
γὰρ ἦν αὐτοῖς προστεταγμένον ὑπὸ βασιλέως. οἱ δὲ ἐπηγ-
γέλλοντο προθύμως. ἐς τὴν ὑστεραίαν δὲ ἅμα ἕῳ καὶ λίθον
ἕτερον ἐπὶ Βυζάντιον ἀφῆκαν. νομίσας δ' ὅπερ ἦν ὁ βασι- P. 812
λεὺς, ὡς διὰ τὸ τοὺς ἐκ Βενετίας ἀνακεχωρηκέναι θρασυν-
θέντες αὐτοὶ περιφρονοῦσι καὶ πολέμου ἄρχουσιν, αὐτοῖς
μὲν αὐτίκα πόλεμον κατήγγελλε πέμψας, καὶ ἐκέλευεν ἡμέ-
ραις ὀκτὼ διαλυσαμένους, ὅσα πρὸς Ῥωμαίους ἔχουσι συμ-
βόλαια ἐπ' ἐμπορίας ἢ χρέα ἢ ἑτέρας τινὰς προφάσεις, κα-
θίστασθαι πρὸς πόλεμον. τοὺς δὲ ἐκ Βενετίας μετεπέμπετο.
οἱ δ' ἀνέστρεφον αὐτίκα χαίροντες, καὶ ἐτίθετο πρὸς αὐτοὺς
συμμαχίαν καὶ σπονδὰς, ἥττους μὲν ὧν ἔμελλε πρότερον
ποιεῖν παραπολὺ, (μεγάλα γάρ τινα καὶ μάλιστα λυσιτελῆ
Ῥωμαίοις ἐπηγγέλλοντο, περιπλείστου ποιούμενοι τὴν βασι-
λέως συμμαχίαν,) τότε δὲ, ἐπεὶ ἑώρων ἀδυνάτως ἔχοντα ἑτέ- B
ρως πράττειν, (ἤδη γὰρ οἱ ἐν Γαλατᾷ ἐκπεπολέμωντο,) ἀφῄ-
ρουν πολλὰ τῶν πρότερον ἐπηγγελμένων. ὅμως δ' οὖν γε-
γενημένων τῶν σπονδῶν, ὁ πρὸς τοὺς ἐκ Γεννούας αὖθις ἤρ-
χετο πόλεμος τῷ βασιλεῖ. αἰτία δὲ ἦν τοῖς ἐκ Βενετίας καὶ
Γεννούας τοῦ πολέμου τούτου, ὃς ἀμφοτέροις συμφορῶν με-
γάλων αἴτιος ἐγένετο, ὅτι, πρὸς Τάναϊν ἐπ' ἐμπορίᾳ πλεόν-
των ἀμφοτέρων, συμβέβηκέ τινι τῶν ἐκ Βενετίας πρὸς Σκύ-
θην τινὰ διενεχθῆναι, καὶ τὴν διαφορὰν μέχρι φόνου προελ-
θεῖν, ἀμυνομένων δὲ ὑπὲρ τοῦ ὁμοφύλου τῶν Σκυθῶν, τῶν

8. διαλυσάμενος M. 22. Γεννούας M. mg.

instant; (fieri enim neutiquam posse, quin multos adiutores habuerit;) sic enim sibi ab imperatore mandatum. Galataei se facturos statim pollicentur. Postridie mane aliud saxum Byzantium iaciunt. Tum reputans imperator et scopum tangens, propter recessum Venetorum in hanc confidentiam et contemptionem erupisse, ut bellum ordiantur, ipsis continuo per internuntium bellum indicit, iubens, diebus octo, quos haberent cum Romanis, mercaturae contractibus ac nominibus aliisve, quae praetexi possent, compositis, ad proeliandum occurrant. Deinde Venetos revocat, qui statim gaudentes revertuntur. Cum his societatem ac foedus instituit, multo minore conditione, quam prius erat facturus, quando, summopere expetita imperatoris societate, eximia quaedam et Romanis utilissima promittebant. Sed ut eum animadverterunt facile aliter non posse, (iam enim Galataei arma fremebant,) multa ex promissis illis magnificis resciderunt. Nihilo minus facto contra Genuenses foedere, bellum denuo ab imperatore inchoatum est. Causa porro belli huius Venetis et Genuensibus (quod utrisque magnae cladi fuit) erat quod, Tanaim ambobus mercatus gratia navigantibus, Genuensi

A.C. 1351 τε Λατίνων ὁμοίως ὑπὲρ τοῦ οἰκείου, δημοσίᾳ τῶν γενῶν C ἑκατέρων ἐγένετο ἡ μάχη, καὶ ἔπεσον μὲν πολλοὶ Λατίνων V. 649 παρὰ τὴν μάχην, διπλασίους δὲ καὶ περαιτέρω τῶν Σκυθῶν. ἔπειτα ἐπὶ τὰς ναῦς τῶν Λατίνων ἀναχωρησάντων, ἐπεὶ μηδὲν οἱ Σκύθαι βλάπτειν ἦσαν δυνατοί, ἀθάλαττοι ὄντες παντελῶς, ἐπεστράτευσαν Καφᾷ, ὃ Λατίνων τῶν ἐκ Γεννούας φρούριόν ἐστι τοῖς παραλίοις τῆς Σκυθίας κατῳκισμένον, καὶ ἐπολέμησαν ἐπ' ἔτεσι δυσὶ, μηδεμίαν ἐνδιδόντες ἀνακωχήν. ἐν οἷς αὐτοί τε τῶν οἰκείων πολλοὺς ἀπέβαλον κατὰ τὰς μάχας καὶ τοῖς Λατίνοις αἴτιοι πολλῶν κατέστησαν ἀναλωμάτων. τῶν μὲν γὰρ τειχῶν ἦσαν ἥττους, τῶν ἔνδον κραταιῶς ἀμυνομέ- D νων, ἐμπορικῶν δὲ χρημάτων κατὰ τὴν Σκυθίαν ἐκράτησαν πολλῶν, καὶ κατὰ τὸν πόλεμον ἀναγκάζοντες τρέφειν μισθοφορικὸν ἐπὶ φρουρᾷ τοῦ πολιχνίου, οὐκ ὀλίγα ἐζημίωσαν. ἐπεὶ δὲ αὐτοῖς ἀνήνυτος ἐφαίνετο ἡ ἐπιχείρησις, διέλυον τὸν πόλεμον, θέμενοι σπονδάς. μετὰ δὲ τοῦ πολέμου τὴν κατάλυσιν ἠξίουν οἱ ἐκ Γεννούας, μηδένα μήτε Ῥωμαῖον, μήτε ἐκ Βενετίας ἔμπορον πλέειν ἐπὶ Τάναϊν, μήτ' ἐκ σφῶν, πρόφασιν μὲν, ὡς μὴ καὶ αὖθις ἀναγκάζοιντο ἔκ τινος αἰτίας Σκύθαις πολεμεῖν, τῇ δ' ἀληθείᾳ, προσόδων μεγάλων ἀφορμὰς σφίσιν αὐτοῖς κατασκευάζοντες. διενοοῦντο γὰρ, ὡς, εἰ κοινὸν ὁ Καφᾶς ἐμπόριον τοῖς ἁπανταχόθεν κατασταίη, μεγάλα ὠφελήσεσθαι αὐτοὺς ἁπανταχόθεν ἀργυρολογοῦντας·

13. ἀνασκευάζοντες M. 23. τοὺς add. P. ante ἁπανταχόθεν.

cum Scytha quodam altercante, lis usque ad caedem pervenerat. Dumque Scythae tuentur suum et Latini suum similiter, communis et publica inter utramque gentem pugna commissa est, multique Latini, sed amplius altero tanto Scythae oppetiverunt. Postea Latinis ad naves reversis, Scythae quia nocere nequibant, utpote maris expertes funditus, Capham, Genuensium oppidum in maritimis Scythiae aedificatum, oppugnare instituerunt obsederuntque biennio continenter. Quo tempore et de suis adverso Marte multos amiserunt et Latinos ad grandes impensas adegerunt. Nam muris oppugnandis haud satis valebant, quod castellani viriliter se acriterque defenderent: mercatorum vero mercimonia et illa multa per Scythiam occupantes et conductitios ad oppidi praesidium alere cogentes, non parum eis detrimenti creabant. Verum ut labor inanis apparuit, bellum foedere diremerunt. Quo dirempto, Genuates neque Romanum, neque Venetum mercatorem, nec de suis ullum Tanaim navigare voluerunt: verbo, ne rursus ipsis belli cum Scythis gerendi nasceretur materia, re, ut magnorum vectigalium causam sibi pararent. Sic enim ratiocinabantur, si Capha undecumque adventantibus commune emporium fieret, quaestum ubcrem argenti exactionc collecturos:

ἢ εἰ μὴ τούτοις, ἔφασαν, ἀγαπῷεν, τὰς κατὰ τὸν πόλεμον συνεκ- A.C. 1351 τινέτωσαν δαπάνας. Βενετικοῖς δὲ τό,τε Ταναΐδος παντά- P. 813 πασιν ἀποσχέσθαι ἐδόκει ἥκιστα λυσιτελεῖν, καὶ τὸ τὰ χρήματα συνεκτίνειν ἀνεκτὸν οὐδ' ἄκροις ἦν ὠσὶν, ἀλλ' ἔφασαν, μηδένα ἂν κωλύσειν πλέειν, ὅποι ἂν δοκῇ λυσιτελεῖν· καὶ ἅμα ἐπεχείρουν πλέειν ἐπὶ Τάναϊν, ἀκόντων Γεννουϊτῶν· οἱ δ' ἐκώλυον πρὸς βίαν καὶ ἐζημίωσαν εἰς χρήματα, ἐμπόροις ἐπιθέμενοί τισι καὶ κρατήσαντες ὁλκάδων. ἐκ δὲ τούτου εἰς τὸν πόλεμον κατέστησαν, καὶ μέγας ἀνεῤῥιπίσθη, καὶ χρήματα οὐκ ὀλίγα καὶ τριήρεις ἀπώλοντο ἀφ' ἑκατέρων. τότε δ' οὖν ἐπεὶ καὶ βασιλεὺς Βενετικοῖς συνεξώρμητο πρὸς τὸν B πόλεμον, τριήρεις τε ἐπλήρου καὶ τῆς θαλάττης ἐκράτει μετὰ τῶν ἐκ Βενετίας, καὶ ἐκ τῆς ἠπείρου πέμψας στρατιὰν, ἐπολιόρκει. καὶ πρῶτα μὲν ἑκατέρωθεν ἥ τε ναυτικὴ καὶ ἱππικὴ δύναμις προσβαλόντες, τὰς ἔξω Γαλατᾶ ἐνέπρησαν οἰκίας πάσας πλὴν ὀλίγων, αἳ ὑπὸ τοῖς τείχεσιν αὐτοῖς ἦσαν, ἔπειτα ἡ μὲν ἠπειρῶτις συχνὰς καθημέραν ποιουμένη τὰς ἐφόδους, ἀκριβῶς ἐπολιόρκει καὶ οὐδὲ προβαίνειν εἴα τειχῶν ἔξω τοὺς Λατίνους. τὴν ναυτικὴν δὲ ὁ βασιλεὺς εἰς δύο διελὼν, τὴν μὲν αὐτοῦ κατέλιπε τὸ φρούριον πολιορκεῖν, τὴν ἑτέραν δὲ ἔπεμπεν ἐπὶ Πόντον, τὰ Γεννουϊτῶν κακώσουσαν· καὶ ἐκάκω- C σαν ἐπιπλεῖστον. χρημάτων τε γὰρ ἐκράτησαν καὶ ἐμπόρων οὐκ ὀλίγων, καὶ ὁλκάδας ἐνέπρησαν πολλάς. ἐπεὶ δὲ ἐπα-

12. τῆς om. P. 17. ἡμῖν P. 21. ἐκάκωσεν M.

aut si istuc non probarent, belli sumptum una tolerarent. At Venetis Tanai prorsus excludi non videbatur e re publica, de communitate autem sumptuum horrebant audire, aiebantque, neminem sibi navigationem, quo sperata invitaret utilitas, adempturum: simulque, nolentibus etiam Genuensibus, Tanaim cursum dirigebant, qui per vim obsistebant et quosdam mercatores cum onerariis intercipientes, mercibus eos multabant. Inde bellum atrox conflatum, nec parum pecuniae et triremium utrimque deperditum. Tum igitur, ut et imperator Venetis belli socium se adscripsit, triremes militibus complebat, mare cum Venetis obtinebat et ex continente missa manu oppidum obsidebat. Ac primum quidem ab utroque latere et navalis et terrestris copia invadentes, aedes exteriores, (exceptis, quae sub ipsis muris erant,) incenderunt. Deinde agmen ex continente frequenter in dies singulos impetum faciebat arcteque obsidebat, ut Latinos ne prodire quidem extra muros permitteret. Navalem vero turbam bipartito dividens imperator, unam partem illic ad obsidionem reliquit, alteram in Pontum ad Genuates vexandos misit, quod cumulatissime praestiterunt: nam et merces et mercatores non paucos interceperunt et onerarias multas exusserunt.

A. C. 1351 νῆκον ἐκ τοῦ Πόντου, παρεσκευάζοντο πρὸς τὴν τειχομαχίαν,
καίτοι μάλιστα βασιλέως ἀπαγορεύοντος καὶ μὴ δεῖν οἰο-
μένου τείχεσιν ὀχυρωτάτοις καὶ πολλοὺς τοὺς ἀμυνομένους
ἔχουσιν ἐφεστηκότας προσβάλλειν, οὐδεμιᾶς ἐλπίδος οὔσης
περιγίνεσθαι τοῖς ὅπλοις, ἀλλὰ μᾶλλον χρονίῳ κατεργάζε-
σθαι πολιορκίᾳ, καὶ τῷ τῶν Βενετικῶν ναυαρχοῦντι Νικολάῳ
τῷ Πισσαίῳ παραινοῦντος. τῷ δὲ ἐδόκει μᾶλλον τειχομαχεῖν
D ὑπ' ἀπειρίας, καὶ τῶν Ῥωμαίων ἐῴκει ὁμαλῶς καθάπτεσθαι,
ὡς διὰ τὴν ἀτολμίαν σφῶν Γαλατᾶ ἀναλώτου μένοντος, ῥᾷ-
V. 650 στα δυναμένου, εἰ αὐτοῖς καὶ Ῥωμαῖοι συμπροθυμηθεῖεν. δι'
ἃ ὁ βασιλεὺς, καίτοι μάλιστα εἰδὼς, ὡς οὐ προσήκουσιν
ἔμφρονι καὶ δεινῷ στρατηγῷ ἐπιχειρεῖ, ὅμως ἐπείθετο διὰ
τὸ φύσημα τοῦ Λατίνου καὶ τὸ μὴ δοκεῖν ὑπ' ἀτολμίας
προΐεσθαι τὰ δυνατά. καὶ ἄλλα τε παρεσκευάζοντο ἐπιτήδεια
πρὸς τὴν τειχομαχίαν, καὶ ὁλκάδας μυριοφόρους συζεύξας
δύο καὶ, ὡς μάλιστα ἐνῆν, δοκοῖς μεγάλοις ἐφαρμόσας, ἔπειτα
πύργον ξύλινον ἐπέστησεν ἐπὶ τοσοῦτον ὕψους ἥκοντα, ὥστε
P. 814 εἶναι τῶν Γαλατᾶ μετεωρότερον τειχῶν. ὀροφάς τε εἶχε τρεῖς,
ἐξ ὧν ἔμελλον ἑστῶτες οἱ ὁπλῖται μάχεσθαι. ἀπὸ δὲ τοῦ
πύργου προβεβλημέναι ἦσαν δύο κεραῖαι μέγισται μεγέθει,
ἃς ᾤοντο διικνεῖσθαι ἄχρι τῶν τειχῶν, ἐφ' ἃς σανίσιν οἱ δη-
μιουργοὶ, ὥσπερ ἀναβάσεις, θέμενοι, ὁδόν τινα κατεσκεύασαν
ἀπὸ τοῦ πύργου φέρουσαν ἐπὶ τὰ τείχη. ᾤοντο δὲ, ὡς, τῶν
ἀπὸ τοῦ πύργου μαχομένων ἄδειαν παρεχομένων καὶ ῥᾳστώ-

8. ἐδόκει M. mg. pro ἐῴκει.

Ubi e Ponto redierunt, ad oppidi expugnationem se instruxerunt, quamquam imperatore nimiopere adversante existimanteque, muros validissimos, multis propugnatoribus supra adstantibus, nulla spe obtinendae victoriae adoriri non oportere, sed longinquitate obsidionis potius rem confectum iri, ac Venetae classis Nicolaum Pisanum ob id monente, cui, ut inexercitato, tentanda videbatur oppugnatio, quique Romanos aeque omnes notabat quodammodo, quasi per eorum timiditatem staret, quo minus Galata caperetur, quod facillime posset, si Romani secum vires alacriter consociarent. Quocirca imperator, etsi evidentissime sciret, eum aggredi, quae prudentem ac peritum ducem non decerent, tamen ne, quae obtineri possent, ipse quadam ignavia e manibus dimisisse putaretur, Latini spiritibus obsecundavit et cum alia ad oppugnationem apta comparavit, tum binas onerarias praegrandes coniunxit et, quantum potuit, trabibus copulavit, ligneamque turrim superposuit, cuius altitudo Galatae muros excederet. Turris illa tabulata habebat tria, in quibus milites consistentes pugnarent. Ab eadem duo cornua longissima proiiciebantur, quae usque ad moenia perventura existimabant, super

την πρὸς τὴν δίοδον, δι' αὐτῆς τῶν εὐψύχων τινὲς συμβαλοῦσι τοῖς ἐπὶ τοῖς τείχεσι καὶ κρατήσουσι βαλλομένους καὶ ἀπὸ τοῦ πύργου. ὃ κἂν προὐχώρησε κατὰ τὴν ἐπίνοιαν αὐτοῖς, εἰ αἱ κεραῖαι ἄχρι ἀφικνοῦντο τῶν τειχῶν. ἀποδέουσαι δὲ ὀφθεῖσαι οὐκ ὀλίγον, ἄπρακτον τὸ μηχάνημα ἐποίουν. B ταύτῃ δὲ ὁμοίαν, πλὴν τοῦ πύργου, καὶ Φακεωλάτος ὁ πρωτοστράτωρ κατεσκευάζετο, βασιλέως προστεταχότος, μηχανὴν ἐφ' ὁλκάδος καὶ αὐτὸς μεγάλης. ἐπ' ἄκραις δὲ ἐκεῖνος ταῖς κεραίαις ἐσχάραν ἐπέθηκε ξυλίνην· οὕτω δὲ ἦν ἡ ἐσχάρα κατεσκευασμένη, ὥστε κινεῖσθαι καλωδίοις δή τισι καὶ δοκοῖς, ἐφ' οἷς ἐπέκειτο· ἔπειτα ὕλην συμφορήσας τρέφειν δυναμένην πῦρ, ἐπέθηκε τῇ ἐσχάρᾳ. γνώμην δὲ εἶχεν, ὡς ἑνὶ τῶν Γαλατᾶ πύργων ἐπιθήσων ἐξαφθεῖσαν, (ἦσαν γὰρ οὐκ ὀλίγοι ξύλοις ἄνωθεν ἐπεσκευασμένοι,) ὥστε διὰ τοῦ πύργου καὶ C ταῖς οἰκίαις ἐπελθεῖν τὸ πῦρ, ἀνέμου πνεύσαντος. ἀνύειν δὲ οὐδὲν οὐδ' ἡ ἐκείνου ἐπίνοια ἐδύνατο, ἀποδεουσῶν τῶν κεραιῶν. καὶ τρίτην δὲ οἱ Βενετικοὶ προσεξειργάσαντο, ὥσπερ κλίμακα ἀπὸ τῆς νεὼς ἐπὶ τὰ τείχη τῶν πολεμίων. ἐπεὶ δὲ τὰ ἐκ θαλάττης πάντα ἦσαν παρεσκευασμένα, καὶ ἐκ τῆς ἠπείρου τὰ δέοντα προσεπορίζοντο καὶ κλίμακάς τε κατεσκεύαζον καὶ σιδήρια, οἷς χρῆσθαι ἔμελλον ἐπὶ τῷ τὰ τείχη διορύσσειν, ὕλης τε φάκελοι ἐκομίζοντο ἐφ' ἁμαξῶν, αἷς ἔμελλον πρός τε τὴν διάβασιν τῆς τάφρου χρήσεσθαι, αὐταῖς ἁμάξαις εἰσωθήσαντες, καὶ πρὸς ταῖς πύλαις, εἰ δέοι, ἐνιέναι πῦρ. καὶ D

A. C. 1351

quibus fabri compactis instar tabulati asseribus pontem ad muros straverant. Credebant autem, iis, qui de turri pugnabant, tuto transeundi facultatem praebentibus, magnanimos quosdam inde progressos, cum oppidanis propugnatoribus in muro commissuros et victuros. Et processisset illis inventum, si extrema cornuum usque ad moenia pertinuissent. Sed quia non parum longitudini deerat, machina inanis fuit. Similem pontem absque turri etiam Phaceolatus protostrator iussu imperatoris super grandi oneraria fecit, et extremis cornibus ligneam basin seu craticulam imposuit, ita compositam, ut quibusdam funibus et vectibus, super quibus iacebat, moveretur, eoque ligna igni alendo idonea congessit, eo consilio, ut incensam uni turrium Galatae imponeret, (erant enim pleraeque ligno superne constructae,) quo per turrim etiam aedes flamma, vento flante, comprehenderet. Sed enim cornibus deficientibus, in nihilum recidit eius cogitatio. Tertiam insuper machinam Veneti tamquam scalas a navi ad muros fabricati sunt. Paratis iam a mari omnibus, etiam a continente quae opus erant, praestabantur, scalaeque et ferramenta quaerebantur, quibus muros perfoderent: et libenter lignorum fasces advehebantur, quibus cum ipsis plaustris

A. C. 1351 ἐπεὶ οὐδὲν ἐνέδει ἔτι, ἡ πεζὴ καὶ ἱππικὴ δύναμις ἐξήγετο, ὧν ἐστρατήγει δεσπότης Μανουὴλ Ἀσάνης, ὁ βασιλίδος τῆς Εἰρήνης ἀδελφὸς, ὑποστράτηγον ἔχων τὸν πρωτοστράτορα Φακρασῆν, καὶ περιεστρατοπέδευε Γαλατᾶν. καὶ ἡ ναυτικὴ ἤδη παρεσκεύαστο, ὡς εἰς τὴν ὑστεραίαν ἅμα ἕῳ τοῖς τείχεσιν ἐμβαλοῦντες. καὶ οἱ ἐν Γαλατᾷ δὲ παρεσκευάζοντο, ὡς ἀμυνούμενοι. τάς τε γὰρ ὁλκάδας καὶ τριήρεις, ὅσας εἶχον, κατέδυσαν πρότερον εἰς τὴν θάλασσαν, κατὰ μίαν ἐφεξῆς πρὸ τῶν τειχῶν ἀνάψαντες τοῖς καλωδίοις ἀπὸ τῶν ἐπάλξεων, ὅσον μὴ παντάπασι καταδύεσθαι, ἀλλ' ἀνάγεσθαι εἶεν εὐχερεῖς καιροῦ καλοῦντος, καὶ ἄλλα, ὅσα πρὸς ἀποτροπὴν ἐδόκει
P. 815 λυσιτελήσειν τῶν μηχανημάτων. συνήνεγκε δὲ αὐτοῖς ἐς τὰ μάλιστα τῶν ὁλκάδων ἡ κατάδυσις. αὗταί τε γὰρ ἀνάλωτοι ἦσαν τῷ πυρὶ διὰ τὸ ὕδωρ, καὶ ταῖς πολεμίαις ναυσὶν ἀπόβασιν οὐ παρεῖχον, τάς τε μηχανὰς ἐκώλυον ἐγγὺς τειχῶν ἰέναι. ὁ μὲν οὖν βασιλεὺς μετὰ τῆς ἐκ τῆς ἠπείρου στρατιᾶς διενυκτέρευσεν ἐλθών· πρωτοστράτορα δὲ τὸν Ταρχανειώτην, ὃς τῶν βασιλικῶν τριηρέων ἐστρατήγει, καὶ τὸν τῶν Βενετικῶν ἄρχοντα Νικόλαον ἅμα ἕῳ ἐμβαλεῖν ἐκέλευεν
V. 651 ἀπὸ θαλάττης, ὡς καὶ τῆς πεζῆς καὶ ἱππικῆς δυνάμεως ἐκ τῆς ἠπείρου ἐμβαλούντων. τριήρεις δὲ ἦσαν αἱ σύμπασαι Ῥωμαίων καὶ Λατίνων κατ' ἐκείνην τὴν μάχην δύο καὶ τριάκοντα. συνέβη δὲ τῆς αὐτῆς νυκτὸς ἐκ Βενετίας τριήρη πρὸς
B Νικόλαον ἀφῖχθαι, ἣ ἐμήνυεν, ἑβδομήκοντα τριήρεις ἐκ Γεν-

in fossam iniectis, ad transeundum et ad portas, si opus foret, inflammandas uterentur. Cumque nihil iam desideraretur, peditatus et equitatus a despota Manuele Asane, Irenes imperatricis fratre, eductus, (cuius legatus seu minor dux Phacrases protostrator,) Galatam circumsedit. Et pars navalis iam accincta erat, ut orta luce postridie ad muros ferretur, ipsique Galataei ad resistendum se instruebant. Nam onerarias et triremes, quotquot habebant, prius deduxerant, singulas deinceps ante muros funibus a pinis religatas, ne penitus abriperentur, sed pro tempore subduci facile possent, et alia quaecumque ad machinas avertendas commodatura credebant. Maxime autem illis profuit onerariarum deductio: ipsae enim igne consumi nequibant, propter aquam scilicet, et hostiles naves accessu ad muros prohibebant. Imperator itaque cum exercitu terrestri adveniens, noctem egit: protostratorem vero Tarchaniotam, imperatoriis triremibus praefectum, et Venetorum ducem Nicolaum die recenti a mari aggredi iussit, utpote eodem tempore equitibus et peditibus a continente simul aggressuris. Numerabantur autem in illa pugna triremes Romanorum et Venetorum simul binae supra triginta. Eadem porro nocte triremem Venetiis ad Nicolaum venire

νούας ἀνηγμένας ἰέναι ἐπ' αὐτούς, ἐκέλευόν τε ἡ βουλὴ καὶ ὁ A. C. 1351 δοὺξ, πρόνοιαν αὐτοῦ καὶ τῶν τριηρέων ποιεῖσθαι, μὴ ὑπὸ τοῦ πολεμίων στόλου ἐγκαταληφθεὶς ἀπόληται. ὁ γὰρ ἐν Γεννούᾳ δῆμος οὐκ ὀλίγῳ χρόνῳ πρότερον πρὸς τοὺς παρὰ σφίσι πολεμήσαντες δυνατοὺς, τοὺς μὲν ἐξήλασαν, περιγενόμενοι τῶν ἀρίστων καὶ ἀειφυγίαν καταψηφισάμενοι, τοὺς δ' ἀτίμους εἶχον, μήτε βουλῆς ἀξιοῦντες, μήτ' ἀρχῆς μηδεμιᾶς, ἀλλὰ πάντα τρόπον ἐπίεζον καὶ ἐταπείνουν. δημοκρατεῖσθαι γὰρ ἐβούλοντο μᾶλλον, ἢ ὑπ' ἐκείνων ἄρχεσθαι. τοῦ δήμου δέ τινα προστησάμενοι Σίμωνα Μπουκανέγραν προσαγορευόμενον, C ἄρχειν ἐφῆκαν τῶν πραγμάτων, καὶ τοῦ δήμου καὶ τῆς βουλῆς συνεπιψηφιζομένης. τοῦ Βενετικοῦ δὲ πολέμου τουτουῒ κεκινημένου, ἐπεὶ ἑώρων ἀντικαθίστασθαι ὄντες ἀδύνατοι αὐτοὶ, μὴ καὶ τῶν δυνατῶν συναιρομένων, οἷα δὴ πολλῶν χρημάτων καὶ μείζονος δεομένου τοῦ πολέμου τῆς παρασκευῆς, τῶν τε φευγόντων ἀρίστων κάθοδον ἐψηφίσαντο καὶ τῆς παρὰ σφίσι μετέδοσαν βουλῆς καὶ τῶν πραγμάτων ἅπτεσθαι ἐκέλευον. οἱ δυνατοὶ δὲ ὁρῶντες, ὡς, ἢν αὐτοὶ πρὸς ὀργὴν τὰς πρὸς τὸν δῆμον διωθῶνται καταλλαγὰς, οὐδὲν ἕτερον ὑπολείπεται, ἢ, ἐκείνων διαφθειρομένων ὑπὸ τῶν ἐκ Βενετίας, καὶ αὐτοὺς συγκινδυ- D νεύειν, καὶ δεινὸν ἡγούμενοι καὶ τῶν αἰσχίστων, διὰ τὴν τοῦ δήμου πρὸς αὐτοὺς ἀγνωμοσύνην ἑκοντὶ προδιδόναι τὴν ἐλευθερίαν καὶ δουλεύειν τοῖς πολλῷ χείροσιν αἰσχρῶς καὶ ἀγεννῶς, ὠνείδισαν μὲν τῷ δήμῳ τὴν ἀγνωμοσύνην καὶ τὴν ἀκρι-

16. μετέδωκαν M. mg.

contigit, quae docebat, septuaginta triremes solvisse Genua et in illos tendere: mandabantque dux et senatus, sibi et navibus suis consuleret, ne ab hostium classe interclusus periret. Populus siquidem Genuensis, iam pridem potentibus oppugnatis, et optimatum victor, alios in perpetuum exilium egerat, alios capite diminutos, neque senatorio ordine, neque ullo magistratu dignabatur, sed omnibus modis eos premebat ac deprimebat: populari enim, quam illorum, imperio uti malebat. Tum vero de plebe quemdam Simonem Buccanegram summae rei publicae praefecerant, idque populus et senatus approbarat. Ceterum bello hoc cum Venetis exardescente, cum se viderent non posse resistere, nisi a potentibus adiuvarentur, quod et multa pecunia et maiore apparatu opus esset, optimatibus reditum ab exilio decreverunt, eos in senatum legerunt et rem publicam capessere iusserunt. Potentes, cum prospicerent, si iratis animis reconciliationem gratiae cum populo aspernarentur, futurum, ut, eo a Venetis attrito, ipsi eamdem calamitatem subirent, et turpe, imo vero turpissimum ducentes, propter populi adversus se crimen ultro libertatem prodere, inhonestamque ac minime ingenuam servitutem

A. C. 1351 σίαν, ὅτι τοὺς ἀρίστους οὕτω προπηλακίζουσιν εὐχερῶς, μηδὲν ἕτερον ἔχοντες ἐγκαλεῖν, ἢ ὅτι βελτίους τῶν πολλῶν εἰσιν, ὑφίσταντο δὲ τὸν πόλεμον προθύμως ὑπὲρ τοῦ κοινοῦ, καὶ χρήματα παρασχόμενοι καὶ ὅπλα καὶ τὴν ἄλλην συντέλειαν, ὅσην ἔδει· τόν τε στόλον τῶν ἑβδομήκοντα νεῶν παρεσκευάσαντο, καὶ Παγανὴν ἐπιστήσαντες στρατηγὸν ἐκ τοῦ τῶν Ορίων γένους τὸν ἐπιφανέστατον, καὶ συνέσεως καὶ τόλμης ἕνεκα καὶ ἐμπειρίας ὑπερέχοντα τῶν ἄλλων, ἐξέπεμψαν ἐπὶ
P. 816 τὸν πόλεμον. Νικόλαος δὲ ὁ τῶν Βενετικῶν τριηρέων στρατηγὸς, ἐπεὶ ἐπύθετο τὴν περὶ τοῦ τῶν πολεμίων στόλου ἀγγελίαν, καὶ πρότερον ἀτολμότατος πρὸς μάχας ὢν, τότε μᾶλλον ἐξεπέπληκτο καὶ εὐθὺς ἀπεῖδε πρὸς φυγήν· ἵνα δὲ μὴ ἡ παρεσκευασμένη τειχομαχία κωλυθῇ, βασιλεῖ μὲν οὐδὲν ὧν ἐπύθετο ἀπήγγελλε, τὰς σφετέρας δὲ τριήρεις ἔχων καὶ τὴν ἐπὶ τῆς ὁλκάδος μηχανὴν, ὅσον μὴ βάλλεσθαι παρατεταγμένος, μόνον ἐν τοῖς ὅπλοις ἦν, δόκησιν παρέχων, ὡς μαχούμενος, ἔργου δὲ παντάπασιν ἀπείχετο. Ῥωμαῖοι δὲ κατὰ τὸ ἐπίταγμα βασιλέως ἅμα ἕῳ τοῖς τείχεσι προσέβαλον τῶν πολεμίων καὶ
B ταῖς τριήρεσι καὶ ταῖς ἀπὸ τῶν ὁλκάδων μηχαναῖς. αἱ μὲν οὖν μηχαναὶ τῶν τειχῶν μὴ ἐφικνούμεναι, ἄπρακτοι ἐλείποντο. ὅμως ἐγγὺς γενόμενοι οἱ ἐν αὐταῖς ὁπλῖται ἔβαλλον τοὺς ἀπὸ τῶν τειχῶν καὶ πλείστους ἐτραυμάτισαν· ὁμοίως καὶ οἱ ἀπὸ τῶν τριηρέων. ἐτραυματίσθησαν δὲ οὐκ ὀλίγοι καὶ ἀπὸ τῶν βασιλικῶν, καὶ ἔπεσόν τινες. ἐτρώθη

7. Δορίων M. mg. 11. εὐτολμότατος Pontanus.

longe inferioribus servire, scelus ei et stultitiam exprobrarunt, quod optimates ob hoc solum, quia vulgo praestarent, adeo facile dedecori ac ignominiae subiecissent, bellum pro re publica impigre arripuerunt, arma et reliqua necessaria contulerunt et classem septuaginta navium aedificatam cum praefecto Pagano Auria, viro nobilissimo prudentiaque, fortitudine, experientia ante alios eminente, bellatum miserunt. Nicolaus, Venetarum triremium ductor, ubi classem hostium adventare accepit, quamquam alioqui ad pugnam audacissimus, timore correptus, confestim de fuga cogitavit. Sed ne parata oppugnatio impediretur, imperatorem audita celans, cum triremibus suis et machina super oneraria, extra teli spatium dumtaxat, ordinem armatus tenebat, pugnaturi opinionem praebens, cum re penitus abstineret. Romani diluculo iussa facessentes, cum triremibus et machinis onerariarum muris sese admovent. Verum machinae, quod eos non attingerent, inutiles erant. Nihilo minus qui intus erant milites propiores facti, in propugnatores iacula contorquebant et vulnerabant plurimos. Id ipsum faciebant, qui e triremibus pugnabant. Nec pauci ex imperatoriis vulnerati sunt, ex quibus nonnulli occubuerunt. Quin et

δὲ καὶ ὁ στρατηγὸς Ταρχανειώτης τὸν δεξιὸν ἀγκῶνα βέλει, A.C. 1351
καὶ διήλασεν ἀμφοτέρας τὰς ἐπιφανείας, καίτοι τεθωρακι-
σμένον· μετὰ τοσαύτης προσέπεσε τῆς ῥύμης· ἐξ οὗ μάλιστα
μὲν ἦλθε τοῦ ἀποθανεῖν ἐγγὺς, προνοίᾳ δὲ θεοῦ περιεσώθη,
πολλὰς καὶ ἀνυποίστους ἀλγηδόνας ἐνεγκών· μόλις γὰρ ἐν
ἔτεσι δυσὶν οὐλὴν ἐδέξατο τὸ τραῦμα. βασιλεύς τε ἐκ τῆς V. 652
ἠπείρου προσβάλλειν τε ἐκέλευε τῇ στρατιᾷ καὶ τῇ τάφρῳ C
ἐμβάλλειν τὰς ἁμάξας, ὡς ἂν τοῖς τείχεσι τὰς κλίμακας ἐρεί-
σωσι, διαβατῆς γεγενημένης. καὶ ἐνέβαλλον οὐ πάσας. ἔτι δὲ
τοῖς στρατιώταις περὶ ταῦτα ἠσχολημένοις, οἱ ἐν Γαλατᾷ τὴν
ἐκ θαλάττης μάχην ἀποσκευασάμενοι, ἔθεον ἐπὶ τὸ μάλιστα
πονοῦν τῶν κατὰ τὴν ἤπειρον τειχῶν, καὶ τὰς πύλας διανοί-
ξαντες, ἐξεχέοντο καὶ πῦρ ἐνίεσαν τῇ ὕλῃ καὶ πᾶσαν κατέφλεξαν
αὐταῖς ἁμάξαις. ἐτραυμάτισαν δὲ καὶ ἀπὸ τῶν τειχῶν βάλ-
λοντες πολλοὺς ἀνθρώπους τε καὶ ἵππους· οὐκ ἐλάττους δὲ
καὶ αὐτῶν ἐτραυματίσθησαν. ὁ βασιλεὺς δὲ ἤδη τὴν ἐπι-
χείρησιν ὁρῶν ἀδύνατον, καίτοι καὶ πρότερον εἰδὼς, ἀπή- D
γαγε τὴν στρατιὰν, καὶ τὴν μὲν πεζὴν ἐκέλευεν ἀναχωρεῖν
αὐτίκα, αὐτὸς δὲ τὴν ἵππον ἔχων ἔμεινεν ἐπὶ τοῦ στρατοπέδου
καὶ ηὐλίσατο τὴν νύκτα. εἰς τὴν ὑστεραίαν δὲ ὡπλισμένην ἀγα-
γὼν τὴν στρατιὰν, ἔστησε πρὸ τῶν Γαλατᾶ πυλῶν ἐφικανὸν,
οὐδεὶς δὲ Λατίνων ἀντεπεξῆλθεν, οὐδὲ βέλος ἀφῆκεν ἐπ'
αὐτούς. ἐκεῖθεν δὲ, ἐπεὶ μηδεὶς ἀντεπεξῄει, εἰς Βυζάντιον ἀνέ-

9. ἐνέβαλον P.

dux Tarchaniota cubitum dextrum per thoracem seu loricam (tanto impetu telum advolavit,) traiectus, paulum a morte abfuit. Divina autem providentia servatus, multos et intolerandos dolores sustinuit: vix enim biennio plaga cicatricem obduxit. Imperator quoque ex continente invadere et currus onustos fossae immittere iussit, ut, ea pervia, scalae ad muros applicarentur. Immiserunt, etsi non omnes. Adhuc in eo negotio militibus occupatis, Galataei, maritima pugna dimissa, qua moenia versus continentem praecipue laborabant, accurrerunt, apertisque portis effusi et igni in virgulta arida coniecto, omnia cum ipsis plaustris combusserunt: ac de muris homines et equos magno numero vulnerarunt: nec ipsi vicissim pauciores vulnera retulerunt. Imperator iam cernens, operam inanem esse, quamquam id futurum antea scivisset, receptui cecinit, et pedites quidem extemplo iussit abscedere: ipse cum equitatu per noctem in castris mansit. Altero die cum armatis diu ad portas Galatae constitit, nec quisquam Latinorum contra processit, nec telum iecit. Inde, quia nullus prodibat, Byzantium se recepit. Nicolaus, Venetorum ductor, occultata causa, ob quam proelio supersedisset, omnino volebat discedere, atque hoc solum elocutus, a senatu et duce sibi

A. C. 1351 στρέφοι. Νικόλαος δὲ ὁ τῶν Βενετικῶν ἄρχων τὴν αἰτίαν ἀποκρύψας, δι' ἣν τῆς τε μάχης ἀπέσχετο παντάπασι καὶ βούλοιτο ἀναχωρεῖν, μόνον δὲ τοῦτο εἰπὼν, ὡς παρὰ τῆς βουλῆς καὶ τοῦ δουκὸς ἀποπλέειν κελευσθείη, πρὸς Βενετίαν ἀπεχώρει συνταξάμενος, τὸν πρὸς τοὺς ἐκ Γεννούας πό- P. 817 λεμον μόνῳ βασιλεῖ καταλιπὼν, ὃς τριήρεσί τε ἐκ θαλάττης ἐπολιόρκει ταῖς ἰδίαις καὶ ἐκ τῆς ἠπείρου συχνὰς ἐποιεῖτο τὰς ἐφόδους, πέμπων στρατιὰν, καὶ πάντα ἔπραττεν, ἐξ ὧν ἐκείνους πάσχειν ἦν κακῶς, καὶ ἔβλαπτεν οὐ μέτριά τινα. Νικόλαος δὲ πρὸς Βενετίαν ἀποπλέων, τῷ τῶν πολεμίων στόλῳ περιέτυχε, προαισθόμενος δὲ ἔφευγεν, ᾗ τάχους εἶχεν, ἐπεδίωκόν τε οἱ πολέμιοι, φθάσας δὲ αὐτοὺς πρὸς τῇ κατὰ τὴν Εὔβοιαν πολίχνῃ, ἣ αὐτοῖς ἐστιν ὑπήκοος, τάς τε τριήρεις διέσωσεν οὐδεμίαν ἀπολέσας, καὶ περιεποίησε τὴν πολίχνην, ῥᾷστα ἂν ἑαλωκυῖαν, εἰ μὴ φθάσαντες αὐτοὶ εἰσῆλθον.

B κζ'. Ἐν τούτοις δὲ τῶν πραγμάτων ὄντων, καὶ ὁ τῶν βασιλέων πόλεμος αὖθις ἤρχετο καὶ ἐλάμβανεν αἰτίας οὐ μικράς. οἱ γὰρ ἐν Θεσσαλονίκῃ μετὰ βασιλέως ὑπολελειμμένοι τοῦ νέου Ἰωάννου οὐκ ἠγάπων τοῖς παροῦσιν, ἀλλὰ C νεωτέροις ἐπεχείρουν καὶ βασιλέα τὸν νέον ἐξεπολέμουν βασιλεῖ τῷ κηδεστῇ, καίτοι οἱ πολλῆς εὐμενείας παρὰ Καντακουζηνῷ τῷ βασιλεῖ τυγχάνοντες καὶ τῶν εὔνων καὶ οἰκείων μάλιστα δοκοῦντες εἶναι. ἔφασαν γὰρ ἀγανακτεῖν ὑπὲρ αὐτοῦ ἀδικουμένου καὶ τῆς πατρῴας ἡγεμονίας ἀπο-

21. οἱ om. V.

mandatum, uti rediret, salute dicta, Venetias renavigavit, bello contra Genuates soli imperatori relicto, qui triremibus suis e mari Galatam obsidebat et a continente crebris eam impressionibus lacessebat nihilque ad oppidanos affligendos praetermittebat: nec sane mediocriter illos vexabat. Nicolaus Venetias cursum tenens, in hostium classem devenit, quam praesentiens summam in fugiendo celeritatem adhibuit, et hostes insequentes effugiens, apud Euboeae oppidulum, Venetis subiectum, triremes servavit ipsumque tutatus est, quod Genuenses cepissent, ni ille intrando antevertisset.

27. Hoc rerum statu etiam bellum inter imperatores ex causis non levibus recruduit. Qui enim cum Ioanne imperatore Thessalonicae remanserant, praesentibus non contenti, nova moliebantur et Ioannem ad arma socero inferenda sollicitabant: quamquam iidem apud Cantacuzenum gratiosi admodum eique amicissimi ac familiarissimi viderentur. Aiebant enim, molestum sibi accidere, quod paterno fraudatus imperio tam iniuste haberetur. Etenim non hoc solum esse iniquum, quod ille totum sibi adsciscens imperium, imperatoris vocabulum inane ac nudum prorsus ei reliquisset, sed

στερουμένου. καὶ γὰρ οὐ τοῦτο μόνον εἶναι τὸ δεινὸν, ὅτι A.C. 1351
σύμπασαν ἐκεῖνος ἔχων τὴν ἀρχὴν, ὄνομα μόνον βασιλείας
καταλέλοιπεν αὐτῷ κενὸν πραγμάτων, ἀλλὰ καὶ ὥσπερ ὑπερ-
ορίαν καταψηφισάμενος, ἀγαγὼν ἐν μέσοις πολεμίοις κατα-
λέλοιπεν, οὐδεμιᾶς προνοίας ἀξιώσας, ὥσπερ ἐπηγγέλλετο
ἀπαίρων, ἀλλὰ πολέμους προφασιζόμενος, τὴν Ῥωμαίων V. 653
κάθηται αὐτὸς ἡγεμονίαν ἔχων, αὐτὸν δὲ ὥσπερ τι τῶν D
ἀχρήστων προεῖτο, ἢ ὑπὸ Τριβαλῶν ἐκπολιορκηθησόμενον,
ἢ προδοθησόμενον ὑφ' οὕτως ἀτάκτου δήμου καὶ τολμῶν-
τος πάντα εὐχερῶς· ἃ χρὴ συνορᾶν αὐτὸν καὶ σκοπεῖν,
ὅπως τῆς πατρῴας αὖθις ἐγκρατὴς γένοιτο ἀρχῆς ῥᾷστά γε
δυνάμενος· Κράλης τε γὰρ δυνάμει πάσῃ βοηθήσει, ἐν τοῖς
πολεμιωτάτοις ἐκεῖνον ἄγων καὶ βουλησόμενος αὐτῷ μάλι-
στα συναίρεσθαι, καὶ αὐτοὶ ὑπὲρ αὐτοῦ πάντα κίνδυνον
ὑπομενοῦσι καὶ προθύμως συναγωνιοῦνται καὶ χρήμασι καὶ
ὅπλοις καὶ σώμασι· καὶ μὴ κατοκνεῖν πρὸς τὴν ἐπιχείρησιν πα-
ρῄνουν. ἐνήγοντο δὲ ἐκεῖνοι πρὸς τὸ κινεῖν τῶν βασιλέων P. 818
πρὸς ἀλλήλους πόλεμον οὐχ ἧττον μὲν καὶ τρόπων φαυλό-
τητι καὶ μοχθηρίᾳ, ᾗ καὶ πρὸς τὰ αἴσχιστα ἐξῄγοντο ἑτοί-
μως, μάλιστα δὲ καὶ χρήμασι διεφθάρησαν πρὸς Κράλη, εἰ
τὸν πρὸς ἀλλήλους Ῥωμαίων αὖθις πόλεμον κινοῖεν. οἷς δ'
νέος βασιλεὺς, ἅτε δὴ πρὸς πανουργίας καὶ διαφθορὰς καὶ
βίων καὶ λόγων παντάπασιν ἀπείρως ἔχων καὶ δίκαια βου-
λεύεσθαι καὶ συμφέροντα νομίσας καὶ τὴν σπουδὴν ὑπὲρ

4. κατέλιπεν M. 22. ἅτε μὴ M. mg.

quod etiam quasi exilio damnasset, abductumque in mediis hostibus deseruisset, nulla cura adhibita, quemadmodum discedens promisisset, sed bellorum causas confingendo ipse Romanum tenens principatum sederet, eum vero, ut hominem nullius frugi, aut a Triballis expugnandum, aut a tam turbulento et ad omnem audaciam praecipiti populo prodendum abiiceret. Quae animadvertenda sint, et considerandum, quo pacto maiorum suorum imperium recuperet, in quo quidem nulla sit futura difficultas. Cralem enim, Cantacuzeno infensissimum, tota potentia libenter auxilio succursurum. Se quoque quamvis dimicationem capitis eius causa minime recusaturos cupideque una et pecuniis et armis et corporibus certaturos. Hortabantur proinde, ne ad rem aggredi moraretur. Inducebat autem illos ad arma inter imperatores instauranda non parum vitiositas et nequitia, qua vel ad infanda prompti ferebantur, potius tamen promissa a Crale pecunia, si bellum inter Romanos iterum inflammassent, eorum animos depravaverat. Quibus iunior imperator, utpote calliditatis et sermonum atque morum corruptelae omnino ignarus et inexpertus, et aequa fructuosaque suaderi ac sibi studeri ratus, obtempera-

A. C. 1351 *αὐτοῦ ποιεῖσθαι, ἐπείθετό τε καὶ ἐν τοῖς μάλιστα τῶν φίλων ἔταττε τοὺς πολεμιωτάτους ὡς ἀληθῶς καὶ κέρδους μικροῦ καὶ λήμματος αὐτόν τε καὶ σύμπασαν ἡγεμονίαν προδιδόντας, καὶ ἐσκέπτετο σὺν αὐτοῖς, ὅθεν τε καὶ ὅπως τὸν πρὸς βα-* B *σιλέα τὸν κηδεστὴν πόλεμον ἀνακινοίη. ἐδόκει δὴ δεῖν, πρὶν ἔκπυστα γενέσθαι τὰ βεβουλευμένα, Ἀσάνην τὸν Ἀνδρόνικον ἀφιστᾷν Θεσσαλονίκης. ὑπώπτευον γὰρ ἐκεῖνον τὰ μέγιστα ἐναντιώσεσθαι, οὐ μόνον ἀντικαθιστάμενον πρὸς τἄλλα, ἀλλὰ καὶ βασιλεῖ τῷ νέῳ παραινοῦντα τῶν ἀτόπων ἀπέχεσθαι ἐπιχειρήσεων καὶ μὴ διαφθείρειν τὴν ἡγεμονίαν ἑκόντι, ἧς ἔσοιτο κύριος μετὰ μικρόν, εἰ πρὸς βασιλέα τὸν κηδεστὴν εὐγνωμονοίη. καὶ προσελθόντες ἐν προσχήματι φιλίας πρῶτα μὲν ὅρκους ἀπῄτουν, ὥστε καταδήλους μὴ ποιεῖν, μέλλοντας ἐκκαλύπτειν τὰ μάλιστα ἀπόῤῥητα τῷ νέῳ βασιλεῖ. ἔπειτα,* C *ἐπεὶ ἐλάμβανον τὰς πίστεις καὶ ἦσαν ἐν πεποιθήσει δῆθεν, βασιλέα τὸν νέον ἔλεγον συνθέσθαι Κράλῃ ἐπὶ τῷ πόλεμον κινεῖν κατὰ βασιλέως τοῦ κηδεστοῦ, καὶ οὐδενὸς ἔτι ἐνδεῖν πρὸς τὰς συμβάσεις, Κράλην δὲ προθυμότατα μὲν ἐθέλειν βασιλεῖ τῷ νέῳ συμμαχεῖν καὶ πᾶσαν ὑπὲρ αὐτοῦ καὶ σπουδὴν ἐνδείκνυσθαι καὶ προθυμίαν, δεινὸν δὲ ὄντα ταράξαι καὶ συγχέαι πράγματα καὶ χρήσασθαι προσηκόντως τοῖς καιροῖς καὶ τοῦτ' ἐπινενοηκέναι, ἵν' ἀσυμβάτως μᾶλλον ἔχειν παρασκευάσῃ τοὺς βασιλέας, τὸ σὲ βούλεσθαι ὥσπερ ὅμηρον λαβεῖν· καὶ σκήπτεται δῆθεν ἀπιστεῖν τῷ νέῳ βασιλεῖ,*

vit: et profecto inimicissimos, quique ob vile lucellum et parvum compendium ipsum cum universo imperio prodiderunt, pro amicissimis habuit: quibuscum deliberare coepit, unde et quomodo bellum contra socerum institueret. Placuit igitur, priusquam consulta emanarent, Andronicum Asanem Thessalonica removeri, quem acerrimum fore adversarium, nec solum alioqui se oppositurum, sed et iuniorem imperatorem admoniturum verebantur, uti conatu tam male ominato desisteret, neve imperium (cuius paulo post futurus sit dominus, si erga socerum imperatorem probe et candide se gesserit,) sciens ac volens pessumdaret. Ergo eum cum simulatione amicitiae adeuntes, sacramentum silentii exigunt, iunioris imperatoris secretissima patefacturos. Ubi, fide iurantis accepta, ausi sunt fidere, cum Crale bellum socero inferendum pepigisse, nihilque pactis et conventis deesse narrant, Cralemque propensissimo studio et alacritate imperatori opitulaturum. Cum autem is vir ad res perturbandas ac permiscendas sit appositus et foro uti noverit, etiam hoc vafre excogitasse, quo imperatores a resarcienda concordia alieniores reddat, ut ipsum obsidis loco accipiat: simulare enim, non se fidere imperatori iuniori, ne forte exercitui, quem sit suppetias

μὴ τῇ στρατιᾷ ἐπιβουλεύσει, ἣν παρέξει συμμαχήσουσαν, A. C. 1354
καὶ διαφθερεῖ, τὰς διαφορὰς διαλυσάμενος πρὸς βασιλέα. ὧν
ἕνεκα ἐγκείμενος βασιλεῖ τῷ νέῳ σὲ λαβεῖν αἰτεῖ. βασιλεὺς D
δ' ἐπεὶ ἔγνω τὸν πόλεμον κινεῖν καὶ μάλιστα τῇ Τριβαλῶν
προσέχειν συμμαχίᾳ, συνέθετο ἐξ ἀνάγκης ἐκδιδόναι. ἃ
σκέπτεσθαι χρεὼν καὶ μηχανήν τινα ἐξευρίσκειν, ἐξ ἧς αὐ-
τός τε καὶ τὰ παρόντα πράγματα διασωθήσεται. ἐκεῖνοι
μὲν οὖν οὕτω πιθανὴν συσκευασάμενοι προσῆγον τὴν ἐπιβου-
λὴν, Ἀσάνης δὲ ἀγνοήσας τὴν ἀπάτην, (ᾔδει γὰρ ἐκείνους
πρότερον τὰ Καντακουζηνοῦ τοῦ βασιλέως μᾶλλον ᾑρημένους,
ἄλλως θ' ὅτι καὶ φῆμαι πάντοθεν προσέπιπτον αὐτῷ καὶ
βασιλεὺς ὁ νέος ἐμηνύετο πόλεμον βούλεσθαι κινεῖν πρὸς βα-
σιλέα τὸν κηδεστὴν,) ἐπίστευέ τε τοῖς εἰρημένοις καὶ σφο-
δρῶς ἐθορυβεῖτο, χάριν δὲ πολλὴν ὁμολογῶν αὐτοῖς τῆς εἰς P. 819
βασιλέα καὶ αὐτὸν εὐνοίας, ἔπειτα ἐδεῖτο καὶ τρόπον ὑπο-
θέσθαι, οἷ τραπόμενος τὰ προσδοκώμενα ἐκφεύξεται κακά.
οἱ δ' οὐδὲν ἔφασαν λυσιτελέστερον, ἢ τάχιστα ἀπαίρειν εἰς V. 654
Βυζάντιον, ὡς ἅμα τε ἐν τούτῳ ἐκφευξόμενον τὸν κίνδυνον
καὶ βασιλεῖ δηλώσοντα περὶ τῶν πραττομένων, ἵν' αἰσθόμενος
τὸν κίνδυνον ἐκεῖνος, ὀξεῖαν τὴν βοήθειαν ποιοῖτο καὶ μὴ
παρέργως, μηδὲ ῥαθύμως οἰόμενος κινδύνων ἔξω τὰ τῇδε
πράγματα ἑστάναι. ἢν δ' ὁ νέος βασιλεὺς ἐπιχειρῇ κατέχειν,
ἀλλ' αὐτοὺς συμπράξειν τὰ μέγιστα πρὸς τὴν ἀποδημίαν,
παραινοῦντας αὐτῷ καὶ πείθοντας μηδὲν πρὸς βίαν πράττειν,

4. ἔγνωκε M. 5. προσέχει M.

missurus, insidietur, eumque, composita cum Cantacuzeno controversia, disperdat. Ob hoc, ut Asanem obsidem accipiat, imperatorem urgere. Qui quoniam bellum movere statuerit maximeque Triballorum auxilium expetat, necessario annuisse. Quae perpendenda sint, et invenienda machina, qua sibi et praesenti rerum conditioni consulat. Sic illi probabilem fraudem nexuerunt. Asanes, quia imposturae huius erat nescius, (norat enim, eos antehac Cantacuzeno deditissimos,) et quia insuper aures eius rumoribus de bello, quod iunior imperator in socerum parturiret, undique circumsonabant, dictis fidem commodabat et angebatur magnopere, iamplasque ipsis de benevolentia erga imperatorem Cantacuzenum et se gratias agens, modum orabat, quo imminentibus sese malis eriperet. Illi affirmare, nihil utilius, quam celerrime Byzantium discedere, ut qui ita et periculum effugeret et imperatori, quid ageretur, exponeret: quo is rebus nutantibus maturrime succurreret, nec ullam segnitiem tarditatemve admitteret. Quod si iunior imperator eum retinere conaretur, se abitum fideliter curaturos, hortantes ipsum et suadentes, ne quid per vim agat, neve profectioni adversetur. Hoc modo Asani

A. C. 1351 μηδ᾽ ἐνίστασθαι πρὸς τὴν ὁρμήν. τοιαῦτα μὲν ἐκεῖνοι ἔλε-
B σαν ἐξαπατήσαντες, Ἀσάνης δὲ, ἐπεὶ τριήρης παρεσκευα-
σμένη ἔτυχεν ἐκεῖ, δείσας τὰ ἠπειλημένα, ἀπέπλεεν εἰς Βυ-
ζάντιον καὶ ἀπήγγειλε βασιλεῖ, ὅσα παρ᾽ ἐκείνων πύθοιτο,
ἰσχυρίζετό τε, ὡς βασιλεὺς ὁ νέος πρὸς τὸν πόλεμον ἐκτρα-
πείη φανερῶς. ἐκεῖνοι δὲ οἱ πράττοντες τὸν πόλεμον, ἐπεὶ
Ἀσάνης ἀπεχώρει, πολλῆς ἐπιλαβόμενοι ἀδείας, πείθουσι
τὸν νέον βασιλέα πρεσβείαν ποιήσασθαι πρὸς Κράλην. ὁ δ᾽
ἐδέχετο ἀσμένως καὶ μεγάλα ἐπηγγέλλετο, καὶ στρατιᾷ ἐπαγ-
γελλόμενος καὶ χρήμασι καὶ πάσῃ δυνάμει βοηθήσειν ἐπὶ
C βασιλέα τὸν κηδεστὴν καὶ τὴν ἀφῃρημένην ἀνασώσεσθαι
ἀρχὴν, ἔπραττέ τε πάντα καὶ ὑπετίθει, ὅσα ᾤετο τὸν πρὸς
ἀλλήλους τῶν βασιλέων πόλεμον τηρήσειν ἄλυτον, συμβά-
σεις πρότερον πρὸς βασιλέα θέμενος, ἃς ἐνόμιζε μάλιστα
αὐτῷ πρὸς τὴν ἀρχὴν λυσιτελεῖν. βασιλεὺς δὲ ὁ Καντα-
κουζηνὸς δεινὰ ἐποιεῖτο τὰ ἀπαγγελλόμενα, (ἐμηνύετο γὰρ
παρὰ τῶν φίλων κρύφα ὁσημέραι,) καὶ δεῖν ᾤετο ἐκεῖ πα-
ραγενόμενον, διαλύειν τὰς ἐπ᾽ αὐτὸν συστάσεις. τοῦ Λα-
τινικοῦ δὲ τότε ἀκμάζοντος πολέμου, οὔτ᾽ ἀφίστασθαι ἐξῆν,
οὔθ᾽ ἑτέραν δύναμιν παρασκευάζειν, ὡς τῆς παρεσκευασμέ-
νης ἀναγκαίως πρὸς τὸν πόλεμον κατεχομένης. ἐπεὶ δὲ αὐ-
D τὸν ἐπὶ Μακεδονίαν ἀδυνάτως πλέειν ἔχοντα ἑώρα, Ἄνναν
τὴν βασιλίδα ἔπεμπε πρὸς τὸν υἱὸν, ὡς πείσουσαν ἀποσχέ-
σθαι τῶν ἀτόπων καὶ διαλλάξουσαν αὐτῷ, οὐκ ἀγνοεῖν φά-

imposuerunt, qui minis exterritus et triremem ibi paratam nactus, Byzantium solvit et Cantacuzeno imperatori audita nuntiavit, iuniorem manifeste bellum moliri asseverans. Discessu Asanis belli sollicitatores largam nacti licentiam, iuniori imperatori auctores fiunt, uti legationem ad Cralem mittat. Quam ille libens admisit, imperatoremque adversus socerum copiis, pecunia, nervis omnibus adiuturum atque imperium restituturum magnifice spopondit, factoque foedere, quod illi ad eam rem imprimis fructuosum fore confidebat, fecit ac suggessit omnia, quae ad arma inter imperatores alenda valitura credidit. His nuntiis, quos ab amicis clanculum quotidie accipiebat, graviter commotus Cantacuzenus, ad conspirationem dissipandam eo sibi proficiscendum existimabat. Verum quia tunc bellum Latinum flagrabat, nec abesse licebat, nec alias conscribere copias, cum et conscriptae ad bellum iam dictum necessario retinerentur. Quoniam igitur videbat, se navigatione in Macedoniam excludi, Annam imperatricem ad filium legavit, cuius oratio illum ab indecenti facinore abstractum, in concordiam secum reduceret: quam ita est allocutus: „Nec tu, nec alius quisquam ignorat, quales quantaeque calamitates bellum civile Romanis non subiectis

μενος πρὸς ἐκείνην οὔτ' αὐτὴν, οὔθ' ἕτερον οὐδένα, οἵων A. C. 1351 κακῶν αἴτιος καὶ συμφορῶν ὁ συγγενικὸς κατέστη πόλεμος Ῥωμαίοις, οὐ τοῖς ἀρχομένοις μόνον, ἀλλὰ καὶ τοῖς ἄρχουσιν αὐτοῖς. οὗ καταλυθέντος διὰ χρόνου, καὶ τῶν τε κοινῶν καὶ ἰδιωτικῶν πραγμάτων πάντων πρὸς τὸ βέλτιον μεταδιδόντων, βάσκανός τις δαίμων ἠρεμεῖν οὐκ εἴασεν, ἀλλ' αὖθις φθόρους ἀνθρώπους καὶ συκοφάντας ἀναστήσας καὶ τρόπων οὐδὲν ἄμεινον φαυλότητι διακειμένους τῶν προτέρων, χαλεπώτερον πόλεμον ἀνακινεῖν ἐπιχειρεῖ. βασιλέα γὰρ τὸν υἱὸν πολλὰ καταψευσάμενοι καὶ παραγαγόντες, οἷα νέον καὶ τῶν πανουργιῶν καὶ τῶν δόλων καὶ τῶν ἐφ' ἑκάτερα μεταβολῶν τῶν ἀνθρώπων ἄπειρον παντάπασιν, ἔπεισαν προσέ- P. 820 χειν σφίσιν, ὡς φιλοῦσι καὶ κηδομένοις καὶ πάντα πράττουσιν ὑπὲρ αὐτοῦ, ὅπως τὴν πατρῴαν ἀνασώσωνται ἀρχὴν, δυσμενέστατοι ὡς ἀληθῶς ἐκείνῳ τε καὶ πᾶσι Ῥωμαίοις ὄντες, ἐμὲ δὲ ἐπίβουλον ἡγεῖσθαι καὶ πολέμιον τὸν ὡς ἀληθῶς φιλοῦντα καὶ πάντα πραγματευόμενον, οὐχ ὥστε μόνον τὴν πατρῴαν ἡγεμονίαν ἔχειν, ἀλλὰ καὶ μείζω καὶ βελτίω, ἂν ἐξῇ. καὶ πολέμου ἤδη ἦρξε, συμβάσεις θέμενος πρὸς Κράλην ἐπὶ τῷ στρατιὰν ἐκεῖθεν λαβὼν Τριβαλικὴν ἐμοὶ ἐπάγειν· ἃ οὔτ' ἐκείνῳ οἴομαι λυσιτελήσειν, οὔτε τοῖς ὑπηκόοις, οὔθ' ἡμῖν. τὰ μὲν οὖν προσδοκώμενα δεινὰ οὕτω χαλεπά· οἴομαι δὲ οὐδένα ἕτερον ταῦτα δυνήσεσθαι ῥᾷστα διαλύσειν, ἢ B ἡμᾶς. εἰ μὲν οὖν μὴ ὁ παρὼν οὑτοσὶ Λατινικὸς πόλεμος

modo, verum etiam principibus ipsis attulerit. Quo tandem aliquando finito, et publicis privatisque rebus omnibus iam melius euntibus, cuiuspiam daemonis invidia otium et quietem hanc perturbavit, rursumque homines impuros et sycophantas et nequitia nihil prioribus concedentes excitans, bellum saevius commovere annititur. Imperatorem enim filium tuum mendaciis onerantes, atque ut iuvenem dolos et astutias et in utrumvis humanorum ingeniorum mutabilitatem necdum agnoscentem decipientes, eo penitus perpulerunt, ut sibi tamquam amicis et eius causa sollicitis totoque pectore ad paternum imperium ei recuperandum incumbentibus obsequatur, cum pro certo et ipsi et Romanis universis hostes sint infestissimi, me autem insidiatorem atque hostem ducat, qui ex animo ipsum diligo et nihil non tento, quo non tantum paternum principatum, sed et maiorem ac meliorem habeat, quantum fieri possit. Etiam bellum texit, foedere cum Crale inito, ut, ab eo Triballo milite accepto, in me ducat: quam ego rem nec illi, nec subditis, nec nobis profuturam auguror. Quae itaque impendent mala, adeo perniciosa sunt, et ea alium praeter nos facillime posse depellere non arbitror. Quodsi praeterea bellum hoc Latinum me non ur-

A. C. 1351 νέας καὶ πάντα ὑπείκειν, ὅσα ἐκεῖνοι, πάντων μάλιστα φιλοῦντες, συμβουλεύουσι, καὶ πρὸς τοὺς στασιαστὰς ὀργῇ ἐφέρετο καὶ ἐξεφόβει καὶ κατηνάγκαζεν ἀπέχεσθαι τῶν ἀτόπων, τὰ ἔσχατα διαθήσειν ἀπειλοῦσα. πρός τε Κράλην C ἐξελθοῦσα καὶ διαλεχθεῖσα μετὰ τῆς γυναικὸς, ἀδίκοις καὶ παρανόμοις ἀπεδείκνυεν ἐπιχειροῦντας, καὶ κεραυνοὺς ἐπανετείνετο καὶ ἄλλας ἐξ οὐρανοῦ πληγὰς, ὅτι πρὸς τῷ Ῥωμαίους τοσαῦτα ἀδικεῖν ἐπιορκοῦντας καὶ παρασπονδοῦντας ἔτι καὶ πολέμους αὐτοῖς ἐμφυλίους ἐπεγείρουσιν, ἐξ ὧν ἐκεῖνοι μὲν διαφθαρήσονται ἀλλήλοις περιπίπτοντες, αὐτοῖς δ' ἐξέσται τὴν ἐκείνων καρποῦσθαι ἀδεῶς· καὶ τέλος ἔπειθεν ἀποχωρεῖν ἀπράκτους, ὥσπερ αἰσχυνθέντας φανερῶς τῶν εἰργασμένων τὴν ἀτοπίαν. βασιλεὺς δὲ ὁ νέος βασιλίδι μὲν τῇ μητρὶ ἐπείθετο τὰ βέλτιστα παραινούσῃ, Αἶνον δὲ ᾐτεῖτο παρὰ βασιλέως τοῦ κηδεστοῦ καὶ τὰς τῆς Χαλκιδικῆς πό- V. 656 λεις, ἃς Ματθαῖος ὁ τοῦ βασιλέως υἱὸς εἶχεν, ὥστε αὐτῷ D ἰδίαν ἡγεμονίαν εἶναι, πάντα μέντοι αὖθις ὑπείκειν βασιλεῖ τῷ κηδεστῇ. βασιλεὺς δὲ ὁ Καντακουζηνὸς ἐπεὶ ἐπύθετο τὴν ἀξίωσιν τοῦ νέου βασιλέως, θαυμάζειν μὲν ἔφασκεν αὐτοῦ, εἰ τοῦ παντὸς κύριος μετὰ μικρὸν ἐσόμενος, ὀλίγων τινῶν ἄρχειν βούλεται ὑπὸ μικροψυχίας, ὅμως παρείχετο ἑτοίμως, καὶ αὐτόν τε ἐκέλευε τοὺς παραληψομένους τὰς πόλεις πέμπειν· κἀκεῖνος ἔπεμπε τοὺς παραδώσοντας.

15. Καλχηδικῆς P. 18. ὁ om. P.

ret et obedire in omnibus, quae summa illorum caritas suadet. In factiosos autem ira fervescens eos territabat et dirissimorum suppliciorum comminationibus abstinere cogebat a facinore improbissimo. Ad haec ad Cralem egressa eumque et uxorem affata, ostendit, eos contra ius fasque agere, fulmina coelestesque plagas velut intentans, quia, praeterquam quod Romanos periuriis suis foederibusque violandis toties laederent, etiam bellis civilibus eos committerent, quibus mutuis stragibus intereuntibus, ipsi eorum bona tuto possiderent. His verbis effectum est, ut factorum turpitudine palam erubescentes, re imperfecta, discederent. Imperator autem iunior matri imperatrici sapienter monenti obsecundans, Aenum nihilo minus oppidaque Chalcidices, quae Matthaeus gubernabat, pro principatu singulari sibi a Cantacuzeno petebat: alioqui per omnia rursus in eius auctoritate se futurum. Audita petitione, Cantacuzenus mirari se dixit, quod omnium dominus brevi futurus, tamen ita pusillo angustoque esset animo, ut locis quibusdam paucis imperare vellet. Nihilo minus prompte dedit, et mittere iussit, qui eius nomine ea acciperent: ipse contra mittebat, qui suo nomine traderent.

ὁ μὲν οὖν προσδοκώμενος τῶν βασιλέων πόλεμος οὕτω τότε A. C. 1351
διελύθη ὑπὸ βασιλίδος Ἄννης.

κη΄. Παγανὴς δὲ ὁ τῶν ἐκ Γεννούας στρατηγὸς νεῶν, ἐπεὶ P. 822
ὑστέρει πρὸς τὴν δίωξιν, καὶ αἱ ἐκ Βενετίας μετὰ Νικολάου νῆες B
ἦσαν ἐν ἀσφαλεῖ, Εὐβοίᾳ καὶ αὐτὸς προσχὼν, Νικόλαον ἐπολιόρκει καὶ τειχομαχίας ἐποιεῖτο πολλὰς καὶ καρτεράς. ἤνυε δὲ οὐδὲν, εὐρώστως τῶν ἔνδοθεν ἀμυνομένων, ὄντων ἀξιομάχων. ἐπεὶ δ' ἐπιχειροῦντες ἀδυνάτοις συνεώρων, ἄραντες ἐκεῖθεν, ἔπλεον ἐπὶ Ῥωμαίους. ἤδη γὰρ ἦσαν πεπυσμένοι, ὡς καὶ βασιλεὺς εἴη πολέμιος αὐτοῖς καὶ πολιορκοίη Γαλατᾶν. προσχόντες δὲ τῇ κατὰ Θρᾴκην Ἡρακλείᾳ καὶ ὁρμισάμενοι ἐπ' ἀγκυρῶν τὴν νύκτα, εἰς τὴν ὑστεραίαν ἀνήγοντο ὡς εἰς Βυζάντιον πλευσούμενοι· ἀνέμων δὲ σφοδρῶν ἀντιπνευσάντων, ἀναστρέψαν- C
τες αὖθις ἐπὶ μοίρᾳ κακῇ τῶν Ἡρακλεωτῶν, τῷ σφῶν λιμένι προσέσχον καὶ ἀπέβαινον· διεσκεδάννυντό τε πρὸς λαχανισμὸν οἱ ναῦται ἐν τοῖς πρὸ τῆς πόλεως κηπίοις, ὧν ἐξ ἐφόδου οἱ Ἡρακλεῶται δύο συλλαβόντες, ἀπέτεμον τὰς κεφαλὰς αὐτίκα. οἱ δὲ ἐν ταῖς τριήρεσιν ὀργῇ φερόμενοι ὑπὲρ τῶν ὁμοφύλων ἐχώρουν πρὸς τὰ ὅπλα καὶ ἐδέοντο τοῦ στρατηγοῦ ἐπάγειν σφᾶς τῇ πόλει, ποινὰς τῆς ἀδικίας ληψομένους. Παγανὴς δὲ καταστέλλειν ἐπειρᾶτο καὶ ἀποτρέπειν τῆς τειχομαχίας, οὐ σωφρονούντων εἶναι φάσκων ἐπὶ δυσὶ τοῖς ἀπολλυμένοις καὶ πολλοὺς προσαπολλύειν ἄλλους, τείχεσι προσβάλλοντας, οἷ πολλοὺς ἀνάγκη ἀποθνήσκειν ἡμῶν τε καὶ τῶν πολεμίων. τοὺς

12. ὡς om. P.

Hoc maxime modo gliscens tunc inter imperatores bellum ab Anna imperatrice compressum est.

28. Verum enim vero Paganus, Genuensium navarchus, Nicolaum et Venetas naves, quae iam in tuto erant, frustra insectatus, Euboeam et ipse appellitur, eumque obsidet, muros crebro acriterque, qui intus propugnabant pari virtute se defendentibus, oppugnat. Cernens, se actum agere, contra Romanos cursum vertit: audierat siquidem, etiam imperatorem hostem factum, Galatam obsidere. Delatus porro ad Heracleam Thraciae, ea nocte, iactis anchoris, ibi substitit, postridieque in altum, velut Byzantium navigaturus, procedens, ventis immane reflantibus, mala sorte Heracleensium reversi in eorum portum descendunt, remigesque ad olera ex hortis suburbanis colligenda discurrunt, quorum duobus in via comprehensis, Heracleotae statim capita praecidunt. Qui in triremibus erant, propter cives suos ira furentes, arma corripiunt, ducem orant, uti se ad urbem poenas huius iniuriae expetituros adducat. Paganus illos cohibere et ab oppugnatione avertere nititur, haud sanae mentis esse affirmans, propter duos interfectos moenia adoriundo plu-

A. C. 1351 μὲν γὰρ οἱ πεσόντες παραβλάψουσιν οὐδὲν, ἑτέρους δυνα-
D μένους ἐκ τῶν ἄλλων ἄγειν πόλεων καὶ πλείους καὶ βελτίους·
ἐφ' ἡμῶν δὲ οὐχ ὁ ἴσος λόγος. ἂν γὰρ ἀποβάλωμέν τινας
τῶν ὄντων, ἑτέρους ἀντεισάγειν ἔξεσται οὐδαμόθεν, καὶ συμ-
βήσεται ἡμῖν τὴν δύναμιν ἀσθενεστέραν εἶναι, ἣν δεῖ φυλάτ-
τειν σώαν μάλιστα καὶ ἄθικτον, μέλλοντας πρὸς δύναμιν το-
σαύτην Ῥωμαίων ὁμοῦ καὶ Κατελάνων καὶ τὴν ἐκ Βενετίας
μάχεσθαι. ταῦτα δὲ ἔλεγεν ὁ στρατηγὸς, ἅμα μὲν καὶ σώ-
φρονος καὶ ἄρχειν ἐμπείρου κεχρημένος λογισμοῖς, ἅμα δὲ
καὶ τὰ Ῥωμαίων οὐ βουλόμενος κακοῦν διὰ τὴν πρὸς Καν-
V. 657 τακουζηνὸν τὸν βασιλέα εὔνοιαν· ἦν γὰρ τῶν φίλων. Παγα-
νὴς μὲν οὖν οὕτω πείθειν ἐπειρᾶτο τὸ στρατόπεδον ἀπέχε-
P. 823 σθαι τῆς πρὸς Ἡρακλεώτας μάχης, οἱ δ' οὐκ ἐπείθοντο, ἀλλ'
ἠγανάκτουν κωλυόμενοι. Μαρτῖνος δὲ Ντεμόρω, τριήρεως ἄρ-
χων καὶ αὐτὸς, εἰς μέσους παρελθὼν, ἐμαρτύρετο ἀδικεῖν
καὶ προδιδόναι σφᾶς τὸν στρατηγόν. τὴν μὲν γὰρ τοσαύ-
την παρασκευὴν καὶ τὴν δαπάνην οὐδενὸς ἑτέρου γεγενῆσθαι,
ἢ ὅπως κακώσουσι τὰ πολεμίων· νυνὶ δὲ δυναμένους μάλι-
στα τὴν Ἡράκλειαν ὅπλοις κατασχεῖν καὶ τά τε Ῥωμαίων
διαφθείρειν καὶ αὐτοὺς τὰ μέγιστα ὠφελεῖσθαι, διὰ τὴν
πρὸς βασιλέα εὔνοιαν κωλύεσθαι ὑπὸ τοῦ στρατηγοῦ· ἐκέλευέ
τε τὸν γραμματέα τὰ εἰρημένα γράφειν, ὡς ἐπὶ τοῦ δήμου
σφῶν καὶ τοῦ δουκὸς γραψόμενος τὸν στρατηγὸν ἠδικηκότα
B δημοσίᾳ. τοιαῦτα μὲν ἠπείλησε Μαρτῖνος· δείσας δὲ ὁ

res perdere. Nam ibi, inquit, et de nostris et hostibus multos oppetere oportebit: siquidem illi suos, qui ceciderint, inultos non sinent, cum ex aliis urbibus et plures et fortiores accire possint. De nobis alia ratio est. Si namque de praesentibus nonnullos amiserimus, non aliunde redintegrare numerum licebit, contingetque vires nostras infirmari, quas in primis salvas et integras, cum tanto Romanorum simul et Catalanorum Venetorumque exercitu pugnaturos, conservare necesse est. Haec dux simul prudenter et ex usu imperatorio ratiocinatus disserebat: simul Romanorum rebus propter Cantacuzenum, cui erat amicus, detrimentosus esse nolebat. Ac Paganus quidem suos hisce verbis a pugna cum Heracleensibus deterrere laborabat, nec persuadebat, quod sibi cupita denegari concoquere non poterant. Martinus vero Ntemorus, et ipse triremis praefectus, in medium prodiens, ducem iniquum ac proditorem esse omnium testificabatur. Tantum quippe apparatum tantosque sumptus non alia de causa factos, quam ut hostibus damna afferrent. At nunc, quando Heracleam armis commodissime obtinere et Romanorum potentiam labefactare et sibi prodesse quam plurimum possent, intempestiva eius erga imperatorem benevolentia impediri:

στρατηγὸς, μὴ ἐπὶ τοῦ δήμου κατηγορηθεὶς ἁλίσκηται καὶ δί- A.C. 1351 κας τὰς ἐσχάτας δῷ, ἐφῆκε τὴν τειχομαχίαν. καὶ αὐτίκα πᾶν τὸ στράτευμα τῶν τριηρέων ἐξεχεῖτο ὡπλισμένον, καὶ περισχόντες τὴν πόλιν ἐτειχομάχουν· πολλαχῇ δὲ τῶν πρὸς τὴν ἤπειρον τειχῶν ὄντων εὐαλώτων, (οὐ γὰρ ἤλπισαν ἐπιθήσεσθαί τινα ἐκ τῆς ἠπείρου,) καὶ τῶν πολιτῶν ἀόπλων καὶ ἀπαρασκεύων καὶ πρὸς τοσαύτην δύναμιν ἀντισχεῖν οὐ δυνηθέντων, ἡλίσκετο ἡ πόλις τοῖς Λατίνοις κατακράτος, καίτοι παρ' αὐτὴν τὴν πρὸς τὰ τείχη προσβολὴν ἔκ τε Βυζαντίου στρατιὰ ἱππέων ἧκεν, ἣν ἔπεμψεν ὁ βασιλεὺς ὑπὲρ τῆς πόλεως ἀμυνουμένην, (ὑπώπτευσε γὰρ τὸ μέλλον, ὡς ἐπύ- C θετο τὸν στόλον πρὸς Ἡράκλειαν κατάραντα,) καὶ Νικηφόρος δεσπότης ὁ τοῦ βασιλέως γαμβρὸς, τῶν κατὰ τὸν Ἑλλήσποντον Θρᾳκικῶν πόλεων ἄρχων, ἧκε μετὰ στρατιᾶς Ἡρακλεώταις βοηθήσων, καὶ ἐκ Βιζύης ὁ τῆς βασιλίδος Εἰρήνης ἀδελφὸς Ἀσάνης δεσπότης ὁ Μανουὴλ ἔπεμπε καὶ αὐτὸς στρατιὰν πρὸς συμμαχίαν. ὤνησαν δὲ οὐδὲν ἐπ' αὐτὴν τῆς μάχης τὴν ἀκμὴν ἐλθόντες. ἐρειπίων γὰρ ἐκ τῆς προτέρας συνοικίας πρὸ τῶν τῆς πόλεως πυλῶν τινων περισωζομένων, ἐνταῦθα οἱ Λατῖνοι τὸ κράτιστον τάξαντες τῶν σφετέρων τοξοτῶν, ἀπεῖργον τοὺς ἱππέας μὴ παριέναι εἰς τὴν πόλιν ἄχρις οὗ ὑπὸ τῶν ἐπιλοίπων ἑάλω μαχομένων. Ἡρακλεῶται δὲ ἐπεὶ ᾐσθάνοντο ἑαλωκότες, ἐφ' ἁρπαγὴν τῶν Λατίνων D πρὸς τὰς οἰκίας τραπομένων, πυλίδα τῆς πόλεως μίαν δια-

15. Βυζύης P. 24. ἀνοίξαντες M.

mandabatque scribae, dicta in tabulas referret, ut eum domi apud populum ac ducem maiestatis reum accusaturus. Huiusmodi minas Martinus iactabat. Paganus metuens, ne ad populum reus citatus convictusque capite puniretur, oppugnationem indulget, confestimque classiarii cum armis se triremibus expromunt, urbemque circumdantes oppugnare insistunt. Cumque muri versus continentem multis locis faciles essent occupatu, (non enim quemquam ex continente invasurum putabant,) et cives praeterea inermes atque imparati et ad resistendum tantis copiis infirmi, vi et virtute Latinorum, quamquam ipso oppugnationis tempore Byzantio equestribus turmis ab imperatore subsidio venientibus, captum est oppidum. Suspicabatur enim id, quod futurum erat, ubi classem Heracleam appulsam intellexit. Quin et Nicephorus despota gener, urbium Thraciarum ad Hellespontum praefectus, et Manuel Asanes despota, Irenes imperatricis frater, Byzia manus auxiliares mittebant. Sed quia in ipso articulo dimicationis veniebant, frustra venerunt. Exstantibus enim adhuc ante portas urbis aedium parietinis, Latini illic florem suorum sagittariorum collocarant, qui equites tantisper ab

A. C. 1351 νοίξαντες, ἐξεχώρουν, καὶ διεσώθησαν πολλοὶ μάλιστα τοῦ
δήμου πρὸς τὸ ἱππικὸν, τῶν Λατίνων ἔξω τῆς πόλεως ἐπι-
διώκειν οὐ τολμώντων διὰ τοὺς ἱππέας. τὸ δὲ ἄριστον τῆς
πόλεως μάλιστα ἑάλω, ὅσον ἐν γυναιξὶ καὶ παιδίοις, καὶ χρη-
μάτων πολύ τι πλῆθος. ἦν γὰρ Ἡράκλεια ἐκ τῶν Ἀνδρονί-
κου τοῦ πρώτου τῶν Παλαιολόγων βασιλέως χρόνων οὐδέ-
ποτε ὑπ' οὐδενὸς ἑαλωκυῖα. Λατῖνοι δὲ ἐπεὶ τὰ χρήματα
διήρπασαν, τὰς μὲν πρὸς τὴν ἤπειρον ἀπῳκοδόμησαν πάσας
πύλας, ἔπειτα τῶν πολιτῶν ἀπολεξάμενοι τοὺς ἀρίστους καὶ
P. 824 ἄνδρας καὶ γυναῖκας, τριήρεις τε καταλιπόντες, ὅσας ᾤοντο
ἀρκέσειν πρὸς φρουρὰν τῇ πόλει, ταῖς ἄλλαις εἰς Γαλατᾶν
ἦλθον, ἔχοντες τοὺς αἰχμαλώτους. σίτῳ δὲ καὶ τοῖς ἄλλοις
ἐπιτηδείοις, ὅσα μὴ ἀνάλωντο κατὰ τὴν ἅλωσιν, ἐχρήσαντο
κατὰ τὸν τοῦ πολέμου χρόνον οὐκ ὀλίγον γεγενημένον· ὃ καὶ
μάλιστα τὴν διατριβὴν αὐτοῖς ἄλυπον ἐποίησεν, ἐκεῖθεν τὰ
ἐπιτήδεια ποριζομένοις. βασιλεὺς δὲ, τοῦ στόλου ἐπιόντος,
ὁλκάδας τε πάσας καὶ τὰς τριήρεις, αἳ πρὸς τὴν πολιορκίαν
ἦσαν ὡπλισμέναι Γαλατᾶ, πρὸς τῷ ἐν Ἑπτασκάλῳ νεωρίῳ ἐκέ-
λευεν εἰσάγειν, πρότερον, ὥσπερ ἔφθημεν εἰπόντες, ἐκκεκαθαρ-
μένῳ ὑπ' αὐτοῦ καὶ δυναμένῳ οὐ τὰς οὔσας μόνον, ἀλλὰ
B πλείους δέχεσθαι ἑτέρας. οὗ δὴ ἕνεκα Βυζαντίους βλάπτειν
οὐδὲν ἠδύναντο Λατῖνοι. βασιλεὺς δὲ καὶ πρὶν τὸν στόλον
V. 658 ἥκειν καὶ μετὰ τοῦτο τῶν δεόντων οὐδενὸς ἠμέλει, ἀλλὰ τὰ

10. ὅσα P.

urbis aditu distinebant, quoad a reliquis caperetur. Heracleenses ut se captos viderunt, Latinis domos praedatum concursantibus, una urbis portula reserata, exierunt, multique, de plebe praesertim, ad equitatum fugientes, servati sunt, cum Latini extra urbem propter eosdem equites insequi non auderent. Optimates potissimum in potestatem adducti cum uxoribus et liberis et rerum copiis non modicis. Heraclea siquidem a temporibus Andronici, ex Palaeologis primi huius nominis, expugnata nunquam fuerat. Latini, praeda facta, portas omnes versus continentem obstruxerunt. Deinde selectis primariis civibus ac feminis, relictisque triremibus, quot urbi tuendae satis fore iudicabant, et in ceteras captivis impositis, Galatam navigarunt. Annona autem et reliquo victu, quemcumque capta urbe invenerant, per tempus belli non exiguum usi sunt: id quod in illa diuturnitate levamento ac solatio maximo fuit. Imperator, hostili classe adventante, onerarias omnes et triremes, quae ad Galatam oppugnandam apud Heptascalum in navali (prius, ut meminimus, ab se repurgato, nec illarum modo, sed plurium quoque navium capaci) instructae stabant, deduci iussit. Propter quod Latini Byzantiis nocere nihil poterant. Porro cum ante, tum post adven-

τε πρὸς τῇ θαλάσσῃ τείχη ἄριστα ἐπεσκεύασε, τά τε πεπονηκότα ἀνακτώμενος καὶ τοῖς ἐνδέουσιν ὕψος προστιθείς· καὶ ἐκ τῶν Εὐγενίου πυλῶν ἄχρι τῆς Ξυλίνης λεγομένης πύλης τάφρον περιήλασε βαθεῖαν, πάσας τὰς οἰκίας κελεύσας εἰσάγειν ἐντὸς τειχῶν· καὶ τὴν ἐκ τῆς Θρᾴκης στρατιὰν μετεκαλεῖτο, οὖσαν οὐκ ὀλίγην, καὶ πάντα παρεσκευάζετο, ὡς, ἢν ἐπίωσιν οἱ Λατῖνοι, ἀμυνούμενος. Μαρτῖνος δὲ Ντεμόρω αὖθις τῷ στρατηγῷ σφῶν καὶ τοῖς τριηράρχαις συνεβούλευε καὶ τῶν Βυζαντίου τειχῶν ἀποπειρᾶσθαι. ἀντεῖπε δὲ ὁ C στρατηγὸς ἀναφανδὸν, ἀλυσιτελῆ βουλεύεσθαι εἰπὼν Μαρτῖνον. οὐ γὰρ ὁμοίαν ἔχειν δύναμιν Βυζαντίους τοῖς Ἡρακλεώταις· καίτοι γε εἰ καὶ πρὸς Ἡράκλειαν ἡ ἐπὶ συμμαχίαν ἀφιγμένη δύναμις ἠδυνήθη παρελθεῖν, οὐ μόνον ἀνάλωτον ἐκείνην διετήρησεν, ἀλλὰ καὶ ἡμᾶς πολλῶν καὶ ἀγαθῶν ἀπεστέρησεν ἂν ἀνδρῶν. τὰ Βυζαντίων δὲ οὐ τοιαῦτα, ἀλλά τά τε τείχη, ὡς ὁρῶμεν, ἄριστα ἐπεσκεύαστο καὶ οὐδὲν ἠμελήθη τῶν δεόντων, καὶ πλῆθος ὁπλιτῶν τε καὶ ἱππέων τῶν ἀμυνουμένων παρεσκεύαστο, οἷς καὶ χωρὶς τειχῶν ἔργον ἦν ἀντικαθίστασθαι πρὸς μάχην. ἐπὶ τούτοις δὲ πᾶσι πάρεστι D καὶ βασιλεὺς, ὃν ἀκούομεν συνέσεώς τε καὶ ἐμπειρίας τῆς πρὸς τοὺς πολέμους οὐδενὸς ἀπολειπόμενον τῶν καθ' ἡμᾶς. οὐ δὴ σωφρονούντων ἀνθρώπων εἰς προῦπτον κίνδυνον ἐμβάλλειν ἑαυτοὺς ἐπ' οὐδενός τινος ἐλπίδι κέρδους, ἀλλὰ διασώζειν τὴν δύναμιν ἐπικαίρως ὀλίγῳ ὕστερον χρησίμην ἐσομένην.

A. C. 1351

tum classis nihil, quod res postularet, omisit, sed et muros versus mare instauravit optime, qua admodum ruinosos reficiens, qua humiliores altius extollens: et a porta Eugenii usque ad Ligneam, quae dicitur, fossam profundam circumduxit, omnibus familiis intra moenia commigrare iussis: et quae erant per Thraciam, copias non parvas accersivit: omniaque demum ad Latinos, si invaderent, arcendos comparavit. Martinus Ntemorus duci et trierarchis rursum suadere, tentanda Byzantii moenia. Dux aperte repugnare ac dicere, Martinum inutile dare consilium: Byzantios enim potentiores esse Heracleensibus. Quamquam si auxilia, inquit, quae illis veniebant, accedere potuissent, non solum urbem invictam servassent, sed et nos compluribus ac fortibus viris orbassent. At Byzantiis res longe secus, qui muros, ut cernimus, egregie refecerunt ac instaurarunt et nihil requisitorum neglexerunt multitudinemque peditum et equitum ad defensionem providerunt: quibus etiam nullo muro septis sese opponere difficile est. Praeter haec omnia adest ipse imperator, quem prudentia et exercitatione bellicarum artium nulli nostra aetate secundum accepimus. Ego sic existimo, non esse sapientis, in mala ante oculos posita, nulla spe alicuius emo-

A.C. 1351 τοιαῦτα μὲν ὁ στρατηγὸς αὐτός τε ᾤετο λυσιτελεῖν καὶ τοὺς
ἄλλους ἔπειθε πλὴν Μαρτίνου. ἐκεῖνος γὰρ πάντα ἔπραττε
καὶ παρώξυνε πρὸς μάχην τὸ στρατόπεδον, ῥᾳδίαν ἔσεσθαι
φάσκων αὐτοῖς οὖσι τηλικούτοις τὴν παράληψιν τοῦ Βυζαν-
τίου. Παγανὴς δὲ ἔργοις αὐτοῖς ἐθέλων ἀμαθῶς καὶ θρα-
σέως ἀποδεικνύναι περὶ τοῦ πολέμου βουλευόμενον Μαρτῖ-
P. 825 νον, ἐκέλευεν ὁπλίζεσθαι τὴν στρατιὰν, ὡς μαχουμένους. ἐπεὶ
δὲ ἦσαν ὡπλισμένοι, παρέπλεόν τε καὶ ἀπεπειρῶντο τῆς δυ-
νάμεως Ῥωμαίων· καὶ πᾶσιν ἔδοξεν ὅμοια τῷ στρατηγῷ, ὡς
οὐ μαχητέα εἴη πρὸς τοσαύτην δύναμιν, καὶ πολλὴν Μαρ-
τίνου κατεγίνωσκον ἀβελτηρίαν. ὡς γὰρ μόνον ἐκεῖνοι ἐκινή-
θησαν ἐκ τοῦ λιμένος, οὐ μόνον ἐπὶ τῶν τειχῶν ἐφαίνον-
το πολλοὶ Ῥωμαίων ὡπλισμένοι, ὡς δοκεῖν ὑπὸ τῆς στε-
νοχωρίας συνωθεῖν ἀλλήλους, ἀλλὰ καὶ ἐπὶ θάλασσαν πρὸ
τῶν τειχῶν ἀπὸ τῶν Εὐγενίου πυλῶν ἄχρι τῆς Ξυλίνης, ὡς
ἐπὶ μιᾶς φάλαγγος, ἱππεῖς τε οὐκ ὀλίγοι καὶ πλῆθος ὁπλι-
τῶν καὶ ψιλῶν ἦσαν παρατεταγμένοι. αὐτίκα μὲν οὖν ὁ τῶν
Λατίνων στρατηγὸς ἀνέστρεφε καὶ καθώρμιζε τὰς ναῦς πρὸς
τῷ λιμένι.

B κθ΄. Βασιλεὺς δὲ τοσοῦτον στόλον οὐκ ἂν οἰηθεὶς ἀρ-
γὸν καθῆσθαι ἀνασχέσθαι, ἀλλὰ ταῖς κατὰ τὸν Πόντον Ῥω-
V. 659 μαίοις ὑπηκόοις πόλεσιν ἐπιχειρήσειν, ἔδεισέ τε ὑπὲρ αὐτῶν,
C μὴ οὐχ οἷαί τε ὦσι πρὸς τοσαύτην δύναμιν ἀντικαθίστασθαι,

18. ἐν M. mg. pro πρὸς.

lumenti, ruere, sed vires suas in opportunum tempus et ad paulo post futuram utilitatem reservare. Haec dux et ipse expedire censebat et aliis sententiam suam probabat, Martino excepto, qui nihil non faciebat, et milites ad pugnam irritans, facile a tam multis Byzantium subactum iri dictitabat. At Paganus re ipsa volens ostendere, Martinum imperite atque confidenter oppugnationem urgere, militibus edixit, arma ut pugnaturi caperent. Capiunt, praeternavigant: vires Romanorum explorant: duci adstipulantur omnes, non esse pugnandum adversus tantam potentiam, et Martinum pro insigniter stulto condemnant. Ut primum enim Genuenses a portu se moverunt, non solum per moenia magna Romanorum frequentia in armis conspecta est, ut prae loci angustia se comprimere viderentur, sed etiam ad mare ante muros a porta Eugeniana usque ad Ligneam et in una phalange non pauci equites et gravis ac levis armaturae multi stabant dispositi. Itaque Latinorum dux subito revertens, naves in portu constituit.

29. Imperator porro tantam classem otium non passuram ratus, sed urbes ad Pontum Romanis parentes aggressuram formidans, quo tantae potentiae valerent resistere, ad singulas idoneum mittit contra hostes subsidium. Aliis igitur hilariter id suscipientibus et impe-

καὶ στρατιὰν ἔπεμπεν ἀξιόμαχον πρὸς ἑκάστην, ὡς ἀμυνου- A. C. 1351
μένην πρὸς τοὺς πολεμίους, ἂν ἐπίωσιν. αἱ μὲν οὖν ἄλλαι
πόλεις ἐδέξαντο προθύμως τὴν ἐπιμαχίαν καὶ χάριτας ὡμο-
λόγουν βασιλεῖ πολλὰς τῆς ὑπὲρ σφῶν προνοίας καὶ παρε-
σκευάζοντο καὶ αὐτοὶ τὰ δέοντα πρὸς ἄμυναν· Σωζοπολῖται
δὲ ἀπείπαντο τὴν παρὰ βασιλέως πεμφθεῖσαν δύναμιν, φά-
μενοι μὴ δεῖσθαι ξένων πρὸς ἐπικουρίαν, ὡς πρὸς ἄμυναν
ἐξαρκούντων τῶν ἐπιχωρίων, ὄντων πολλῶν καὶ ἀγαθῶν, καὶ
εἰσεδέξαντο εἰς τὴν πόλιν οὐδένα, εἰ μὴ Κρυβιτζιώτην τὸν
τοῦ σφῶν ἄρχοντος ἀδελφὸν, καὶ ἀνέστρεψεν ἡ στρατιὰ, οὔ- D
τως ἀτιμασθεῖσα. πρὶν δὲ ἀνενεχθῆναι βασιλεῖ τὰ πεπρα-
γμένα Σωζοπολίταις, (εἰ γὰρ ἐπύθετο, ἐκέλευεν ἂν καὶ ἄκον-
τας εἰσδέχεσθαι τὴν δύναμιν,) ἑάλωσαν ὑπὸ τῶν Λατίνων
ἐπελθόντων. ὡς γὰρ ἡ βασιλέως ἀνέστρεφεν ἐκεῖθεν στρα-
τιὰ ἀποπεμφθεῖσα, ὥσπερ ἐκ συνθήματος ἐπῄεσαν οἱ Λατῖ-
νοι· Σωζοπολῖται δὲ μηδὲν μήτε πρὸς ἐπισκευὴν τειχῶν,
μήτε πρὸς ὅπλων ἐπιμέλειαν, μήτε πρὸς ἄλλο μηδὲν τῶν δε-
όντων παρεσκευασμένοι, ἡλίσκοντο ῥᾳδίως, οὐδὲ ὀλίγα ἀντι-
σχόντες πρὸς τοσαύτην δύναμιν, καὶ σφᾶς τε αὐτοὺς ἀπώ-
λεσαν ὑπ' ἀβουλίας καὶ βασιλεῖ λύπης οὐ μετρίας κατέστη-
σαν αἴτιοι, πόλεως οὕτω καλῆς καὶ πᾶσιν ἀγαθοῖς εὐθυνου-
μένης ἀπολωλυίας. Λατῖνοι δὲ ἐπεὶ τὴν πόλιν εἶχον, διε-
πόρθουν ἐφ' ἡμέραις οὐκ ὀλίγαις ἀδεῶς καὶ τά τε ἀναθή- P. 826
ματα τῶν ἱερῶν ἀφῃροῦντο πάντα καὶ χρυσὸν καὶ ἄργυρον,
ὅσος ἐν τῇ πόλει ἦν, ἀνορύττοντες τὰς οἰκίας καὶ πάντα ἀκρι-

20. οὐ κατέστησαν αἴτιοι μετρ. P.

ratori de cura erga se gratias prolixe agentibus et se quoque pro sua parte ad defensionem instruentibus, Sozopolitae repudiarunt, dicentes, se adventitio auxilio non egere, cum indigenae adeo multi ac fortes ad tuendam urbem sufficiant, admiseruntque praeter Crybitziotam, fratrem praefecti sui, neminem. Sic despecta manus praesidiaria Byzantium repetivit. Priusquam autem Sozopolitarum facinus imperatori renuntiaretur, (nam si audivisset citius, etiam nolentes recipere militem coëgisset,) a Latinis post discessum Romanorum inopinato et velut de compacto irruentibus, facile subiugati sunt, cum neque a muris refectis, neque ab armis procuratis, neque ab alio quopiam necessariorum parati essent, nec vel aliquantum tot hostes sustinere possent. Ita se ipsos temeritate perdiderunt et, amissa urbe tam pulchra atque omnibus bonis abundante, non levem imperatori dolorem inusserunt. Latini captam urbem diebus non paucis libere diripuerunt, etiam templorum anathemata auferentes omnia, et quidquid auri argentive, refossis domibus et late-

A. C. 1351 βῶς διερευνώμενοι. ἐπεὶ δὲ πάντα ἦσαν ἀναλωκότες καὶ ἤδη ἔμελλον καὶ τὰς οἰκίας καθαιρεῖν καὶ τὸ σύμπαν πυρὶ παραδιδόναι, τῶν Σωζοπολιτῶν οἱ μάλιστα ἐν λόγῳ τῷ στρατηγῷ τῶν πολεμίων προσελθόντες, ἐδέοντο μὴ παντάπασι τὴν πόλιν διαφθείρειν, ἐξ ὧν αὐτοὶ μὲν οὐδὲν ὠφεληθήσονται, πόλιν δὲ οὕτω καλὴν κατεσκαμμένην καὶ ἀοίκητον ἀποδείξουσι, μνημεῖον ἐσομένην τοῖς εἰς ὕστερον παραπλέουσι τῆς αὐτῶν ἀγνωμοσύνης καὶ τῆς ἀφιλοτιμίας περὶ τὰ καλὰ, ἀλλὰ τῆς τοσαύτης αὐτῶν κακοπραγίας ἔλεόν τινα λαβόντας, φεί-
B σασθαι τῆς πόλεως ἐπὶ χρήμασι ῥητοῖς· ταῦτα δὲ αὐτοὺς ἀποτίσειν εἰς Βυζάντιον ἀχθέντας. οἱ μὲν οὖν τοιαῦτα ἐδέοντο τοῦ στρατηγοῦ, ἐκεῖνος δὲ ἅμα μὲν καὶ φιλανθρωπίας καὶ ἡμερότητος δόξαν ἀπενέγκασθαι ἂν οἰηθεὶς, ἅμα δὲ καὶ τὴν στρατιὰν ὠφεληθήσεσθαι ἐκ τῶν χρημάτων οὐκ ὀλίγα, (πλείστης γὰρ ἐδέοντο δαπάνης ἐφ' οὕτω χρονιζούσῃ καὶ μεγάλῃ παρασκευῇ,) ἐπείθετο καὶ συνέθετο ἐπὶ χρήμασι ῥητοῖς τὴν πόλιν ἐκλιπεῖν παντάπασι καὶ σῖτον καὶ τὴν ἄλλην ἅπασαν τὴν ἄχρηστον αὐτοῖς ἀποσκευήν. ὅμηρόν τε λαβόντες τοὺς ἀρίστους τῶν πολιτῶν ἐπὶ τῷ τὰ χρήματα ἀποδοῦναι, ἐπανῆκον εἰς Γαλατᾶν, τὸν ἄλλον δῆμον καὶ τὴν πόλιν ἐκλιπόντες·
C ἔπειτά τινες τῶν Σωζοπολιτῶν ὑπὸ τῶν Λατίνων εἰς Βυζάντιον ἐλθεῖν ἐπιτραπέντες καὶ ὑπὲρ σφῶν τε καὶ τῆς ἄλλης πόλεως παρὰ Βυζαντίων χρήματα δανεισάμενοι, ἀπέδοσαν Λατίνοις τὰ ὑπεσχημένα καὶ πρὸς τὴν πατρίδα ἐπανῆκον. Ἡρακλεωτῶν

2. καθαιρεῖν om. M.

bris passim curiose excussis, invenissent. Raptis et absumptis omnibus, cum iam oppidum totum crematuri essent, Sozopolitarum principes ducem adeunt, obsecrantes, ne urbem tam elegantem ac florentem nullo suo fructu eversam atque in solitudinem redactam posteris praeternavigantibus suae suorumque impietatis et despicientiae rerum praestantium monumentum facerent, sed tantam eorum miseriam aliqua misericordia dignatus, oppido parceret, definita pecunia, quam ipsi Byzantium profecti numerarent. Haec illi a duce precabantur, qui et se ex humanitate et mansuetudine, et exercitum ex pecunia non parum lucri relaturum existimans, (multo namque sumptu in tam magno ac diuturno apparatu opus erat,) precibus inflexus certamque pecuniam pactus, urbem, frumentum et reliquam omnem suppellectilem, sibi inutilem omnino, relicturum promisit. Tum vades solutionis primores urbis accipit, eaque ac plebe dimissa, Galatam abiit. Postea nonnulli Byzantium ire ac pro se totaque urbe a Byzantiis pecunias mutuari permissi sunt, quam Latinis dependentes fidemque suam liberantes, in patriam omnes reverterunt. Optimates autem Heracleensium, viri mulieresque, a La-

δὲ οἱ ἄριστοι, καὶ ἄνδρες καὶ γυναῖκες, ἐδέδεντο παρὰ Λατίνοις A.C. 1351
καὶ χρήματα ἐπὶ λύσει ἀπῃτοῦντο, ἃ οὐδαμόθεν ἦν ἐκτίνειν,
τῶν τε οἰκείων πάντων ὑπὸ τῶν πολεμίων διεφθαρμένων, καὶ
τῶν φίλων ἐξαρκοῦντος πρὸς ἐπικουρίαν οὐδενός. ἤρκεσε δὲ αὐ-
τοῖς ἀντὶ πάντων πρὸς λύσιν τῆς τοσαύτης κακοπραγίας Φιλό-
θεος ὁ τῆς κατ' αὐτοὺς ἐκκλησίας τὴν ἀρχὴν ἐγκεχειρισμένος.
προνοίᾳ γὰρ θεοῦ τῆς πόλεως, ἡνίκα ἡλίσκετο, ἀποδημῶν, τὰ μέ- D
γιστα συνεβάλλετο πρὸς τὴν ἐλευθερίαν τοῖς πολίταις. οἷα γὰρ
καλὸς ποιμὴν, τὴν ψυχὴν ἔθηκεν ὑπὲρ τοῦ ποιμνίου, κατὰ τὸ λό-
γιον, οὐχ ἅπαξ, οὐδὲ δὶς καὶ τρὶς, ἀλλὰ καὶ πολλάκις. φόβου
γὰρ παντὸς καταφρονήσας καὶ κινδύνου τοῦ ἀπὸ τῶν πολεμίων, V. 660
αὐτόκλητος καθημέραν, ὡς εἰπεῖν, ἐπεραιοῦτο πρὸς Γαλατᾶν,
καὶ τοῖς κατέχουσι τοὺς αἰχμαλώτους διαλεγόμενος, (ἦν δὲ οὐκ
ἀπὸ τῶν τρόπων μόνον καὶ τῆς ἀρετῆς αἰδέσιμος ὁ ἀνὴρ, ἀλλὰ
καὶ σοφίας ἄκρως ἐπειλημμένος τῆς τε ἔξω καὶ τῆς καθ' ἡμᾶς,
καὶ πιθανὸς πρὸς τὰς ὁμιλίας καὶ διδακτικὸς,) ἔπειθεν ἐπὶ με-
τρίοις λύτροις ἀφιέναι. τῶν πολιτῶν δὲ οὐδὲ τῶν ὀλίγων ἐκεί-
νων εὐπορούντων, αὐτὸς ἐγγύας παρεῖχε τοῖς Λατίνοις, ὡς αὐ- P. 827
τὸς καταθήσων τὸ χρυσίον ἐπὶ ῥηταῖς ἡμέραις. καὶ οὕτω τυγ-
χάνοντες ἀδείας οἱ πολῖται, τὰ χρήματα συνεπορίζοντο ἐκ τῶν
οἰκείων καὶ τῶν φίλων καὶ ἀπεδίδουν τοῖς Λατίνοις. καὶ
τοῦτ' ἐποίει τὸν ἴσον τρόπον, ἄχρις οὗ πάντας τῶν δεσμῶν
ἀπήλλαξε, τοὺς ἀφανεστέρους δὲ τῶν αἰχμαλώτων καὶ ἄνευ

tinis in vinculis habebantur pretiumque pro libertate exigebantur, quod solvere neutiquam poterant, cum quae fuissent eorum propria, ea universa hostes abstulissent et de amicis opi ferendae nullus sufficeret. Pro omnibus autem ad depulsionem tantae calamitatis suffecit mirificeque ad recuperandam libertatem profuit Philotheus, eorum episcopus, qui divinitus aberat, cum urbs caperetur. Nam ut bonus pastor animam suam ponebat pro ovibus suis ut est in sanctis litteris: neque id semel, iterum ac tertium, sed saepius. Omni enim timore periculoque ab hostibus contempto, ultro quotidie propemodum Galatam navigabat et cum iis, qui captivos tenebant, disserens, (erat autem non modo vir singularis et ob sanctimoniam venerabilis, sed etiam externarum et nostrarum disciplinarum peritissimus et in congressu ad dicendum ac persuadendum valebat egregie,) tantum effecit, ut modico pretio eos dimittere non recusarent. Quia tamen nec modicum quidem illud civibus suppetebat, ipse Latinis sponte se obligavit, intra dies praefinitos illud auri soluturum. Sic illi eius fide dimissi a propinquis et amicis, quod solverent, corrogabant. Atque hoc eodem modo faciebat, donec omnes vinculis liberasset. Tenuiores autem et obscuriores captivos sine lytro obtinebat, quod Latini eius virtutem ac prom-

A.C. 1351 λύτρων ἔπεισεν ἀφεῖναι τοὺς Λατίνους, αἰδεσθέντας αὐτοῦ τὴν ἀρετὴν καὶ τὴν ὑπὲρ τοῦ ποιμνίου προθυμίαν. οἶδε γὰρ ἡ ἀρετὴ τοὺς μετιόντας οὐ παρὰ τοῖς φίλοις μόνον καὶ οἰκείοις, ἀλλὰ καὶ παρὰ τοῖς πολεμίοις, κἂν τύχωσιν ὄντες βάρβαροι, θαυμάζεσθαι παρασκευάζειν. μετὰ τοῦτο δὲ, ἐπεὶ ἥ
B τε πόλις ὑπὸ τῶν Λατίνων κατελείφθη, καὶ οἱ πολῖται ἦσαν ἀπὸ τῆς αἰχμαλωσίας ἀνασεσωσμένοι πάντες, συνῴκιζε τὴν πόλιν αὖθις ἐξαρχῆς, διεσπαρμένους συνάγων τοὺς πολίτας, καὶ λόγοις τε πολλοῖς παρεκάλει, μὴ ἀθυμεῖν ἐπὶ ταῖς συμφοραῖς, ἀλλὰ σωφρονισμὸν τοῦ ἐπιλοίπου βίου τὴν παροῦσαν ἡγεῖσθαι κακοπραγίαν, καὶ ἔργοις ὠφέλει, ὅσα μάλιστα ἐξῆν, οὐ μόνον ἱερὰ σκεύη καὶ βίβλους καὶ εἰκόνας συμπορίζων ἐκ τῶν ἐν Βυζαντίῳ φροντιστηρίων, αὐτὸς ἐπιφοιτῶν καὶ δεόμενος ἑκάστων συναίρεσθαι τὰ δυνατὰ τοῖς ἀτυχοῦσι, (πάντα γὰρ διέφθαρτο ὑπὸ Λατίνων ἄρδην,) ἀλλὰ καὶ βασι-
C λέως ἐδεήθη ἀτέλειαν παρέχειν τοῖς πολίταις. ὁ δὲ καὶ οἴκοθεν αὐθόρμητος ὢν πρὸς τὰ καλὰ, καὶ τότε πρὸς τῶν πόλεων ἐπικαμπτόμενος τὴν κακοπραγίαν, οὐ μόνον Ἡρακλεώταις, ἀλλὰ καὶ Σωζοπολίταις πᾶσαν ἀτέλειαν παρέσχε τῶν δημοσίων εἰσφορῶν, ἐξ ὧν αἱ πόλεις αὖθις ἑαυτὰς ἀνεκτήσαντο ῥᾳδίως καὶ ἔμειναν ἐπὶ τοῦ προτέρου σχήματος συνῳκισμέναι. τὰ μὲν δὴ κατὰ τῶν πόλεων τὴν κακοπραγίαν καὶ αὖθις τὴν ἀνόρθωσιν τοῦτον τὸν τρόπον συνηνέχθη.

D λ. Νικόλαος δὲ ὁ τῶν Βενετικῶν τριηρέων στρατηγὸς,

24. Βενετιῶν P.

ptam pro grege suo voluntatem suspicerent ac revererentur. Novit enim virtus cultoribus suis etiam apud hostes, quantumvis barbaros, admirationem conciliare, nedum apud domesticos et amicos. Post haec et urbe a Latinis occupata et civibus ad unum pristinam libertatem adeptis et congregatis, qui dispersi erant, ut de integro habitaretur, effecit ac multis verbis eos hortatus est, ne praesenti aerumna animis frangerentur, sed eam vitae in posterum agundae documentum ducerent, navabatque utiliter operam pro virili sua, non solum sacra vasa, libros, imagines ex Byzantii monasteriis conquirens, ipse eo profectus, singula rogitans, uti miseros iuvarent, quantum possent, (omnia siquidem a Latinis devastata erant penitus,) sed et imperatorem orabat, ut vectigalia remitteret. Qui suopte ingenio ac per se ad benefaciendum proclivis et tunc civitatum casibus permotus, non Heracleensibus solum, sed etiam Sozopolitanis omnem tributorum publicorum immunitatem concessit: unde se illae facile refecerunt confirmaruntque, ac rursum incolis et domiciliis frequentatae, antiquam faciem receperunt. Atque illae quidem isto modo afflictatae iterumque recreatae et instauratae sunt.

30. Ceterum Nicolaus, Venetarum navium dux, ex Euboea re-

ἐξ Εὐβοίας ἀπάρας εἰς Βενετίαν, στόλον τῶν Γεννουΐτῶν A.C. 1351
ἀντίῤῥοπον παρεσκευάζετο· ἧκον δὲ καὶ ἐκ Κατελάνων ἓξ
καὶ εἴκοσι τριήρεις, στρατιὰν ἄγουσαι πολλὴν καὶ ἀγαθὴν,
οἷς οἱ ἐκ Βενετίας συμμίξαντες ὥρμηντο ἐπὶ τοὺς πολεμίους.
εἶχε δὲ τὴν ἀρχὴν Νικόλαος τριηρέων συμπασῶν ἑβδομή- P. 828
κοντα οὐσῶν. ὅ,τε γὰρ Βενετίας δοὺξ καὶ ἡ βουλὴ τῶν
ἰδίων ἀνέθηκαν ἐκείνῳ τὴν ἀρχὴν, καὶ ὁ τῶν Κατελάνων V. 661
ῥὴξ ἐκέλευε τῷ ναυαρχοῦντι τῶν σφετέρων, πάντα Νικολάῳ
πειθαρχεῖν καὶ ἕπεσθαι, οἷ ἂν κελεύοι, ἐμπείρως ἔχοντι
καὶ νήσων καὶ παραλίων τῶν κατὰ τὸν Αἰγαῖον καὶ τὸν Εὔ-
ξεινον, ὅπου μάλιστα ᾤοντο συμβαλεῖν τοῖς πολεμίοις. Νι-
κόλαος δὲ, καίτοι πολλῷ τῶν πολεμίων ἄγων βελτίω στρα-
τιὰν, ὑπ' ἀτολμίας τὰς νήσους περιῄει φυγομαχῶν, καὶ
πολλὰ παρακαλούμενος ὑπὸ τοῦ Κατελάνων στρατηγοῦ, χω-
ρεῖν ἐπὶ τοὺς πολεμίους καὶ μὴ κατατείνειν τὴν στρατιὰν
εἰκῇ καὶ μάτην ἐν χειμῶνος ὥρᾳ, νήσους περιπλέων καὶ
κατατρίβων τὸν καιρὸν, οὐκ ἐπείθετο. βασιλεύς τε ὁμοίως B
τὴν αἰτίαν τῆς μελλήσεως εἰδὼς, καὶ ἅπαξ καὶ δὶς ἔπεμψε
πρεσβείαν, μεταπεμπόμενος Νικόλαον ὡς ἐφ' ἑτοίμοις τοῖς
τροπαίοις, καὶ παραινῶν μὴ ὀῤῥωδεῖν τοὺς πολεμίους, ἀλλ'
ἐπάγειν αὐτοῖς τὸν στόλον μάλιστα ἐν Βυζαντίῳ, ὅπου καὶ
αὐτὸς τὰ μέγιστα συμβαλεῖται πρὸς τὸν πόλεμον. πρῶτα
μὲν οὖν παρεκρούετο τοὺς πρέσβεις ὑπερτιθέμενος τὴν ἄφι-
ξιν, ἔπειτα χειμῶνος ἤδη λήγοντος, ὑπό τε τῶν βασιλέως A.C. 1352

4. οἷς om. P. 13. περῄει P.

versus Venetias, classem Genuensi parem comparabat. Venerunt autem a Catalanis quoque triremes sex supra viginti, in quibus genere ac numero probatae copiae, quibuscum iunctae Venetae in hostes tendebant. Summus earum (erant autem septuaginta) imperator Nicolaus erat: nam Venetiarum dux et senatus suam illi auctoritatem commiserant et Catalanorum rex suarum navarcho praeceperat, ut Nicolao per omnia obediret et quo iuberet, sequeretur, utpote qui insularum maritimorumque locorum per Aegaeum et Euxinum maria, ubi maxime cum hoste proeliaturi putabantur, bene gnarus esset. Nicolaus, etsi praestantiorem multo, quam hostes, haberet exercitum, prae timiditate insulas circuíbat, pugnam fugiens, et crebro a Catalanorum duce monitus, ut hostes invaderet, nec militem, tempore praesertim hiberno, insulas circumnavigando otiandoque frustra fatigaret, non obtemperavit. Imperator item haud nescius, quare cunctaretur, semel iterumque per legatos, ut ad parata trophaea, illum accersebat et hortabatur, ne hostes formidaret, sed classe in eos apud Byzantium imprimis iret, ubi et ipse cum non spernendo auxilio affuturus sit. Ille primum legatos repellere et adventum procrastinare.

A. C. 1305 πρέσβεων πολλὰ παρακαλούμενος καὶ τοῦ Κατελάνων στρατηγοῦ, (ἦν γὰρ ἐκεῖνος οὐ συνεῖναι μόνον ὀξὺς τὰ δέοντα καὶ πεῖραν πρὸς στρατηγίας ἐσχηκὼς, ἀλλὰ καὶ πρὸς εὐψυ-
C χίαν καὶ τόλμην τὴν κατὰ τὰς μάχας γενναιότατος,) μόλις ἐπείθετο ἀναθαρσήσας, καὶ τὸν στόλον ἔχων, Πριγγίπῳ τῇ νήσῳ οὔσῃ ἀοικήτῳ προσέσχεν, οὐ μακρὰν οὔσῃ Βυζαντίου. ἐπὶ δύο δὲ ἡμέραις πρὸς τῇ νήσῳ τὴν στρατιὰν διαναπαύσας, (ἦν γὰρ πλεῖστα ὑπὸ τοῦ χειμῶνος κεκακωμένη, καὶ μάλιστα ἡ τῶν Κατελάνων, ὑπὸ τοῦ ψύχους πολλῶν ἠκρωτηριασμένων,) τῇ τρίτῃ ἅμα ἕῳ ἄραντες ἐκ Πριγγίπου ὡπλισμένοι, ἐπὶ τὸ ἐν Ἑπτασκάλῳ νεώριον ἐχώρουν τῶν Βυζαντίων. γνώμην δὲ εἶχον, ὡς ἐκεῖ καὶ ταῖς βασιλικαῖς τριήρεσι συμμίξαντες, (ἔνδον γὰρ ἦσαν τοῦ νεωρίου ὡπλισμέναι,) χωρήσουσιν ἐπὶ τοὺς πολεμίους. Παγανὴς δὲ ὁ τῶν Γεννουϊτῶν στρατηγὸς ἑβδομήκοντα ἔχων καὶ αὐτὸς, ὧν ἦρχε, ναῦς,
D ἐν Χαλκηδόνι κατ' ἀντικρὺ Βυζαντίου πρὸς τοὺς πολεμίους τάς τε προτέρας ἐφεξῆς ἡμέρας καὶ τότε ἀντιπαρετάσσετο, ἐπιοῦσι δὲ οὐκ ἐτόλμα συμβαλεῖν, ἀλλ' ὁρῶν ἐπὶ τὸ Βυζαντίων νεώριον ποιουμένους τὴν σπουδὴν, ἔμενεν ἐπὶ τῆς παρατάξεως, ἐλπίζων ὑπὸ τοῦ πνεύματος ἀπροσδόκητόν τι πείσεσθαι τοὺς πολεμίους καὶ διαφθαρήσεσθαι ἑαυτοῖς περιπεσόντας, ὃ μικροῦ ἐδέησε παθεῖν. νότου γὰρ ἀνέμου σφοδροτάτου κατ' ἐκείνην τὴν ἡμέραν πνεύσαντος, δυσέργως μὲν καὶ μετὰ βίας διήνυσαν τὸν ἐκ Πριγγίπου πλοῦν ἄχρι

16. Καλχηδόνι P. 22. μικρὸν ἐδέησαν M.

Deinde iam hieme exeunte, et ab imperatoris legatis multum rogatus et a Catalanorum duce, (erat siquidem ille non solum ad intelligendum, quid facto opus, acutus et insuper in arte imperatoria versatus, sed etiam animi virtute in acie generosissimus,) vix sumpta fiducia obsequens ad Principis insulam desertam non procul Byzantio classem applicuit: ubi per biduum recreato exercitu, quem hiemis iniuria paene confecerat, Catalanum praecipue, tertio die diluculo solvit et navale in Heptascalo Byzantii attigit. Statuerant autem cum imperatoriis triremibus sociati (quae in navali paratae stabant,) pugnam capessere. Paganus, Genuensium dux, et ipse cum septuaginta navibus Chalcedone e regione Byzantii et ante et tum quoque se contra instruebat: cum adventantibus tamen confligere non audebat, sed cum eos ad Byzantium navale videret properare, ordines servabat, sperans, ventis erumpentibus, improvisum aliquid hostes passuros mutuaque navium collisione interituros: quod ferme accidisset. Austro enim die illo furente, multo nixu laboreque cursum ex insula Principis ad vesperam tandem compleverunt. Ut navali appropinquarunt, venti vehementia repulsi, propemodum in

δείλης ἡμέρας ἤδη· ἐπεὶ δὲ ἐγγὺς τοῦ νεωρίου ἦσαν, ὑπὸ A.C. 1352 σφοδρότητος τοῦ πνεύματος ἐξωθούμενοι, ἐκινδύνευσαν βράχεσι περιπεσεῖν, ἃ πρὸ τῶν τειχῶν πάντῃ ἐγκατέσπαρται, P. 829 ὥστε τοῖς τείχεσιν] ἀμύνειν πρὸς τὴν βίαν τῶν κυμάτων. ἐν τούτῳ δὲ Ταρχανειώτης Κωνσταντῖνος ὁ τῶν βασιλικῶν τριηρέων στρατηγὸς, ἀνὴρ ἀγαθὸς πρότερόν τε ὢν καὶ τότε μάλιστα ἀποδεδειγμένος θάρσους καὶ φρονήματος ἀνάπλεως, ἐξήλαυνε τοῦ νεωρίου, καὶ τὰς σφετέρας τριήρεις ἔχων, εὐθὺ τῶν πολεμίων ᾔει ἀντικρὺ τῆς ναυαρχίδος. μετ' αὐτὸν δὲ καὶ ὁ τῶν Κατελάνων ἐχώρει στρατηγός· καὶ τρίτος ἐπήλαυνε καὶ Νικόλαος, ἀναθαρσήσας ἤδη. Γεννουῖται δὲ, τοῦ τε πνεύματος βιαζομένου καὶ τῶν πολεμίων ἐπιόντων, οὐδὲ ὑπέμειναν τὴν συμβολὴν, ἀλλ' ἀναστρέψαντες ἤλαυνον, ὡς εἶχον, ἐπὶ Γαλατᾶν· ἐπεδίωκον δὲ οἱ πολέμιοι. βραχείας δὲ οὔσης ἐνταῦθα τῆς θαλάττης, ἐπεὶ φεύγειν ἐπιπλέον οὐκ B ἐξῆν, πρὸς τῷ Βραχοφάγῳ λεγομένῳ τόπῳ ὑφάλους ἔχοντι πολλὰς, οἷα δὴ τῶν τόπων ἔμπειροι οἱ Γεννουῖται πρότερον γενόμενοι, ὡρμίσαντο ἐπὶ τοῦ ῥεύματος, καὶ βεβαίως ἐπὶ τῶν ἀγκυρῶν ἑστῶτες, οὐ μᾶλλον ἐναυμάχουν ἢ ἐπεζομάχουν. V. 662 οἱ ἐκ Βενετίας δὲ καὶ Κατελάνοι μετὰ Ῥωμαίων ἐπελθόντες, Ῥωμαῖοι μὲν ὄντες ἐπιχώριοι, ἐξέκλινον τὰς ὑφάλους καὶ ἠγωνίζοντο ἐμπείρως καὶ διέφθειρον τοὺς πολεμίους· οὐχ ἧττον δὲ καὶ οἱ ἐκ Βενετίας. Κατελάνοι δὲ τῶν τόπων ἔχοντες παντάπασιν ἀπείρως, σφοδρότατά τε ὑπὸ προθυμίας ἐπελαύνοντες τοῖς πολεμίοις, οἱ μὲν τοῖς C

brevia incidissent, quae ante muros sparsim sunt et inde fluctus insanos defendunt. Constantinus Tarchaniota imperatoriarum triremium dux, tum maxime qui esset se demonstrans, nempe vir bonus, fidentia ac spiritu excelso plenus, e statione erumpit et cum suis triremibus directo in hostes contraque praetoriam navim currit. Secundum quem Catalanorum dux: tertius, animo iam confirmato, Nicolaus ibat. At vero Genuenses, vento validius incumbente et prementibus hostibus, conflictum declinarunt, et iis persequentibus, Galatam ut reverterentur, anniti coeperunt. Sed quoniam illic vadosum est pelagus et fugere amplius non dabatur, Brachophago, ut vocant, (ubi complura sub undis saxa latentia,) ipsi priores, ut locorum gnari occupato, in ipso aquarum impetu naves iactis anchoris firmantes, non magis navale, quam terrestre proelium habebant. Cum autem Veneti et Catalani cum Romanis advenirent, Genuenses, ut indigenae, caeca illa saxa devitabant periteque certabant et hostes devincebant, nec minus Veneti. At Catalani, locorum minime omnium periti et fervore quodam mentis in hostes citatissimo cursu invecti, alii quidem in brevia offendentes, triremes

A. C. 1352 βράχεσιν ἐνέπιπτον καὶ συνέθλων τὰς τριήρεις, μάλιστα βαρείας οὔσας, οἱ δ' ὑπὸ τοῦ ῥεύματος ἐκβιαζόμενοι, οὐ κατὰ πρώραν συνέβαλον τοῖς πολεμίοις, ἀλλ' ἐγκαρσίαις ταῖς τριήρεσι, καὶ ἐβλάπτοντο οὐκ ὀλίγα ὑπὸ τῆς ἀταξίας θορυβούμενοι τῆς πρὸς τὰς ἐμβολάς. τόλμης μέντοι καὶ ἀνδρίας ἔργα ἐπεδείξαντο θαυμαστὰ καὶ πλείστους ἀπέκτειναν τῶν πολεμίων· σχεδόν τε οὐδένες τὴν αὐτῶν ὁρμὴν ὑπέμειναν, οἷς συμμίξειαν, ἀλλ' ἡττῶντο κατακράτος. διεφθάρησαν δὲ καὶ αὐτῶν οἱ πλείους οὐ μᾶλλον ὑπὸ τῶν πολεμίων, ἢ τῆς ἀπειρίας, τοῖς βράχεσι περιπεσόντες. νύξ τε ἤδη ἐπι-
D γενομένη διέσωσε τοὺς ἐκ Γεννούας τοῦ μὴ παντάπασι διαφθαρῆναι. διεκρίθησαν γὰρ ἀπ' ἀλλήλων βαθείας ἤδη νυκτὸς, ὅσοι μὴ αὐτίκα διεφθάρησαν, καὶ διέμειναν ἄχρις ἡμέρας διεσκεδασμένοι, ᾗ ἕκαστος ἔτυχεν ὁρμισάμενοι τὴν νύκτα. ὁ πλεῖστος δὲ φθόρος συμπέπτωκε τοῖς Κατελάνοις ἀπὸ τούτου. τοῖς βράχεσι γὰρ ἐμπίπτοντες καὶ καταῤῥηγνύντες τὰς τριήρεις, οἱ μὲν ἀπεπνίγοντο ὡπλισμένοι, διανήχεσθαι μὴ δυνάμενοι πρὸς τὴν χέρσον, τῶν δυνηθέντων δὲ διαφυγεῖν οἱ πλείους ὑπὸ τῶν Γαλατίων συνελήφθησαν ἀπατηθέντες. ὑποπτεύσαντες γὰρ ἐκεῖνοι τὸ συμβὰν, φῶτα ἔχοντες, ἐξῄεσαν ἐπὶ τοὺς ἐκβρασθέντας καὶ ἡγοῦντο ὡς ἐπὶ Βυζάντιον. οἱ δ' εἵποντο ἀπειρίᾳ, καὶ πλῆθος ἦλθε
P. 830 Κατελάνων εἰς τὸν Γαλατᾶν ἀγνοοῦντες, ὅποι ἄγονται. ἅμα δὲ ἡμέρᾳ θάλασσα μὲν νεκρῶν καὶ ναυαγίων περίπλεως

22. Βυζαντίου M.

bene armatas diffringebant, alii undarum impetu aversi, non a prora, sed transversis triremibus pugnabant, et prae confusione tumultuantes, non parum laedebantur. Nihilo minus imperterriti animi ac fortitudinis exempla edebant admiranda, interfectis plurimis ac victis paene adversariis omnibus. Tametsi plures eorum non tam hostium armis, quam imperitia loci in brevia incidentes interierunt. Sed quo minus Genuenses ad unum perimerentur, nox interveniens prohibuit: qua iam intempesta, invicem dissipati sunt, qui superfuerunt atque ita, quo quemque sors tulit, navim applicantes, dispersi usque ad lucem manserunt. Ex eo longe maximam cladem Catalani acceperunt. In brevia enim impacti, dilaceratis triremibus cum armorum pondere praegravati ad littus enare non possent, alii quidem in profundum hausti, eorum autem, qui effugere potuerant, plures a Galataeis per fallaciam capti sunt. Qui suspicione praecipientes id, quod evenit, cum luminibus exibant et aestu maris eiectis tanquam Byzantium praeibant. Illi dolum haud subodorati, sequebantur. Ita multitudo Catalanorum, nesciens, quo duceretur, Galatam venit. Coelo retecto, mare occisorum naufragorumque ca-

ὠρᾶτο, τὰ στρατόπεδα δὲ ἀμφότερα οὐκ ὀλίγην κατὰ τὴν μάχην ἐκείνην ὑπέμεινε τὴν βλάβην. ἀπώλοντο γὰρ Γεννουϊτῶν μὲν ὀκτὼ καὶ εἴκοσι τριήρεις αὔτανδροι, ἐκ δὲ τῶν ὑπολειφθεισῶν ὑπὲρ ἡμίσεις ἔπεσον ἐν τῷ πολέμῳ καὶ ἐτραυματίσθησαν. Βενετικῶν δὲ καὶ Κατελάνων ἑκκαίδεκα μὲν αὔτανδροι ἀπώλοντο, οὐκ ὀλίγοι δὲ καὶ ἐκ τῶν περιλειφθεισῶν. ἦσαν τραυματίαι καὶ νεκροί. τῶν δὲ βασιλικῶν ἀπώλετο οὐδεμία. ἔπεσον δέ τινες κατὰ τὴν μάχην, καὶ ἐτραυματίσθησαν πολλοί. εἶχον δὲ ὅμως τὴν νίκην περιφανῶς αἱ βασιλικαὶ μετὰ τῶν συμμαχίδων. οὕτω δὲ τοὺς ἐκ Γεννούας κατειργάσατο ἡ μάχη, ὡς εἰς τὴν ὑστεραίαν δύο τριήρεις αὐτῶν τὸν ἀπὸ τοῦ Βυζαντίου ὄχλον ἐπελθόντα, διεφθαρκέναι ἐκ χειρὸς, ἀδυνάτως ἔχοντας ἀνάγεσθαι, ἃς καὶ καθείλκυσάν τινες ἐπὶ τὸ Βυζάντιον ἀκατίοις, οὐδενὸς ἀμυνομένου. ταῖς δὲ λοιπαῖς οἱ περιλειφθέντες εἰς Γαλατᾶν ἐλθόντες, ἐπεὶ οἱ ἐκ Βενετίας μετὰ τῶν συμμάχων ἐπὶ τὸν ἀνάπλουν ἀνεχώρησαν πάσας ἐκλιπόντες, ἐπὶ Γαλατᾶν εἰσῄεσαν, τοῖς πολεμίοις τὰς ναῦς καταλιπόντες. μόνος δὲ ὁ στρατηγὸς ὑπελείπετο ἐντὸς, ὥσπερ αἰσχυνόμενος τοῖς πολλοῖς ταὐτὸν παθεῖν καὶ τὰς ὑπολειπομένας ἔτι τῆς σωτηρίας ἐλπίδας καταπροέσθαι, βέλτιον ἡγούμενος, εἰ δέοι, συλλαμβάνεσθαι ὑπὸ τῶν πολεμίων, ἢ καὶ αὐτὸν καταλιπεῖν τὰς ναῦς καὶ χρήσασθαι φυγῇ πρὸς σωτηρίαν. τοιαύτην

A. C. 1352

B

C

18. εἰσίεσαν P. 21. γὰρ add. M. post βέλτιον.

daveribus opertum apparuit: castra autem utraque non leve illa concertatione detrimentum passa sunt: perierunt enim triremes Genuensium cum ipsis vectoribus octo et viginti: quod in caeteris fuit militum, plus dimidiam partim in conflictu cecidit, partim vulneratum est. E Venetorum Catalanorumque triremibus sedecim cum classiariis absumptae sunt: imperatoriarum nulla desiderata est. Ex earum classiariis aliquot pugnantes ceciderunt: non pauci vulnera acceperunt: obtinuerunt tamen cum auxiliariis apertam victoriam. Sic porro finita est pugna cum Genuensibus, ut postridie multitudo Byzantio superveniens, duas eorum triremes, quae fugere manus eorum non poterant, invaserit, occisisque vectoribus, easdem navigiolis quidam, nemine adversante, Byzantium pertraxerint. Qui superfuerunt et in ceteris Galatam venerunt, Venetis et sociis recedentibus, ut domum renavigarent, oppidum intrarunt et naves omnes hostibus reliquerunt. Solus dux intus remansit, quod idem cum militibus gregariis facere et relictas adhuc spes salutis proiicere erubesceret. Praestare namque arbitrabatur, si ita necesse esset, capi, quam ut ipse quoque, desertis navibus, fuga salutem petere contenderet. Tam illustrem porro admirabilemque victoriam timi-

A. C. 1352 δὲ περιφανῆ καὶ θαυμασίαν νίκην ἡ ἀνανδρία Νικολάου
διέφθειρε καὶ ἀτολμία. εἰ γὰρ ἐπείθετο βασιλεῖ συμβου-
λεύοντι τοῖς πολεμίοις ἐπελθεῖν κατὰ τὴν ὑστεραίαν, οὐδὲν
ἂν ἐκώλυε τάς τε ναῦς τῶν πολεμίων λαβεῖν ἁπάσας καὶ
αὐτοὺς πολιορκίᾳ διαφθείρειν καὶ λιμῷ. ὑπὸ δειλίας δὲ τὸ
τρόπαιον στῆσαι μονονουχὶ καταλιπὼν, εἴς τινα λιμένα ἦλθε
κατὰ τὸ στενὸν Θεραπέα προσαγορευόμενον ἐγχωρίως. Πα-
V. 663 γανὴς δὲ ὁ τῶν Γεννουϊτῶν στρατηγὸς, οὐδένα ἐπιόντα πο-
D λέμιον ὁρῶν, παρεκάλει τὴν στρατιὰν ἐμβαίνειν αὖθις εἰς
τὰς ναῦς, καὶ μὴ τοσοῦτον καταπεπλῆχθαι τοὺς πολεμίους,
ὥστε καὶ ἀπόντας ὀῤῥωδεῖν καὶ φεύγειν ἀγεννῶς, ἀλλὰ νῦν
μὲν ἐμβάντας εἰς τὰς ναῦς καθῆσθαι, ἵνα μὴ παντάπασι
δοκοῖεν ἀπηγορευκέναι, ἂν δ' ἐπιόντας ἴδοιεν τοὺς πολεμί-
ους, οὐδ' αὐτὸν κωλύσειν σώζεσθαι γενομένους ἐντὸς τει-
χῶν. οὕτω μὲν αὖθις ἔπειθε, καὶ εἰσήγοντο ἐν ταῖς τριή-
ρεσιν, ὡρμίσαντό τε πρὸ τοῦ φρουρίου, γνώμην ἔχοντες, ὡς,
ἢν ἐπίοιεν οἱ πολέμιοι, οὐ ναυμαχήσοντες, ἀλλὰ προησόμε-
νοι τοῖς πολεμίοις τὰς τριήρεις. βασιλεὺς δὲ τὴν ἀτολμίαν
καὶ ἀσθένειαν οὐκ ἀγνοῶν τῶν πολεμίων, πέμπων τε παρε-
κάλει τὸν Νικόλαον ἐπὶ τοὺς πολεμίους ἥκειν αὖθις, ὡς
P. 831 ἀναιμωτεὶ τῆς νίκης ἐσομένης, καὶ αὐτὸς γενόμενος πρὸς
τῷ λιμένι, ᾧ ὡρμίζετο, πείθειν ἐπεχείρει, τὴν ἀσθένειαν τῶν
πολεμίων ἐκδιδάσκων. ὁ δ' ἀήττητος ἦν πρὸς πᾶσαν ἀνάγ-
κην τὴν ἐκ λόγων, ἀλλὰ τοῦτο μόνον ἐσκόπει, ὅπως μὴ αὐ-

ditas et ignavia Nicolai corrupit. Si enim imperatori suadenti, ut postridie hostes aggrederetur, dicto audiens fuisset, nihil vetuisset et naves eorum omnes capere, et ipsos obsidione ac fame perdere. Sed tantum non prae metu omittens trophaeum erigere, in quendam portum ad angustias, Therapea ab accolis cognominatas, venit. Paganus, Genuatium dux, neminem hostium adventantem cernens, hortatur milites, naves iterum conscendant, nec ita percellantur, ut etiam absentes pertimescant et turpiter fugiant, sed nunc quidem repetitis navibus, ita maneant, ne omnimodis desperasse videantur: si hostem accedentem conspicabuntur, nec se interdicturum, quin moenibus salutem suam credant. His verbis commoti, ad naves redierunt, quas ante castellum in statione habebant, eo fine, ut, si hostes ingruerent, non pugnarent, sed ipsis eas fugiendo relinquerent. Imperator eorum ignaviam et imbecillitatem non ignorans, ad Nicolaum mittit, hortatur, hostes rursum invadat, victoriam incruentam fore. Quin ipsemet ad portum, quem ille tenebat, profectus, fractas et debilitatas hostium vires demonstrans, eo illum perducere nitebatur. Sed nulla erat tam evidens ac necessaria probatio, quae hominem convinceret: cuius cogitatio in hoc solum con-

θις συμμίξειε τοῖς πολεμίοις, τῆς ἀτολμίας δὲ καὶ φαυλότητος ὥσπερ προκάλυμμα καὶ τραῦμά τι μικρὸν εἶχεν, ὃ κατὰ τὴν μάχην ἐτραυματίσθη. βασιλεὺς δὲ ἠνιᾶτο μὲν οὐκ ἀνεκτῶς καὶ ὠργίζετο, τοιαύτης νίκης ἀπολλυμένης ὑπὸ Νικολάου, πείθειν δὲ οὐκ εἶχε πολλὰ παρακαλῶν. οὐχ ἧττον δὲ καὶ ὁ τῶν Κατελάνων ἠγανάκτει ἡγεμὼν συνορῶν, οἵων ὑπὸ τοῦ συνάρχοντος τροπαίων ἀποστεροῦνται, ἔφασκέ τε πρὸς βασιλέα ἀνάγκην ἔχειν ἕπεσθαι Νικολάῳ, καὶ μηδὲν, ὃ μὴ κἀκείνῳ δοκεῖ, ἐξεῖναι πράττειν. οὕτω γὰρ εἶναι προστεταγμένον αὐτῷ παρὰ ῥηγὸς τοῦ σφῶν δεσπότου. εἰ δὲ μὴ ταύτην εἶχε τὴν ἀνάγκην, οὐκ ἂν ἐδεήθη Νικολάου πρὸς τὴν κατὰ τῶν πολεμίων ἔφοδον, ἀλλ' ἅμα ταῖς βασιλέως μόναις ἂν ἐπεχείρησε καὶ κατώρθωσε τὸ ἔργον, τῇ τε τῶν σφετέρων εὐτολμίᾳ πεποιθὼς καὶ ἀρετῇ καὶ τῇ Ῥωμαίων. εὐτολμότατοι γὰρ ἐφάνησαν αὐτῷ καὶ ἐμπειρότατοι κατὰ τὴν μάχην. αἰσθόμενος δὲ ὁ βασιλεὺς καὶ αὐτὸν ὡρμημένον πρὸς τὴν μάχην, μᾶλλόν τε ἐπέῤῥωσε λόγοις παρακλητικοῖς, καὶ Νικόλαον αὖθις ἐπεχείρει πείθειν, καὶ τοῦ Κατελάνων ἄρχοντος τὴν γνώμην ἐπαινοῦντος καὶ δεομένου πείθεσθαι τῷ βασιλεῖ τὰ βελτίω συμβουλεύοντι. ὁ δὲ πᾶσι λόγοις μᾶλλον, ἢ τοῖς περὶ μάχης, ὑπεῖχεν ἀκοάς· ἀλλ' ἀπηγόρευε φανερῶς καὶ διήγαγεν οὕτως ἀπρακτῶν ὀλίγῳ πλείους ἡμερῶν τριάκοντα. Κατελάνοι δὲ εὐθὺς μετὰ τὴν μάχην τούς τε τραυματίας, ὅσοι ἦσαν, καὶ τοὺς νενοσηκότας, παμπόλλους ὄντας, ἤγαγον εἰς Βυζάντιον. καὶ φιλο- A. C. 1352 B C

sumebatur, quomodo conflictum effugeret, imbellis et alieni animi sui velut quoddam mantellum habentis vulnusculum, quod in certamine acceperat. Imperator intolerabili dolore et iracundia exardescere, tam praeclaram victoriam per Nicolaum amitti, quem precibus, quamvis multis, expugnare non potuisset. Nec minor erat ducis Catalanorum indignatio, quod talibus trophaeis a collega privaretur, dicebatque imperatori, cogi se Nicolaum sequi, nec posse quidquam facere, illo non probante. Sic enim sibi a rege suo imperatum. Quae necessitas nisi intercessisset, Nicolao ad hostes aggrediundos opus non fuisse: voluisse se una cum imperatoriis tantum triremibus in eos incurrere et secundo Marte rem gerere, suorum virilitate et Romanorum virtute confisum, quos animosissimos belloque exercitatissimos iudicabat. Sentiens igitur imperator pugnae avidum, currenti calcar addit et Nicolaum denuo flectere attentat. Cumque etiam Catalanorum ductor imperatoris sententiam laudaret rogaretque, ut bene suadenti obsecundaret, ille cuivis sermoni potius, quam de pugna aures adhibebat, palamque detrectans sic otiosus paulo plus triginta dies transigebat. Catalani, finito proelio, vulneratos, quotquot erant, et aegros plurimos statim Byzantium

A. C. 1352 φρόνως ἄγαν· οἱ Βυζάντιοι ἐδέξαντο καὶ ἐθεράπευσαν μάλα φιλανθρώπως, ὑπὸ λιμοῦ καὶ κρύους μάλιστα κακῶς διακειμένους. καὶ τά τε ἀναγκαῖα τῶν ἐνδυμάτων ἐχορήγουν καὶ D πρὸς τὴν νόσον ἤρκεσαν ἑκάστῳ, ὅσοι μὴ ἀπέθνησκον κατεργασθέντες. πολλήν τε κατεγίνωσκον ὠμότητα καὶ ἀφιλανθρωπίαν Νικολάου, ὅτι στρατιὰν ἀκμάζουσαν καὶ πρὸς μάχας κάλλιστα ἐξησκημένην καὶ πλεῖστα διαφέρουσαν, ὧν αὐτὸς ἦγε, πρὸς ἀνδραγαθίας λόγον, παραλαβὼν, ὥσπερ ἐξεπίτηδες διέφθειρε καταμελήσας. θέρους γὰρ ὥρᾳ τῆς ἰδίας γῆς ἐξορμηθέντες καὶ νομίσαντες ἐν ὀλίγῳ χρόνῳ ἢ διαφθερεῖν τοὺς πολεμίους προστυχόντες, ἢ αὐτοὶ διαφθαρήσεσθαι, (τοιαύτῃ γὰρ ἐξεστράτευσαν ὁρμῇ,) οὐθ' ἱματίων πρόνοιαν πρὸς τὴν ἐν χειμῶνι στρατείαν ἀρκεσόντων ἐποιήσαντο, οὔτε τῶν λοιπῶν ἐπιτηδείων, ἀλλὰ μέτρι' ἄττα ἔχον- P. 832 τες, ἐξῄεσαν ἐν ταῖς ναυσί. Νικολάου δὲ τὸν χρόνον τρί- V. 664 βοντος κακῶς καὶ νήσους περιπλέοντος καὶ φυγομαχοῦντος ὑπ' ἀνανδρίας, ἐπεὶ πείθειν οὐκ εἶχον πολλὰ δεόμενοι ἐπάγειν σφᾶς τοῖς πολεμίοις, ἕως ἔῤῥωται ἡ στρατιὰ, ὡς πολλῷ τῶν ἐλπίδων βελτίους ἐσομένους, τά τε ἐπιτήδεια ἐπιλείπειν ἤδη ἤρχετο, ἀνάγκῃ περισχεθεὶς ὁ στρατηγὸς καὶ δείσας, μὴ παντάπασιν ἀπόλωνται ὑπὸ ἐνδείας, ἐκέλευε τὴν ἡμίσειαν τροφὴν ἑκάστῳ καὶ ναύτῃ καὶ ὁπλίτῃ παρέχειν, τῆς ἡμέρας οὐδὲν πλέον, ἢ μάζης οὔσης. γλίσχρως δὲ αὐτοῖς χορηγουμένης τῆς τροφῆς ὡς μόλις ἀποζῆν, καὶ χειμῶνες ἐπι-

9. ἰδίας γῆς om. P. 13. ἐν om. P. 22. καὶ ναύτῃ om. P.

deduxerunt, quos Byzantii mira humanitate exceperunt, et fame ac frigore paene mortuos singulari benignitate curaverunt, suppeditatis necessariis indumentis et auxiliis ad sanitatem omnibus, qui non iam confecti ac perditi ibidem exstinguebantur. Nicolai vero tantam inhumanitatem crudelitatemque detestabantur, quod exercitum robore florentem, pugna tristissimum et a suis strenuitate plurimum differentem cum absumpsisset, velut voluntaria eum negligentia enervasset ac perdidisset. Per aestatem enim e sua regione profecti opinatique, brevi tempore aut caesuros hostem, si in eum inciderent, aut ab eo caesum iri, (tali quippe spiritu militatum ibant,) neque vestes crassas ad frigus hibernae expeditione defendendum, neque commeatum sufficientem sibi providerant, sed tenuius ab utroque instructi, mare conscenderant. Nicolaum autem tempus male ferentem insulasque circumnavigantem et prae ignavia pugnam devitantem cum impensius orantes, obtinere ab eo nequirent, ut ipsos in hostem validos adhuc et vigentes duceret, (quippe spem longe superaturos,) et alimenta iam deesse inciperent, ille necessitate constrictus metuensque, ne prae egestate interirent pror-

γενόμενοι ἐξαίσιοι, διέφθειραν παντάπασι γυμνοῖς καὶ πει-A.C. 1352 νῶσιν ἐπιθέμενοι. Νικολάου δὲ οὐδενὸς ἐμέλησε τῶν τοιού-B των, ἀλλὰ καὶ ἐν ἐμπορίοις τοῖς σφίσι φιλίοις προσίσχων ταῖς ναυσὶ, τῶν μὲν ἰδίων ἐποιεῖτο πρόνοιαν, ὅση δυνατὴ, τῶν δὲ συμμάχων, οὐδ' ὅσον εἰπεῖν ὄντων βελτιόνων, κατημέλει. τοιαύτην ἐνεδείξατο ἀγνωμοσύνην πρὸς τοὺς φίλους. ὃν δικαίως πολλὰ καταμεμφόμενοι Βυζάντιοι τοὐναντίον ἅπαν ἐπεδείκνυντο πρὸς Κατελάνους, τῆς τοσαύτης οἰκτείροντες κακοπραγίας. οὐ μόνον γὰρ ἦσαν παντάπασι γυμνοὶ, ἀλλὰ καὶ νεκρῶν εἴδωλα καμόντων, ποιητικῶς εἰπεῖν, ὀλίγον ἐμπνέοντες ἔτι καὶ ζῆν πεπιστευμένοι τῷ κινεῖσθαι· οἱ πλείους δὲ οὐδὲ κινεῖσθαι ἦσαν δυνατοὶ, ὑπὸ τοῦ ψύχους τῶν μελῶν ἠκρωτηριασμένων. καὶ τοσαύτης ἠξίωσαν ἐπιμε-C λείας, ὅσης ἄν τινας καὶ τῶν οἰκειοτάτων. οὐ μόνον οἱ δυνατοὶ τῶν πολιτῶν καὶ φροντιστήρια ἱερὰ καὶ οἱ πρὸς κοινὴν ὑποδοχὴν τῶν ξένων κατεσκευασμένοι οἶκοι, τὸ θαυμαστὸν τοῦτο παρὰ Ῥωμαίοις ἔργον καὶ πολλῆς φιλανθρωπίας γέμον, ἀλλὰ καὶ τῶν τοῦ δήμου πλεῖστοι καὶ τῶν ἐργαστηρίοις καὶ τέχναις προσεχόντων, μᾶλλον δὲ σύμπαντες ἐφιλονείκουν, ἄλλος ἄλλον ὑπερβαλέσθαι τῇ περὶ τοὺς δυσπραγοῦντας φιλοτιμίᾳ, καὶ οὕτω καλῶς ἀνακτησάμενοι καὶ προνοίας τῆς δεούσης ἀξιώσαντες, ἐξέπεμπον ἐπὶ τὰς σφῶν τριήρεις πρὸς τὴν οἰκίαν ἀπαιρούσας ἤδη, πολλὰ Ῥωμαίους εὐφημοῦντας καὶ τῆς περὶ σφᾶς προνοίας μεγάλας χάριτας D

11. πιστευόμενοι M. 20. ἄλλως P. 23. οἰκείαν M., ut mox.

sus, iussit, cuique et militi et remigi dimidium alimentum praeberi, per diem non plus, quam mazam, scilicet. Victu adeo parco subministrato, ut eo vitam vix retinerent, asperae insuper tempestates eos nudos et esuritione emaciatos omnino fregerunt ac deartuarunt. Horum nihil curae erat Nicolao, sed ad emporia amica navibus accedens, suis, quantum poterat, prospiciebat, sociis autem, quantum dici non potest, melioribus, nec hilum quidem: tam se erga amicos improbe gerebat. Quem iure accusantes Byzantii plane alios se Catalanis, tam gravem eorum aerumnam miserati, exhibebant. Non enim duntaxat omnino nudi erant, sed et luce hominum simulacra carentum, ut cum poeta loquar, paulum adhuc spirantes et se moventes, unde vivere etiamnum credebantur. Multi porro se nec movere poterant, membris algoris saevitia praemortuis. Tam sollicite autem, tam diligenter aegrotantibus inserviebant, quam vel propinquissimis. Atque hoc insigne et humanitatis plenum opus non modo potentiores cives et sacra monasteria et domus hospitales exercebant, sed plebeii quoque plurimi et opifices: imo vero omnes contendebant, ut alter alterum miseris sedulitate ministrandi vinceret.

A.C. 1352 ὁμολογοῦντας. ὅσοις δὲ ἀπώλοντο αἱ νῆες, ἐν Βυζαντίῳ κατελείποντο ἀνάγκῃ, περὶ δισχιλίους ὄντες, ὧν τοὺς πολλοὺς δεηθέντας ὕστερον πολλῆς προνοίας ἀξιώσας ἐξέπεμψεν ὁ βασιλεὺς πρὸς τὴν οἰκίαν διὰ τῆς ἠπείρου. κατελείποντο δὲ ἑκοντὶ ὑπὲρ τριακοσίους, οἷς ἐχρῆτο πρὸς στρατείας ὁ βασιλεὺς μισθοφοροῦσι, καὶ πολλὴν ἀνδραγαθίαν ἐπεδείκνυντο κατὰ τὰς μάχας. ταῦτα μὲν οὖν ὕστερον.

P. 833 λα'. Τότε δὲ, ἐπεὶ οἱ ἐκ Γεννούας οὐδένα πολεμίων ἐν ἡμέραις πλείοσιν ἑώρων ἐπιόντα, ὅπερ ἦν, τὴν πρὸς αὐτοὺς μά-
B χην ὀῤῥωδεῖν τοὺς πολεμίους ὑποπτεύσαντες, ἀνεθάρσησάν τε καὶ δεῖν ἔγνωσαν αὐτοὶ ἐκείνοις ἐπιέναι, ὡς μᾶλλον καταπλήξοντες. καὶ αὐτοί τε παρεσκευάζοντο, ὅσα ἔδει, πρὸς τὴν μάχην, καὶ πρὸς Ὀρχάνην πρεσβείαν πέμψαντες, ἐδέοντο σφίσι
V. 665 συμμαχεῖν, χρήματά τε οὐκ ὀλίγα παρεχόμενοι καὶ τὴν χάριν ἐσαεὶ ἀνάγραπτον τῷ Γεννούας δήμῳ καὶ τῇ βουλῇ ἔσεσθαι ἐπαγγελλόμενοι. ὁ δ' ἐπείθετο προθύμως, οὐ μόνον τῶν χρημάτων ἕνεκα, ἀλλ' ὅτι καὶ τοὺς ἐκ Βενετίας ἐν αἰτίαις εἶχεν, ὅτι πρὸς τοὺς ὅρους τῆς ἐκείνου ἡγεμονίας ἀφιγμένοι στόλῳ τοσούτῳ, οὐ μόνον σύμμαχον καὶ φίλον ἔχειν, ἀλλ' οὐδὲ προσρήσεως γοῦν τινος ἠξίωσαν ψιλῆς. καὶ πέμ-
C ψας στρατιὰν πολλὴν πεζήν τε καὶ ἱππικὴν πρὸς τὴν ἀντιπέρας Βυζαντίου ἤπειρον, ἐκεῖθέν τε ἐκέλευε τοὺς ἐκ Γεν-

4. κατελίποντο M.

Cum eos convenienti cura hunc in modum refocillassent atque incolumitati restituissent, ad triremes eorum iam solventes miris laudibus Romanos extollentes et de curatione amplissime gratias agentes remittebant. Sed quibus naves perierant et Byzantii necessario relinquebantur, circiter duo millia, eos imperator per continentem in sedes suas remittendos putavit. Remanserunt tamen sponte plus trecenti, quorum mercenaria opera in expeditione postea usus est imperator: et sane bellatores sese fortes demonstrarunt. Verum haec postea contigerunt.

31. Tum vero postquam Genuenses diebus pluribus nullum accedere hostem viderunt, coniectantes rem ipsam, se timeri videlicet, sumpserunt animos et in illos, quo amplius terrerentur, eundum decreverunt. Cumque ipsi pugnae necessaria pararent, missis etiam ad Orchanem legatis, eius auxilium implorabant, immanem pecuniam largientes ac promittentes, beneficium id populi et senatus Genuensium pectoribus perpetuo inscriptum fore. Orchanes laetus annuit, non solum pecunia illectus, sed quod Venetis quoque erat offensus: quia nimirum ad fines principatus sui cum tanta classe venientes, non modo amicum et socium ipsum habere, sed nec affatu saltem dignati fuissent: missisque in continentem e regione Byzantii magna peditum equitumque vi, mandavit, ut Genuenses adiuvarent, quantum possent, et Galatam traiicerent. Condu-

νούας ὠφελεῖν, ὅ,τι ἂν δύναιντο, καὶ πρὸς Γαλατᾶν περαιουμένους. A. C. 1352 καὶ ὠφέλησε τὰ μέγιστα κατ' ἐκεῖνο τοῦ καιροῦ τὸ Περσικὸν αὐτούς. ὡς γὰρ ἤδη παρεσκευασμένοι ἦσαν καὶ οὐδὲν ἐνέδει ἔτι, καὶ ὁλκάδας δύο μεγάλας ἐπαγόμενοι, ἐφ' αἷς ἦσαν ξύλινοι πύργοι κατεσκευασμένοι, οἷς ἐπέστησαν πολλοὺς ὁπλίτας, πρὸς τὴν ἀντιπέρας ἤπειρον ἐπεραιώθησαν ταῖς ναυσὶν ἁπάσαις, ὅσαις εἶχον. παρεπομένων δὲ ἐκ τῆς ἠπείρου καὶ τῶν Περσῶν, καταντικρὺ τῶν πολεμίων ὡρμίσαντο ἐλθόντες. καὶ ὁ βασιλεὺς αὐτίκα πολλὴν ἄγων στρατιὰν πεζήν τε καὶ ἱππικὴν ἐκ Βυζαντίου, συστρατευομένου καὶ Παλαιολόγου τοῦ νέου βασιλέως, (ἄρτι γὰρ ἀφῖκτο ἐκ Θεσσαλονίκης, ὥσπερ ὕστερον εἰρήσεται ὀλίγῳ,) D πρός τε τὰς σφετέρας καὶ τὰς συμμαχίδας ἀφίκοντο τριήρεις καὶ παρώρμων τὸν Νικόλαον ἐπὶ τὴν μάχην. ὁ δὲ τοσοῦτον ἀπέσχε τοῦ πεισθήσεσθαί ποτε, ὥσθ' ὑπ' ἄκρας ἀθλιότητος μηχανὰς διενοεῖτο πετροβόλους ἀχθησομένας ἐκ Βυζαντίου καθιστᾷν ἐπὶ τῆς χέρσου, ὡς ἀμυνουμένας ἀπὸ γῆς, ἂν οἱ πολέμιοι ἐπίωσιν. ἃ εἰ καί τινα ὠφέλειαν συνοίσειν ἐνομίζετο, οὐκ ὀλίγου ἂν ἐδεήθη χρόνου πρὸς κατασκευήν, τῶν πολεμίων μάλιστα ἐφεστηκότων καὶ πολλάκις τῆς αὐτῆς ἡμέρας δυναμένων ἐπιέναι. οὕτως οὔτε ἔπραττεν, οὔτε διενοεῖτό τι τῶν ἔμφρονι στρατηγῷ καὶ τὰ δέοντα συνεῖναι δυναμένῳ προσηκόντων ὑπὸ τῆς προσούσης ἐμπληξίας καὶ δειλίας. Πούνσων δὲ Ντεσάντα παῖς, (οὕτω γὰρ ὁ τῶν Κα- P. 834 τελάνων ἄρχων ἐκαλεῖτο,) διεῤῥήγνυτο ὑπὸ θυμοῦ καὶ δια-

xit illis eo tempore vehementer Persicum auxilium. Cum enim iam parati plane essent et onerarias duas magnas cum turribus ligneis, in quibus stabant, deducerent, ingentem insuper armatorum multitudinem in adversam continentem navibus omnibus, quotquot habebant, traiecerunt, Persisque eodem per terram sequentibus, ex adverso hostium applicuerunt. Imperator statim numerosas copias pedestres et equestres Byzantio adducens, comite Palaeologo iuniore imperatore, (recens enim Thessalonica redierat, ut paulo post dicetur,) ad suas et socias triremes adventare et Nicolaum ad pugnam exstimulare. Qui usque eo non movebatur, ut homo miserrimus de machinis lapidum iaculatricibus Byzantio adducendis et in terra constituendis cogitaret, ut inde hostes instantes repelleret. Quae etsi aliquid profuturae videbantur, non pauco tamen tempore, ut fabricarentur, indiguissent, cum hostes iam adessent eodemque die possent saepius invadere. Sic erat, ac prae metu et vecordia nihil, quod ducem cordatum, et quid res posceret, intelligentem deceret, versabat animo. Punson vero, Ntisantae filius, (sic enim Catalanorum dux appellabatur,) prae ira Nicolaum collegam vel dilaniare cupie-

A. C. 1352 σπᾶν, εἰ οἷόντε ἦν, τὸν συνάρχοντα Νικόλαον διενοεῖτο, τὴν ὕβριν τῶν πολεμίων καὶ τὴν καταφρόνησιν ἐννοῶν, ἣν πάσχουσι διὰ τὴν φαυλότητα τοῦ στρατηγοῦ, τοσοῦτον ἐν ἅπασι τῶν πολεμίων ὑπερέχοντες. πολλήν τε τοῦ σφετέρου ῥηγὸς κατεγίνωσκεν ἀπραγμοσύνην, ὅτι φέρων αὐτόν τε καὶ τὴν στρατιὰν ὑπέταξε τοιούτῳ ἀνδραπόδῳ, τῶν πολλῶν καὶ φαυλοτάτων οὐδὲν ἄμεινον διακειμένῳ. πονήρως δὲ καὶ τὸ σῶμα ἔχων ὑπὸ πυρετῶν, τὴν ἀρχήν τε ἔφασκεν ὑπὸ τῶν ἀτόπων B ἔργων τοῦ συνάρχοντος νενοσηκέναι καὶ τελευτήσειν, ἀεὶ προστιθεμένων τῶν δεινῶν· ὅπερ καὶ μικρὸν ὕστερον ἐγίνετο. εἴτε γὰρ ὑπὸ πικρίας καὶ ὀργῆς τῆς πρὸς τὸν συνάρχοντα, εἴτε καὶ ἄλλως κατεργασθεὶς ὑπὸ τῆς νόσου, ἐτελεύτησεν, ἀνὴρ ἐπιφανὴς ἐν τοῖς ὁμοφύλοις καὶ πρὸς σύνεσιν καὶ στρατηγίαν οὐδενὸς ἀπολειπόμενος καὶ ἀγαθὸς ὀφθεὶς κατὰ τὰς μάχας. ᾑρεῖτο δὲ ἀντ' ἐκείνου στρατηγὸς Μονενάν τε Σχολτοῖς Κατελάνης, οὐκ ἐπιφανὴς μὲν, οὐδὲ ἐκ τῶν εὐπατριδῶν, ὅμως δὲ συνέσει καὶ πείρᾳ τῶν ἄλλων ὑπερέχων καὶ πρὸς μάχας κάλλιστα ἐξησκημένος. Νικόλαος δὲ ἄρας ἐξ οὗ-C περ ὡρμίζετο λιμένος ἅμα πάσαις ταῖς τριήρεσιν εἰς Βυζάντιον ἀφῖκτο, ὀπίσω καταλιπὼν τοὺς πολεμίους. δείσαντες δὲ κἀκεῖνοι, μὴ ἐπίθωνται Γαλατᾷ ὀλιγανδροῦντι, (πάντες γὰρ ἦσαν ἐν ταῖς ναυσὶ,) κατέπλεον μετ' ἐκείνους. καὶ αὖθις ὁ βασιλεὺς ἐδεῖτο Νικολάου σύμβαλεῖν τοῖς πολεμίοις καταπλέουσιν· ἑώρα γὰρ περιφανῆ τὴν νίκην ἐσομένην. ὁ δ' οὐ-

bat, si posset, insolentiam hostium contemptumque considerans, quem ob ducis ignaviam pertulissent, cum tantum rebus omnibus eis antecellerent: magnaeque regem suum imprudentiae notabat', quod ipsum et exercitum tali mancipio, quique a vilissimis et ignavissimis nihil differret, subiecisset. Cum autem febrim haberet, principium morbi foeda Nicolai facta, e quibus mala semper augescerent, exstitisse, et se inde moriturum affirmabat, ut et paulo post contigit. Sive enim acerbitate animi et ira adversus collegam, sive alia ratione adiuvante, morbo confectus interiit, vir domi suae nobilis et prudentia arteque imperatoria nullo inferior, quique in proelio praeclare stetit. In eius locum dux electus est Monean de Scoltis Catalanus, non ille quidem clarus, neque nobilis, sed intelligentia et usu aliis praestans et bellicosissimus. Nicolaus e statione solvens, retro relictis hostibus, cum omnibus triremibus Byzantium venit. Illi metuentes, ne Galatam invaderet, (in qua parati tum propugnatores non visebantur, quod omnes in navibus essent,) eum sunt insecuti. Quem imperator rursum rogavit, uti cum eis appellentibus confligeret, quoniam indubitatam cernebat victoriam, nec permovit, omnia scilicet potius, quam pugnam cogitantem. Imperator perple-

δὲν ἧττον ἢ πρότερον, πάντα μᾶλλον ἢ μάχεσθαι διενοεῖτο. A.C. 1352
βασιλεὺς δὲ ὑπ' ἀμηχανίας ἀπορῶν, ὅ,τι χρήσαιτο τοῖς πρά- V. 666
γμασι, Μονενὰν τῷ τῶν Κατελάνων ἄρχοντι συνεβούλευε, μετὰ τῶν βασιλικῶν παρασκευασάμενον τριηρέων χωρεῖν ἐπὶ τοὺς πολεμίους. οἴεσθαι γὰρ καὶ Νικόλαον αἰσχυνθέντα οὐκ ἀπολειφθήσεσθαι τῆς μάχης, πρός τε τὸν ῥῆγα σφῶν εὐπρόσ- D
ωπον ἀπολογίαν ἔσεσθαι, εἰ παρὰ Νικολάου διώκοιτο ἀπειθείας· τετελευτηκέναι γὰρ ἐκεῖνον, ᾧ προσέταττεν ὁ ῥὴξ πάντα Νικολάῳ πείθεσθαι. Μονενὰν δὲ αὐτῷ τε καὶ τοῖς ὁμοφύλοις μάλιστα τὴν μάχην εἶναι κατὰ γνώμην ἔφασκε καὶ πολλὴν καταγινώσκειν ἀτολμίαν Νικολάου, οὕτως ἑτοίμην νίκην ὑπὸ φαυλότητος ἑκόντι προϊεμένου· μὴ δύνασθαι δὲ μηδ' αὐτὸν παρὰ τὰ δοκοῦντα πράττειν Νικολάῳ. τὸν γὰρ αὐτὸν εἶναι λόγον πρὸς αὐτὸν, ὅνπερ καὶ τῷ στρατηγοῦντι πρὸ ἐκείνου. εἶναι δὲ ἀνόητον παντάπασιν, εἰ νικῶντες καὶ ἡττώμενοι ὁμοίως εὐθύνας ὑποπτεύοντες τῆς ἀπειθείας τῷ σφῶν ἄρχοντι παρέχειν, ἔπειτα διακινδυνεύειν ὑποσταῖεν ἐφ' οὕτως ἑκατέρωθεν ἐσομένοις φανεροῖς κακοῖς. ἄντε γὰρ νικῷεν, P. 835
κολάζεσθαι ἀνάγκη καὶ τὰ ἔσχατα ὑπομένειν καὶ ἀτίμους εἶναι διὰ τὴν ἀπείθειαν, (οὕτω γὰρ εἶναι παρ' αὐτοῖς νενομισμένον,) ἂνθ' ἡττῶνται παρὰ τῶν πολεμίων, (ἄδηλον γὰρ, ὅπη ἀποβήσεται,) ἀνάγκη ἀποθνήσκειν τοὺς περισωθέντας ἀπὸ τοῦ πολέμου. δι' ἃ μὴ δύνασθαι, εἰ μὴ Νικόλαος ἐπιτρέπει, συμπλέκεσθαι τοῖς πολεμίοις. οὕτω δὲ περὶ τὴν μάχην μάλιστα ἠσχολημένου βασιλέως καὶ ἀγανακτοῦντος, ὅτι μὴ πεί-

xus ac nescius, quo se verteret, Monean, Catalanorum ducem, hortatur, cum imperatoriis triremibus in hostes procedat. Putabat enim, prae pudore Nicolaum ei non defuturum, illumque apud regem honestam defensionem habiturum, si a Nicolao inobedientiae postuletur: mortuum esse videlicet illum, cui ipse mandaverit Nicolao per omnia subesse. Monean confirmare, sibi et suis proelium in optatissimis esse, et timiditatem nimiam Nicolai vituperare, qui praesentem victoriam ex humilitate animi volens e manibus dimiserit. Non posse tamen nec se contra placitum Nicolai facere. Eodem enim modo pendere ab illo, quo antegressus dux pependerit. Prorsus autem stultum videri, si victores et victi aeque inobedientiae poenas suo principi se daturos suspicantes, nihilo minus dimicationem subeant, utrimque tam manifesto periculo. Sive enim vincant, ultima supplicia cum dedecore passuros, quia non obedierint, (sic enim esse apud eos in more positum,) sive ab hostibus vincantur, (ancipites enim sunt exitus proeliorum,) mori oportere, quibus bellum pepercerit. Quocirca nisi permittente Nicolao, se cum hostibus congredi non posse. Imperatore circa pugnam sic maxime oc-

A. C. 1352 θοιντο οἱ σύμμαχοι, (ταῖς γὰρ σφετέραις μόναις ἀδύνατοι ἦσαν οἱ Ῥωμαῖοι πρὸς τοσοῦτον στόλον ἀντικαθίστασθαι τῶν πολεμίων,) ἀθρόον ἑωρῶντο ἄρτι ἥκουσαι ἐκ Κατελάνων τρεῖς B τριήρεις μέγισται μεγέθει καὶ πρὸς τὴν ἄλλην ἅπασαν παρασκευὴν διαπρεπῶς κεκοσμημέναι, ὁπλίτας ἄγουσαι μαχιμωτάτους πολλοὺς καὶ ἀγαθούς. νομίσας δὲ διὰ τὴν προσθήκην τῶν τριηρέων ἀναθαρσήσαντα Νικόλαον χωρήσειν ἐπὶ τοὺς πολεμίους, ἥδετό τε καὶ ἐν ἐλπίσι χρηστοτέραις ἦν καὶ αὖθις ἐπεχείρει παρορμᾶν. ὁ δ' ἔργοις αὐτοῖς ὡς οὐ μαχεῖται φανερὸν ποιῶν, τὸν ναύσταθμον καταλιπὼν, (ὡρμίζετο γὰρ ἐπὶ τὰς Εὐγενίου πύλας,) καὶ περιπλεύσας τὴν ἀκρόπολιν, ἐπὶ τὸ ἀκμαιότατον τοῦ ῥεύματος ἐλθὼν, ἐφώρμει πρὸς τὴν τῆς μάρτυρος Βαρβάρας καλουμένην πύλην. συνείποντο C δὲ ἀνάγκῃ καὶ Κατελάνοι καὶ Ῥωμαῖοι. βασιλεὺς δὲ εἰδὼς ἀλίμενον τὸ χωρίον ὂν, ὡς τὰ πολλὰ, ἂν ἐκ πόντου ἢ τῆς ἕω πνεύματα προσπέσωσιν· (ὀγκουμένη γὰρ ἡ θάλασσα τοῖς τείχεσι προσπίπτει, πέτραι τε πολλαὶ καὶ ὕφαλοι καὶ φαινόμεναι τῶν τειχῶν προβέβληνται πανταχοῦ πρὸς ἄμυναν τῶν κυμάτων, ὑπὸ τῶν πρώτως τειχισάντων τὸ Βυζάντιον ἐκ προνοίας ᾠκοδομημέναι,) συνεβούλευεν ἀφίστασθαι τοῦ τόπου καὶ μὴ σφᾶς αὐτοὺς ἀπροσδοκήτοις κινδύνοις περιβάλλειν ἑκόντι. Νικολάου δὲ σφίσι μᾶλλον τῆς περὶ τὰ ναυτικὰ πείρας δεῖν εἶναι παραχωρεῖν εἰπόντος πρὸς βασιλέα, ὥσπερ αὐτοί τε καὶ πάντες αὐτῷ τῶν κατὰ τὴν ἤπειρον ἐξίστανται,

10. *αὐτοῖς* add. M. post *μαχεῖται*.

cupato et ob sociorum pertinaciam stomachante, (Romani enim soli tantae hostium classi resistere nequibant,) visae sunt adnare ex Catalanis tres triremes magnitudine praecipua et reliquo toto apparatu decenter instructae, in quibus bellicosissimi fortissimique milites. Ratus igitur, hac accessione Nicolaum excitatum in hostes incursurum, laetabatur et spem meliorem concipiebat: proindeque illum statim eo impellere instituit. Qui facto ipso declarans, non se pugnaturum, statione relicta, (stabat autem ad portam Eugenii,) et arce circumnavigata, ad portam Barbarae martyris nominatam in aestu undarum maximo constitit, Catalanis et Romanis, vellent, nollent, sequentibus. Imperator locum importuosum esse sciens, (nam saepe si vel a ponto, vel ab oriente ventus inciderit, tumescens mare muros verberat, saxaque multa sub aquis latentia et eminentia ante muros iacta sunt, quae fluctus arceant, providentia eorum, qui primi Byzantium muris sepserunt,) monebat, uti recederent, ne se ipsos improviso periculo ultro ingererent. Nicolao autem respondente, ipsis credendum potius in nautica peritia, quemadmodum ipsi et omnes in rebus continentis ei credant, ponendasque curas superva-

καὶ πολυπραγμονεῖν μηδὲν, ὡς σὺν ἐπιστήμῃ πολλῇ τὰς ναυλοχίας A. C. 1352 ποιουμένων, τοῦτον μὲν ὡς ἀπεστερημένον παντάπασι D κατελίμπανε φρενῶν, Ταρχανειώτην δὲ τὸν τῶν σφετέρων ἄρχοντα τριηρέων τάχιστα ἐκέλευεν ἀναχωρεῖν, ὅπου μάλιστα ἐν ἀσφαλεῖ διανυκτερεύσει, καὶ μὴ τοῖς ἀναισθήτοις ἐκείνοις συγκινδυνεύειν. Ταρχανειώτης μὲν οὖν ἐποίει κατὰ τὰ κεκελευσμένα· πνευμάτων δὲ ἀθρόον ἀκρίτων προσπεσόντων τῆς νυκτὸς καὶ τῆς θαλάσσης ἐξοιδησάσης, ὀλίγου ἐδέησαν αἱ Βενετικαὶ τριήρεις καὶ αἱ συμμαχίδες πᾶσαι διαφθαρῆναι, ὑπὸ τῶν κυμάτων πρὸς τὰ τείχη ἐξωθούμεναι. ὅμως μέντοι ἐναυάγησαν τέτταρες ἐκ τῶν Βενετικῶν καὶ τρεῖς τῶν συμμαχίδων. ἄνθρωποι δὲ καὶ ὅπλα καὶ αἱ λοιπαὶ ἀποσκευαὶ διεσώθησαν, πολλὰ καὶ τῶν Βυζαντίων συνεφαπτομένων καὶ V. 667 συναλγούντων πρὸς τὸν κίνδυνον. αἱ βασιλικαὶ δὲ διενυκτέρευ- P. 836 σαν ἐν ἀσφαλεῖ, οὐδ' ἐν αἰσθήσει τοῦ κλύδωνος γεγενημέναι. οὕτω φαύλως ὁ τῶν ἐκ Βενετίας στρατηγὸς ἠγωνίσατο κατ' ἐκεῖνον τὸν καιρὸν, καὶ ὥσπερ ἑκοντὶ μετὰ τοὺς κινδύνους προεῖτο τὴν νίκην τοῖς πολεμίοις, πολλῆς τε ἀηδίας καὶ λύπης ἐνέπλησε καὶ οἷς ἔλεγε καὶ οἷς ἐποίει βασιλέα. μετὰ δὲ τὸν κλύδωνα ἐκεῖνον καὶ τὰς ναυαγίας παραινοῦντος βασιλέως ἔτι περιμένειν, αὐτὸς μηδὲ συνταξάμενος ἀνεχώρει, μόνον τὸν βασιλέα πρὸς τὸν πόλεμον καταλιπών. ὁ δὲ οὐδ' οὕτως ἀπείπατο τὴν συμμαχίαν, ἀλλὰ καὶ μετὰ τὴν τῶν συμμάχων ἀναχώρησιν ἐν τεσσαράκοντα ἡμέραις διέφερε τὸν πόλεμον, ἐλπίζων ἐπανήξειν τοὺς συμμάχους. ὡς δὲ ἠγγέλ- B

cuas, cum ipsi perfecte norint, ubi navibus eligenda statio, eum, ut fatuum, plane missum fecit: Tarchaniotam vero, suarum triremium praefectum, celerrime recedere iussit, ubi tutissime pernoctaret, ne cum stolidis illis in discrimine versaretur. Ille iussa facit, ventisque noctu repente crebrescentibus, et mari surgente, parum aberat, quin Venetae et auxiliares fluctibus ad moenia allisae, omnes simul submergerentur. Quatuor certe Venetorum et tres sociorum eversae sunt, salvis hominibus, vasis et armis, multum in id Byzantiis ex commiseratione eos adiuvantibus. Imperatoriae vero in tuto pernoctantes, fluctus nullos sentiebant. Adeo timide et ignave dux Venetus illo tempore pugnavit, et quasi volens atque ultro post pericula superata victoriam hostibus prodidit, dictisque et factis suis imperatorem multa molestia et aegrimonia implevit. Post fluctus illos et naufragium hortante imperatore, uti adhuc exspectaret, ipse, ne salute quidem dicta, discessit ac solum bello reliquit. Qui ne sic quidem auxilium desperans, post sociorum recessum quadraginta diebus, eos redituros confidens, pugnam differebat. Ut porro nun-

A. C. 1352 λοντο ὑπερβαλόντες τὸν Αἰγαῖον, οὐδένα ἂν δικαίως οἰηθεὶς ἕξειν αἰτίαν ἐπενεγκεῖν, εἰ σπένδοιτο τοῖς πολεμίοις θαλασσοκρατοῦσιν, ἀπολιπόντων τῶν συμμάχων καὶ καταπροδόντων ἄντικρυς, ἐσπείσατο πρὸς τοὺς ἐκ τῆς Γεννούας, προθυμότατα δεξαμένοις τὴν τοῦ πρὸς βασιλέα κατάλυσιν πολέμου. μετὰ τοῦτο δὲ καὶ αὐτοὶ πρὸς τὴν οἰκίαν ἀνεχώρουν.

C λβ'. Τοῦ αὐτοῦ δὲ ἔτους Νικόλαός τε τὰς οὔσας τριήρεις ἐπισκευασάμενος καὶ ἑτέρας προσλαβὼν ἐκ Βενετίας, καὶ Κατελάνων πρὸς τοῖς οὖσι καὶ ἑτέρων ἐπιγενομένων, ὥρμητο αὖθις ἐπὶ ζήτησιν τῶν πολεμίων. Γεννούας δὲ ὁ δῆμος καὶ ὁ δοὺξ ἐν αἰτίαις ποιησάμενοι Παγανὴν τὸν στρα-
D τηγὸν, ἄριστα τό γε εἰς αὐτὸν ἧκον ἐστρατηγηκότα καὶ μόνον αἰτιώτατον γεγενημένον τοῦ μὴ παντάπασι διαφθαρῆναι, ἀπεχειροτόνησαν, Ἀντώνιον δὲ Γριμάρδον ἐπέστησαν τῷ στόλῳ στρατηγόν. ἐφοπλίσας δὲ καὶ αὐτὸς πρὸς ταῖς οὔσαις καὶ ἑτέρας καὶ τἄλλα ἐπισκευασάμενος, ὧν ἐδεῖτο, ἐν Σαρδοῖ τῇ νήσῳ προσέβαλε τοῖς πολεμίοις, καὶ μάχης γενομένης, ἡττᾶτο κατακράτος, καὶ δύο καὶ τριάκοντα ἀπέβαλε τριήρεις. Κατελάνοι δὲ τότε μᾶλλον Νικόλαον ἐμέμψαντο, ὅτι μὴ πεισθείη βασιλεῖ ναυμαχεῖν περὶ Βυζάντιον, ὅπου πλείων τε αὐτοῖς ἡ δύναμις, παρούσης καὶ τῆς βασιλικῆς, καὶ τοῖς πολεμίοις οὐδεμία ἡττηθεῖσιν ἦν ἀποφυγὴ, ἀλλ' ἀνάγκη
P. 837 ἦν παντάπασιν ἐκπολιορκηθέντας διαφθαρῆναι. οἱ ἐν Γεννούᾳ δὲ ἀπειρηκότες πρὸς οὕτω μεγάλην ἧτταν, (χρήματά τε

4. ἐπείσατο P. 5. δεξαμένους fortasse. 14. Γριμάλδον M. supra lineam.

tius venit, eos Aegaeum superasse, iusta reprehensione cariturum se existimans, si, sociis deserentibus palamque prodentibus, pacem cum dominis maris componeret, cum Genuensibus libentissime bellum hoc ponentibus foedus fecit. Tum demum et ipsi domum renavigarunt.

32. Eodem anno Nicolaus, triremibus, quae supererant, refectis et aliis Venetiis adiunctis, et Catalanis numero auctis, iterum ad hostes quaerendos cursum instituit. Genuenses cum duce suo Paganum, optime functum officio, quod ad se attinebat, et per quem potissimum steterat, quo minus omnino perirent, in crimen vocantes, potestate exuerunt Antoniumque Grimoaldum classi praefecerunt. Qui aliis triremibus supra priores instructis, et ab aliis, quibus egebat, paratus, apud Sardiniam insulam in hostes irruit: quorum virtute victus, duas ac triginta triremes amisit. Catalani tum praecipue Nicolaum incusare, quod imperatori, apud Byzantium ad navale certamen cohortanti, non paruisset, ubi maior eorum potentia fuisset, quando et imperatoria classis accedebat, et hostes victi nullum perfugium habuissent, expugnatique omnino nihil de ce-

γὰρ αὐτοῖς οὐ παρῆν πρὸς ἑτέρου στόλου παρασκευήν, καὶ A.C. 1352
ὁ δῆμος ἐπιέζετο ἐνδείᾳ πολλῇ τοῦ σίτου, τῶν ἐκ Βενετίας
μὲν θαλασσοκρατούντων μετὰ τὴν νίκην καὶ οὐκ ἐώντων
σῖτον ἐκ θαλάττης ἄγεσθαι, γῆς τε οὐκ ἄρχοντες, ἐξ ἧς τρα-
φήσονται γεωργοῦντες,) δεῖν ἔγνωσαν τῷ τῶν Μεδιολάνων ἄρ-
χοντι ὑπάγειν ἑαυτοὺς καὶ καταδουλοῦν, ὠφελεῖν τὰ μέγιστα
δυναμένῳ. χρημάτων τε γὰρ ἐς τὰ μάλιστα εὐπόρει καὶ στρα-
τιᾶς οὐχ ἱππικῆς μόνον, ἀλλὰ καὶ πεζῆς, ἧς ἐδέοντο ἐκεῖνοι. V. 668
πρὸς τούτοις δὲ καὶ χώρας ἄρχων πολλῆς καὶ ἀγαθῆς, τρέ-
φειν ἠδύνατο σῖτον πανταχόθεν ἄγων. οὕτω δὲ δόξαν, διε-
πρεσβεύοντο πρὸς αὐτὸν καὶ τὴν πόλιν παρεδίδουν. ὁ δ' B
ἐδέχετο ἀσμένως, καὶ πρότερον ποιούμενος περιπλείστου Γεν-
νούας δεσπότης εἶναι, οὔσης ὁμόρου. καὶ ὅρκοι πρὸς ἀλλή-
λους ἐγίνοντο καὶ συμβάσεις, ὥστ' αὐτὸν μὲν ἐκείνους καὶ
χρήμασι καὶ ὅπλοις καὶ στρατιώταις καὶ πᾶσιν, οἷς ἔχει,
βοηθεῖν ἐπὶ τοὺς πολεμίους, αὐτοὺς δ' ἐκεῖνον διὰ βίου παν-
τὸς δεσπότην ἔχειν καὶ μηδέποτε ἀγνωμονήσειν, ἄρχοντά
τε δέχεσθαι τῇ πόλει παρ' ἐκείνου, καὶ τὴν πολιτείαν καθά-
παξ μεταβαλόντας ὑπ' ἐκείνου ἄγεσθαι, ὅπῃ ἂν δοκῇ. οὕτω
μὲν οὖν οἱ ἐν Γεννούᾳ πιεσθέντες ὑπὸ τοῦ πολέμου πράτ-
τειν ἠναγκάσθησαν ἀγεννῆ καὶ ἀνελεύθερα, τὸν πρότερον C
κόμπον καὶ τὸ φύσημα ἀποβαλόντες, καὶ Σίμωνα Μπουκα-
νέγρα τὸν σφῶν ἄρχοντα παραλύσαντες τῆς ἀρχῆς, ἄρχοντα
τῇ πόλει εἰσεδέχοντο παρὰ τοῦ τῶν Μεδιολάνων δεσπότου.

tero potuissent. Genuenses, tanta clade fractis animis, (pecunia enim ad aliam classem aedificandam carebant; et populus annonaria difficultate conflictabatur, cum Veneti post victoriam mari dominarentur, nec frumentum subvehi paterentur: et agrum, cuius fructibus victum tolerarent, non habebant,) operae pretium censuerunt, Mediolanensium principi potentissimo submittere ac subiicere sese, qui eorum inopiae inprimis posset consulere. Pecuniae namque ditissimus erat, nec modo equestribus, sed et pedestribus copiis, quibus illi egebant, abundabat. Praeterea ampla illi et fertilis regio, qua eos undecunque frugibus importandis alere poterat. Hoc decreto ei per legatos urbem tradunt. Quae res illi pergrata accidit. Nam et ante beatum se fore iudicabat, si Genuae, utpote vicinae, dominus fieret: sancitumque foedus, ut is illis et pecunia et armis et militibus et quibus demum posset, contra hostes adiumento esset: ipsi eum, quoad viveret, dominum agnoscerent, nec unquam rebellarent. Praefectum ab eo acciperent, totaque politia commutata, eius arbitrio regerentur. Sic Genuenses bello afflictati, abiecta pristina iactantia, depositaque superbia, rem nec ingenuam, nec liberalem admittere compulsi sunt, et Simoni Bucanegrae, duci suo, abrogato ma-

A.C. 1352 ὁ δ' ὡς οἰκείων ἤδη πρόνοιαν ποιούμενος, σῖτόν τε ἀφθόνως ἐχορήγει καὶ τὰ ἄλλα ἐπιτήδεια καὶ χρήματα ἐς τοῦ πολέμου τὴν παρασκευὴν καὶ ὁπλίτας, ἐκέλευέ τε αὖθις τριήρεις πληροῦν κατὰ τῶν πολεμίων. ἐπεὶ δὲ ὁ στόλος παρεσκεύαστο, τὸν Παγανὴν ἐπέστησαν αὖθις στρατηγὸν, Ἀντωνίου πολλὴν καταγνόντες ἀπειρίαν περὶ στρατηγίας. καὶ οἱ ἐκ Βενετίας ὡς ἐπύθοντο τοὺς πολεμίους αὖθις στόλῳ ἐπι- D όντας, ἀντεπεξῄεσαν καὶ αὐτοὶ, Νικολάου στρατηγοῦντος· ἐπαρθέντες δὲ τῇ προτέρᾳ νίκῃ καὶ τῆς Κατελάνων συμμαχίας ἀμελήσαντες, ὥσπερ καὶ πρότερον τῆς βασιλέως, κατεναυμαχήθησαν ὑπὸ τῶν ἀντιπάλων πρὸς τῇ Μεθώνῃ, καὶ τάς τε ναῦς ἁπάσας οἱ ἐκ Γεννούας ἔλαβον τῶν πολεμίων πλὴν ὀλίγων καὶ τὸν στρατηγὸν αἰχμάλωτον, ὃς καὶ ἐν Γεννούᾳ ἐτελεύτησε δεσμωτήριον οἰκῶν. μετὰ δὲ τὴν πληγὴν ἐκεῖνοι καὶ οἱ ἐκ Βενετίας ἀτονοῦντες πρὸς τὸν πόλεμον, διεπρεσβεύσαντο ἀλλήλοις περὶ εἰρήνης καὶ κατέλυσαν τὸν πόλεμον, μικρᾶς ἕνεκα αἰτίας μέγαν γεγενημένον καὶ τὰ μέγιστα ἑκατέρους βλάψαντα. ἐπεὶ δὲ εἰρήνη ἦν καὶ δεινὸν οὐδὲν προσεδοκᾶτο, ἀνάξιον εἶναι σφῶν ἡγούμενοι οἱ ἐν P. 838 Γεννούᾳ μηδὲν ἀγνωμονεῖν περὶ τοὺς εὐεργετηκότας, πρῶτα μὲν Παγανὴν τὸν στρατηγὸν, λαμπρὸν γεγενημένον ἐν ταῖς στρατηγίαις ἀμφοτέραις, ἐξήλασαν τῆς πόλεως, ἀειφυγίαν καταχρίναντες, καὶ σὺν ἐκείνῳ πάντας τοὺς ἀρίστους, οὐδὲν ἔχοντες ἐγκαλεῖν· ἔπειτα καὶ τοῦ Μεδιολάνων ἀφίσταντο δε-

15. ἀδυνατοῦντες M. mg. 24. ἔχοντας P.

gistratu, praefectum a Mediolanensium domino receperunt. Qui, ut suis iam, providens, frumenta et reliquum victum, pecuniam quoque in apparatum belli et militem suppeditabat affatim, iubebatque denuo triremes contra hostes instrui. Parata classe, Paganum rursus ducem creant, Antonii exercitus ductandi damnata inscitia. Veneti ut hostium classem rursus adventare audierunt, contra et ipsi, Nicolao duce, navigant, elatique praecedente victoria, et societate Catalanorum, (ut antea imperatoris,) neglecta, navali certamine ab adversariis prope Methonen superati, eorumque naves, paucis demptis, una cum duce a Genuensibus captae sunt: et is postmodum Genuae in carcere diem postremum confecit. Post hanc plagam ipsi et Veneti ad arma torpentes, inter se legatos de pace miserunt, bellumque, ex parva causa tantopere auctum et utrique parti tam detrimentosum, valere iusserunt. Pace firmata, cum nihil iam exspectaretur mali, indignum rati Genuenses, nihil sceleris contra bene meritos machinari, primum quidem Paganum ducem, utraque expeditione illustratum, in perpetuum exilium eiiciunt, et cum eo optimates omnes, cum tamen nihil esset, quod eis criminis loco

σπότου (καὶ Μπουκανέγραν αὖθις τὸν Σίμωνα ἄρχοντα A.C. 1352 τῶν πραγμάτων ἀποδείξαντες, τὸν παρ' ἐκείνου καθεστῶτα ἐξήλασαν ἀτίμως καὶ τοῦτον τὸν τρόπον ἐκεῖνον τῆς πολλῆς περὶ αὐτοὺς ἠμείψαντο κηδεμονίας. ὁ μὲν οὖν τῶν Λατίνων πρὸς ἀλλήλους καὶ πρὸς Ῥωμαίους πόλεμος ἐνταῦθα ἐτελεύτησε. βασιλεὺς δὲ ὁ Παλαιολόγος, βασιλίδος τῆς μητρὸς μάλιστα ἐναγούσης, ἦλθεν εἰς Αἶνον, ἐν Θεσσαλονίκῃ τὴν μητέρα καταλιπὼν, ὡς ἐκεῖθεν διὰ τῆς Θρᾴκης εἰς Βυζάντιον B ἀφιξόμενος πρὸς βασιλέα τὸν κηδεστήν. οἱ δὲ ἐν Διδυμοτείχῳ ἄρχοντες, Ἀρσένιός τε μέγας παπίας ὁ Τζαμπλάκων καὶ πρωτοστράτωρ ὁ Ταρχανειώτης, ὑποπτεύσαντες διὰ Διδυμοτείχου βασιλέα τὸν Παλαιολόγον παρελθεῖν ἂν, οὐκ ἀνήκοοί τε τῶν ἐν Θεσσαλονίκῃ γεγενημένων πρὸς Κράλην τῷ βασιλεῖ συμβάσεων περὶ συμμαχίας ὄντες καὶ ὡς κοινῇ συνέθεντο πρὸς Καντακουζηνὸν τὸν βασιλέα πόλεμον κινεῖν, ἔδεισαν, μὴ εἰσδεξάμενοι τῇ πόλει μὴ κατὰ γνώμην πράττωσι βασιλεῖ τῷ Καντακουζηνῷ καὶ πρὸς ὀργὴν διερεθίσωσι, δοκοῦντες C ἀγνωμονεῖν περὶ αὐτὸν καὶ τοῖς ἐναντία πράττουσι προστίθεσθαι ἀφιστάμενοι αὐτοῦ. καὶ πέμψαντες ἐπυνθάνοντο, ἢ V. 669 χρὴ προσφέρεσθαι τῷ νέῳ βασιλεῖ· καὶ ὁ βασιλεὺς προσέταττεν, ὡς προσήκει δούλους τοῖς δεσπόταις, καὶ πᾶσαν εἴσοδον παρέχειν ἐλευθέρως, προσέχοντας ὡς βασιλεῖ, οὐκ αὐτοὺς μόνους, ἀλλὰ καὶ τὰς ἄλλας πάσας πόλεις. ὅθεν καὶ εἰσεδέξαντο προθύμως ἐκ τῆς Αἴνου ἀφιγμένον. βασιλεὺς

3. τὸν add. M.

obiicerent. Postea etiam a Mediolanensi principe deficiunt et ab illo sibi constitutum praefectum, rursus Simonem Bucanegram rei publicae caput designantes, cum ignominia expellunt, atque isto modo egregiam eius pro ipsis sollicitudinem curamque compensant. Latinorum igitur inter se et cum Romanis bellum ita desiit. Imperator autem Palaeologus impulsu matris potissimum, ea Thessalonicae relicta, Aenum venit, inde per Thraciam Byzantium ad socerum profecturus. Qui Didymotichi erant praefecti, Arsenius, magnus papias Zamplaco, Tarchaniota protostrator, suspicati Didymoticho transiturum, memores Thessalonicae facti ab eo cum Crale foederis de societate, et eos bellum adversus Cantacuzenum pepigisse, communiter veriti sunt, ne, si eum intromitterent, praeter Cantacuzeni voluntatem agerent eumque ad iram provocarent, ut qui a se nefarie desciscentes adversariae factioni adhaerescerent. Quam ob rem interrogatum mittunt, quo pacto se erga imperatorem iuniorem gerant. Respondet ille, quemadmodum se gerere deceret famulos erga dominum, et omnem ei aditum liberum concedendum, obediendumque, ut imperatori, non ab ipsis modo, sed ab aliis item

A. C. 1352 δὲ ὀλίγας ἡμέρας Διδυμοτείχῳ ἐνδιατρίψας, ἀπῆρεν ἐκεῖθεν εἰς Βυζάντιον καὶ συνδιέτριψεν οὐκ ὀλίγον χρόνον βασιλεῖ τῷ κηδεστῇ, μάλιστα ἀκμάζοντος τότε τοῦ Λατινικοῦ πολέμου. βασιλεὺς δὲ ὁ Καντακουζηνὸς εἰδὼς τῷ τε υἱῷ Ματθαίῳ D καὶ βασιλεῖ τῷ γαμβρῷ διαφοράς τινας οὔσας πρὸς ἀλλήλους, δεῖν ἔγνω κἀκεῖνον μεταπεμψάμενος, διαλύειν τὰς διαφορὰς αὐτοῖς πάντα ἐξειπόντας ἐπ' αὐτοῦ, ὅσα ἀλλήλοις οἴονται προσκεκρουκέναι. καὶ τόν τε υἱὸν μετεκαλεῖτο καὶ βασιλέα τὸν γαμβρὸν παρακατεῖχεν, ὡς βεβαίας αὐτοῖς θησόμενος τὰς διαλύσεις. ὁ μὲν οὖν υἱὸς ἄρτι τὴν Ἀδριανοῦ παρειληφὼς καὶ τὰς περὶ αὐτὴν πολίχνας, βασιλέως τοῦ πατρὸς ἐγκεχειρικότος, καὶ περὶ τὴν ἐκείνων πρόνοιαν ἠσχολημένος, ὑστέρησε κατὰ τὸ βασιλέως πρόσταγμα εἰς Βυζάντιον ἐλθεῖν, γνώμην ἔχων ὡς ἀφιξόμενος ὀλίγῳ ὕστερον. βασιλέως δὲ τοῦ νέου πρὸς τὰς ἐγκεχειρισμένας πόλεις ἥκειν ἐπειγομένου, ἐπέτρεπεν ὁ βασιλεὺς τὴν ἔξοδον, ταῖς προτέραις πόλεσιν, ἃς αὐτῷ ἐφῆκεν ἄρχειν, καὶ Διδυμότειχον P. 839 προσθείς· Ἑλένην τε βασιλίδα τὴν γαμετὴν ἐπέτρεπεν αὐτῷ συνέπεσθαι, Μανουὴλ τὸν νεώτερον ἔχουσαν τῶν υἱῶν. Ἀνδρόνικον δὲ βασιλέα τὸν υἱὸν καὶ Εἰρήνην τὴν θυγατέρα παρὰ βασιλίδι κατελίμπανεν ἐκτρέφεσθαι τῇ μάμμῃ φιλοτίμως. μέλλοντι δὲ ἀπαίρειν ἤδη τῷ νέῳ βασιλεῖ ἄλλα τε παρῄνει βασιλεὺς ὁ κηδεστὴς καὶ πρὸς τὸν γυναικὸς ἀδελφὸν μηδένα πόλεμον κινεῖν, μηδὲ κακοῖς πειθόμενον συμβου-

civitatibus universis. Itaque Aeno venientem libenter acceperunt. Cum diebus paucis Didymotichi substitisset, inde Byzantium discessit: ubi cum socero imperatore, bello Latino tunc maxime fervente, diutius vixit. Cantacuzenus haud nescius, inter Matthaeum filium et generum intercedere dissidium, illum quoque accersendum, et edentibus apud se ambobus, in quo alter ab altero se offensum putaret, litem sibi dirimendam est arbitratus. Advocat igitur filium, retento secum genero, ut ita utrisque praesentibus, stabilis fieret pacificatio. At enim filius, qui recens, patre committente, Adrianopolim finitimaque circum oppida in fidem suam receperat, eorumque procuratione distinebatur, serius quam pro mandato Byzantium venit. Iuniori imperatori ad urbes sibi descriptas festinanti, senior abitum concessit: quin etiam Didymotichum ante datis superaddidit, ac Helenam, uxorem eius, cum filio iuniore, cui nomen inditum Manuel, sequi permisit, altero filio Andronico imperatore et successore, itemque Irene filia apud aviam relictis, cuius studio et diligentia educarentur. Discessuro iam et alia praecepta socer dedit et ne adversus fratrem suae coniugis ulla ratione arma moliretur, neque susurronibus credulus, eum hostis loco haberet, a

λοις, πολέμιον ἐκεῖνον μηδὲν νομίζειν ἀδικοῦντα. βέλτιον A. C. 1352 μὲν γὰρ εἶναι περιμείναντα αὐτὸν, ἄχρις ἂν ἀφίκηται ἐκεῖνος, λύειν ἐπ' αὐτοῦ, εἴ τι μικροψύχως πρὸς ἀλλήλους διηνέχθησαν· ἐπεὶ δ' ἀναγκαία καὶ περισπούδαστος αὐτῷ ἡ ἔξοδος, αὐτός τε ἀδυνάτως ἔχει διὰ τὸν πρὸς Λατίνους πόλεμον τὸ B νῦν ἔχον εἰς Θρᾴκην ἀφικέσθαι καὶ διαλλάττειν αὐτοὺς ἀλλήλοις, μηδὲν κινεῖν τῶν καθεστηκότων, ἄχρις ἂν Εἰρήνη βασιλὶς ἡ μήτηρ εἰς Διδυμότειχον ἀφικομένη πᾶσαν πρόφασιν πολέμου καὶ μικροψυχίας περιέλῃ. τοιαῦτα παραινέσας ὁ βασιλεὺς, τὸν νέον ἐξέπεμπε μετὰ τῆς γυναικός. μετὰ μικρὸν δὲ καὶ βασιλίδα Εἰρήνην τὴν γαμετὴν ἐκέλευεν εἰς Διδυμότειχον ἀφικομένην, διαλλάττειν τὸν υἱὸν γαμβρῷ τῷ βασιλεῖ. συνεξέπεμπε δὲ αὐτῇ καὶ Φιλόθεον τὸν Ἡρακλείας μητροπολίτην καὶ Μητροφάνην τὸν Μελενίκου, ἄνδρας καὶ βίῳ καὶ λόγῳ τοῖς ὁρῶσι ὄντας ἀξιόχρεως πρὸς αἰδῶ, πρὸς τούτοις δὲ καὶ Φιλῆν τὸν Ἰωάννην, ὄντα τῶν εὐπατρι- C δῶν, δι' ἀρετὴν δὲ καὶ φιλοσοφίαν βίου πάντων ἀποσχόμενον πραγμάτων καὶ σχολάζοντα τοῖς οἴκοι καὶ πρόνοιαν πολλὴν ποιούμενον σώφρονος βίου καὶ δικαίου, ἅμα μὲν συνδιαλλάξοντας αὐτῇ καὶ τοὺς υἱοὺς, ἅμα δὲ αὐτῇ καὶ μάρτυρας ἐσομένους, εἰ μὴ τὴν ἴσην σπουδὴν ἐν ἀμφοτέροις ἐπιδείξαιτο, ὥστε μηδὲν ὕστερον τοὺς συκοφάντας ἔχειν ἐγκαλεῖν, δυναμένους τἀναντία, ὧν εἴργαστο ἡ βασιλὶς, λογοποιεῖν, εἴ τι μὴ κατὰ γνώμην ἀποβαίη τοῖς υἱέσιν. ἐπέ-

8. ἡ add. P. ante βασιλίς. 13. αὐτῇ om. P.

quo nihil dum iniuriarum pertulisset. Praestitisse quidem, si usque ad eius adventum exspectasset, ut, se disceptatore, si quid morosioris controversiae haberent, finiretur. Quia vero illi necessaria et tantopere expetita esset abitio, ipseque in praesens Latino bello impeditus, in Thraciam concedere et eos inter se conciliare non posset, nihil de constitutis mutaret, donec Irene mater imperatrix Didymotichum profecta, omnem belli ansam et non satis ingenuam istam contentionem praecideret. Haec ubi praecepit, cum coniuge dimisit, et paulo post uxorem suam Irenen ad filium generumque in concordiam redigendos Didymotichum se conferre iussit, cui Philotheum Heracleae et Metrophanem Melenici metropolitanos adiunxit, viros ob vitae sanctitatem et eloquentiam venerabiles; praeter hos Ioannem Philen, claro genere prognatum, qui, Christianae philosophiae desiderio excussis negotiis omnibus, domi res suas agebat vitamque sobriam ac iustam studiose excolebat: simul ut eam in illa filiorum pacificatione adiuvarent, simul ut ei testes fierent, nisi par in utroque studium adhibuisset: quo in posterum sycophantis calumniandi et secus, quam illa fecisset, mentiendi, si

A. C. 1352 τρεπε δὲ βασιλίδι καὶ τοῖς συνεκπεμφθεῖσι, τὰς μὲν ἄλλας
D διαφορὰς τῶν παίδων διαλύειν, ἔκφορα πάντα θεμένων πρὸς
αὐτοὺς, ᾗ ἂν θεός τε καὶ ἡ σύνεσις ὑφηγοῖτο· ἕτερον δὲ
τῶν καθεστώτων μηδὲν κινεῖν, ἀλλὰ βασιλέα μὲν τὸν νέον Διδυμότειχον καὶ τὰς ἄλλας πόλεις ἔχειν, ἃς ἐνεχείρισεν αὐ-
V. 670 τῷ, πράττοντα, ὅ,τι ἂν δοκῇ, ἑτέρᾳ δὲ τῶν μήπω ἐγκεχειρισμένων παρενοχλεῖν μηδεμιᾷ, ἀλλ' ἐᾷν ὑπὸ βασιλέα, ὥσπερ καὶ πρότερον, τελεῖν. Ματθαῖον δὲ τὸν γυναικὸς ἀδελφὸν δοῦλον μὲν ἡγεῖσθαι κατὰ τὸν τῶν βασιλέων νόμον, ἀλλὰ καὶ ἀδελφὸν, καὶ πᾶσαν ἐπιδείκνυσθαι πρὸς αὐτὸν εὐμένειαν καὶ φιλίαν, ὥσπερ δίκαιον, καὶ μηδὲν ἀνακρίνειν περὶ τῆς ἀρχῆς, ἀλλ' ἐᾷν τοὺς ἀρχομένους ἄγειν, ὅποι ἂν
P. 840 δοκῇ, καὶ τῆς τοιαύτης ὑπεροχῆς αὐτῷ παραχωρεῖν, ὄντι γε πατρὶ καὶ δυναμένῳ τοὺς παῖδας, ἄν τι σφάλωνται, ἐπανορθοῦν. Ματθαῖον δὲ τὸν υἱὸν τήν Ἀδριανοῦ καὶ τὰς ἄλλας πολίχνας ἔχειν, καὶ βασιλέα τὸν γαμβρὸν ἀδελφὸν ἡγεῖσθαι καὶ δεσπότην καὶ πᾶσαν εὔνοιαν ἀποδιδόναι καὶ τιμήν· μὴ μέντοι γε ἀνάγκην ἔχειν καὶ ἀνακρίνεσθαι ὑπ' αὐτοῦ πρὸς τὴν ἀρχὴν, ἀλλ' ὑπὸ μόνου τοῦ πατρός. οὕτω γὰρ εἶναι δίκαιον καὶ πρόφασιν οὐδεμίαν διαφορᾶς καὶ στάσεως παρέχον.

B λγ'. Τοιαῦτα μὲν ἥ τε βασιλὶς Εἰρήνη καὶ οἱ συνόντες ἐπετράπησαν περὶ τῶν υἱῶν. ἐπεὶ δὲ ἐγένοντο ἐν Διδυμο-

quid filiis contra, quam vellent, evenisset, facultas adimeretur. Iam vero coniugi et quos una mittebat, ceteras filiorum controversias, ubi ambo causam dixissent, componendi, prout Deus et prudentia suggererent, negotium dedit: ab se autem decreta et constituta moveri vetuit: sed ut iunior quidem imperator Didymotichum et alias urbes sibi attributas haberet faceretque, quod luberet, reliquarum nulli turbas cieret, sed imperio soceri, ut antehac, contineri sineret. Matthaeum, uxoris suae germanum, pro auctoritate imperatoria subiectum sibi et nihilo minus fratrem duceret, omnique illum, pro eo, ac deceret, amore benevolentiaque prosequeretur: nihil in eius administrationem inquireret, sed suos eum regere pro arbitratu pateretur: et hac sibi auctoritate ut parenti cederet, qui posset filios, si quid laberentur, corrigere. Matthaeus Adrianopolim et alias urbes obtineret, et generum imperatoris fratrem ac dominum agnosceret eique singularem benevolentiam et honorem impertiret. Non tamen necesse haberet illi, sed, quod ius postularet, parenti soli functionis rationem poscenti reddere: nec ullam liti ac seditioni occasionem daret.

33. Irene imperatrix et comites eius haec in mandatis super filiorum reconciliatione acceperunt. Quae cum Didymotichi exsequi

τείχῳ καὶ ἐπειρῶντο κατὰ τὰ διατεταγμένα ὑπὸ βασιλέως A. C. 1352 πράττειν, τἄλλα μὲν ἐπείθετο ὁ νέος βασιλεὺς, ἀπαιτούμενος δὲ καὶ γράμμασιν οἰκείοις τῷ γυναικὸς ἀδελφῷ πιστὸν C ποιεῖν, ὡς οὐδὲν οὐδέποτε αὐτῷ πρὸς τὴν ἀρχὴν παρενοχλήσει, οὐκ ἐπείθετο, τὰ μὲν ὑπὸ βασιλέως ὡρισμένα στέργειν φάμενος καὶ ἀντιλέγειν πρὸς μηδὲν, γράψειν δὲ μηδέν· οὐδὲν γὰρ δεῖν αὐτῷ γραμμάτων. βασιλὶς δὲ ἀντεῖπε μετὰ τῶν ἀρχιερέων, οὐ δίκαια φάμενοι ποιεῖν αὐτὸν, πρόφασιν ὑποψίας καὶ πολέμου παρέχοντα τῆς γυναικὸς τῷ ἀδελφῷ. βασιλεὺς δὲ, ἵνα αἵ τε προγεγενημέναι διαφοραὶ διαλυθῶσι, καὶ μηκέτι μηδεμία πρόφασις ᾖ πολέμου ἐν ὑμῖν, ἔπεμψεν ἡμᾶς, ᾧ δέον, ἔφασκον, πείθεσθαι καὶ σέ. οὐ μικρὰν γὰρ παρέξει ὑποψίαν τὸ μὴ γράμμασιν ἐθέλειν ἐπιβεβαιοῦν, ἀνεύ- D θυνον εἶναι παρὰ σοὶ τὴν ἀρχὴν τῷ ἀδελφῷ. βασιλεὺς δὲ τὰ ἴσα αὖθις εἶπε καὶ δῆλος ἦν οὐκ ἀρκεσθησόμενος τοῖς παροῦσι. βασιλὶς δὲ καὶ οἱ συνόντες ἐπεὶ μὴ πείθειν εἶχον, ἀνέστρεφον εἰς Βυζάντιον, μηδὲν περὶ ὧν ἧκον εἰργασμένοι, ἀπήγγελλόν τε βασιλεῖ, ὅσα βασιλεὺς ὁ νέος πρὸς αὐτοὺς διαλεχθείη. τῷ δ' εὐθὺς μὲν ἐδόκει τὰ παρόντα δεινῶν ἀρχὴ, καὶ ὑπώπτευεν ὑπὸ τῶν συνόντων ἐπὶ Ματθαῖον τὸν γυναικὸς ἀδελφὸν παροξυνθήσεσθαι τὸν νέον βασιλέα. ὅμως ἐδόκει δεῖν, ἐπεὶ καὶ τοῦ πρὸς Λατίνους ἀπήλλακτο πολέμου, αὐτὸν παραγενόμενον, πᾶσαν πρόφασιν πολέμου διαλύειν·

niterentur, cetera quidem non repugnavit iunior imperator; ubi vero ab eo postulatum est, ut etiam chirographo seu instrumento fratri uxoris fidem obligaret, nullam unquam ei molestiam propter gubernationem creaturum, non paruit dixitque, statuta ab imperatore seniore se quidem boni consulere, neque quidquam contradicere; nihil tamen scripturum: non enim sibi opus esse istiusmodi litteris. Hic imperatrix cum episcopis se opponere et affirmare, haud iuste agere materiamque suspicionis armorumque fratri uxoris praebere. Imperator enim, ut et praeteritum dissidium tolleretur et nullae posthac inter Romanos belli causae nascerentur, eos misisse, et ipsum obsequi debere: in magnam quippe suspicionem venturum, si scripto confirmare noluerit, imperium fratri uxoris apud se rationi reddundae non fore obnoxium. Imperator iunior persistere in responso: et apparebat iis, quae nunc haberet, contentum minime futurum. Imperatrix et socii cum perspicerent, se eorum nihil efficere, quorum gratia advenerant, Byzantium regressi, ad seniorem responsum retulerunt: qui statim hoc malorum esse prooemium censuit et eum a domesticis in Matthaeum inflammatum iri praesensit. Tamen visum est, bello cum Latinis iam profligato, eo iter suscipere armorumque semina funditus tollere. Iamque se, ut

A. C. 1352 καὶ παρεσκευάζετο, ὡς ἀφιξόμενος μετὰ μικρὸν εἰς Διδυμό-
P. 841 τειχον. ἐν τούτῳ δὲ οἱ τῷ νέῳ βασιλεῖ συνόντες καὶ μά-
λιστα οἱ τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ᾑρημένοι πρότερον
V. 671 παρώξυνον ἐπὶ τὸν πόλεμον τὸν νέον, οὐδὲν ἔργον εἶναι φά-
σκοντες τὴν πατρῴαν ἀνασώζεσθαι ἀρχὴν, ἀδίκως ὑπὸ Καν-
τακουζηνοῦ τοῦ βασιλέως ἀφῃρημένην, καὶ αὐτοῦ τε ἔχοντος
καὶ τὸν υἱὸν ἔφεδρον καθιστάντος. τὸ γὰρ ἀνυπεύθυνον αὐτῷ
παρέχειν τὴν ἀρχὴν τί ἄλλο εἶναι ἢ βασιλέα καὶ αὐτὸν ἐν
μέρει εἶναι; παρῄνουν τε μὴ τὸν ἀνταγωνιστὴν ἐᾷν αὔξάνε-
σθαι, ἀλλὰ καθαιρεῖν εὐθὺς ἐξαρχῆς. οἷς πειθόμενος φανερῶς
A. C. 1353 ἐξήνεγκε τὸν πόλεμον. αὐτίκα γὰρ ὅση ἦν ταῖς πόλεσιν, ὧν
B ἦρχε, στρατιὰν συνηθροικὼς, ἐπεστράτευσε ταῖς πόλεσι ταῖς βα-
σιλεῖ τῷ κηδεστῇ ὑποκειμέναις καὶ ὑπεποιήσατο οὐκ ὀλίγας,
πάντων προθύμως προσχωρούντων καὶ πρὸς τὴν μεταβολὴν
ἡδέως διατιθεμένων. μετὰ τοῦτο δὲ καὶ συμμαχίαν Περσι-
κὴν μεταπεμψάμενος τότε πρῶτον φρούριόν τι κατὰ τὴν Θρά-
κην Τζύμπην κατασχόντων προσαγορευόμενον, τῷ γυναικὸς
ἐπεστράτευσεν ἀδελφῷ, μηδεμίαν πρόφασιν παρεσχημένῳ
πρὸς τὸν πόλεμον, καὶ τάς τε πολίχνας εἷλε, πρότερον ὧν
ἦρχεν, ἑτοίμως προσχωρούσας, ἔπειτα καὶ τὴν Ἀδριανοῦ ἐλ-
θὼν, ἡδέως τοῦ δήμου ὑποδεχομένου καὶ πᾶσαν ἀνιέντος
εἴσοδον. Ματθαῖος δὲ ὁ τοῦ βασιλέως υἱὸς Νικηφόρον ἔχων
C σεβαστοκράτορα Καντακουζηνὸν τὸν θεῖον καὶ ἑτέρους τῶν
περὶ αὐτὸν ἀρίστους, τὴν ἄκραν ἐλθὼν κατέσχεν, (ἦν γαρ

7. καθιστῶντος P.

paulo post Didymotichum iturus, comparabat. Interea iunioris domestici ac familiares et ii praesertim, qui antea Cantacuzeni partes tuebantur, eum ad arma sollicitant: paternum imperium, quod Cantacuzenus nefarie ablatum sibi habeat, cuius insidiatorem captatoremque filium instituerit, haud laboriose recuperari posse: nam illi provinciam committere sic, ut referre rationes non cogatur, aliud nihil velle, quam ipsum quoque aliqua ex parte imperatorem esse: admonebantque, ne antagonistam corroborari sineret, sed a principio statim comprimeret. Quibus auscultans in bellum apertum erupit. Mox enim quidquid erat militum in urbibus, quas tenebat, contrahens et cum iis oppida soceri invadens, non pauca, omnibus ad eum libenter deficientibus et mutatione domini gaudentibus, suae potestatis fecit. Deinde et Persarum advocato auxilio, qui prius castellum quoddam Thraciae, Zympen nomine, occuparant, in coniugis suae fratrem prorsus insontem movit: ac prius urbes eius non invite se dedentes cepit, tum Adrianopolim venienti omnes portae a populo apertae sunt. Matthaeus Nicephorum Sebastocratorem Cantacuzenum patruum et alios quosdam optimates

πρότερον τά τε ἐπιτήδεια ἐνθέμενος καὶ τἄλλα ἐπεσκευασμένος καλῶς, ὡς μάλιστα ἐνῆν,) ἔπεμπέ τε καὶ πρὸς βασιλέα τὸν πατέρα τοὺς ὅτι δηλώσοντας ὑπὸ βασιλέως τοῦ γαμβροῦ πολιορκοῖτο. βασιλεὺς δὲ ὁ νέος ἐπεὶ τὴν πόλιν εἶχεν, ἄγων τὸν δῆμον καὶ τὴν ἑπομένην στρατιὰν, τὸν γυναικὸς ἀδελφὸν ἐπολιόρκει πρὸς τὴν ἄκραν καὶ τειχομαχίας ἐποιεῖτο καθημέραν καρτερωτάτας ἐκ διαδοχῆς. ἔσπευδε γὰρ πρὶν βασιλέα ἥκειν τὸν κηδεστὴν παραστήσασθαι τὴν ἄκραν. ἀνύειν δὲ ἠδύναντο οὐδὲν, τῶν ἔνδον εὐψύχως ἀμυνομένων καὶ πρὸς τὴν πολιορκίαν καρτερούντων. Ἀδριανουπολιτῶν δὲ ὁ δῆμος οὐ μόνον τειχομαχῶν ὁσημέραι λυπηρὸς τῷ βασιλέως ἦν υἱῷ, ἀλλὰ καὶ ἀποσκώπτων εἰς ἐκεῖνον καὶ πρὸς ὕβριν προσφερόμενος. ἔνιοι δὲ αὐτῶν, ὅσοι καὶ μάλιστα δύσνως εἶχον, καὶ πικρῶς ἐλοιδοροῦντο καὶ πρὸς ὕβρεις ἐξετρέποντο ἀνελευθέρους. Καντακουζηνὸς δὲ ὁ βασιλεὺς ἐπεὶ πύθοιτο πολιορκούμενον τὸν υἱὸν, καὶ πρότερον παρεσκευασμένος ὢν ἐπὶ τὴν ἔξοδον, ἐχώρει κατὰ τάχος ἐπὶ τὴν Ἀδριανοῦ, στρατιάν τε Ῥωμαίων ἄγων, οἷς μάλιστα ἐθάῤῥει, καὶ Περσικὴν ὀλίγην, ἣν Ὀρχάνης ὁ γαμβρὸς παρέσχετο αἰτήσαντι. ἐπὶ τούτοις δὲ καὶ λόχον ἐκ Κατελάνων, οἳ ὑπελείποντο ἐν Βυζαντίῳ ἀπὸ τῶν τριηρέων. βασιλεὺς δὲ ὁ νέος ἐπεὶ πύθοιτο βασιλέα οἱ ἐπιόντα τὸν κηδεστὴν, ἄλλως τε οὐκ ἀξιόμαχος ὢν, καὶ τῆς ἄκρας μάλιστα κατεχομένης, δείσας, μὴ αὐτόθεν ῥᾳδίως ἁλίσκοιτο ἡ πόλις, πρότερον ἡμέρᾳ μιᾷ καταλιπὼν, εἰς τὴν Τζερνομιά-

A. C. 1353

D

P. 842

secum habens, arcem, cui prius commeatum imposuerat, quamque, ut licuit, diligentissime communiverat, insedit, missoque ad patrem nuntio, se a genero ipsius obsidione vallari significavit. Imperator autem Palaeologus eam quotidie summa ope, succedentibus invicem militibus, oppugnabat. Maturabat enim, priusquam socer veniret, eam subigere. Verumtamen qui intus erant fortiter pro ea propugnantibus et obsidionem perferentibus, incassum laborabat. Populus Adrianopolitanus non solum assiduis oppugnationibus imperatoris filio instabat, sed et conviciis illum et dicteriis contumeliose appetebat. Quidam etiam in illum malevolentissimi acerbius ei et illiberalius maledicebant. Cantacuzenus ubi filium obsideri intellexit, iam ante ad iter paratus, Adrianopolim manum Romanorum, in quibus ei maxima fiducia, et Persas paucos, quos roganti Orchanes gener miserat, ac praeter hos cohortem ex Catalanis, qui ex triremibus Byzantii remanserant, secum habens accurrit. Palaeologus socerum adversus se infestum venire cognoscens, cum par ad pugnam non esset, et arx acerrime defenderetur, timeretque, ne protinus urbs occuparetur, pridie ea relicta, Zernomia-

A.C. 1353 νου ἧκε, καὶ κατέσχε, τοῦ ἄρχοντος παραδόντος. ἐκεῖθεν δὲ εἰς Διδυμότειχον ἀπεχώρει, τό,τε Περσικὸν καταλιπὼν ἐν τῇ Ἀδριανοῦ καὶ Ῥωμαίους οὐκ ὀλίγους φρουρεῖν τὴν πόλιν στρατιώτας. εἰς τὴν ὑστεραίαν δὲ Καντακουζηνὸς ὁ βασιλεὺς γενόμενος ἐν Ἀδριανοῦ, ἐπεὶ πύθοιτο βασιλέα τὸν γαμβρὸν ἀνακεχωρηκότα, πέμψας παρῄνει τοὺς πολίτας προσχωρεῖν αὐτῷ καὶ τὴν πόλιν παραδιδόναι. ὑφ' ὁρμῆς γὰρ ἀλόγου καὶ παραπληξίας ἀντισχήσειν οἰηθέντες πρὸς βασιλέα κατὰ σφᾶς, οἱ μὲν πρὸ τῶν πυλῶν ὡπλισμένοι ἀντιπαρετάττοντο, ἔχοντες
B καὶ Πέρσας τοὺς συμμάχους, ἐπὶ τῶν τειχῶν δὲ τὸ γυμνικόν. καὶ βασιλέως παραινοῦντος προσχωρεῖν, οὐ μόνον οὐκ ἐπείθοντο, ἀλλὰ καὶ ἦρχον μάχης χρώμενοι τοξείαις. ὁρῶν δὲ ὁ βασιλεὺς, ὡς ὅπλων χρεία πρὸς οὕτως ἀναισθητοῦντας, σύνθημα ἐδίδου μάχης τοῖς σφετέροις. καὶ αὐτίκα οἵ τε Κατελάνοι διὰ τῆς ἄκρας ἦσαν ἐντὸς τειχῶν, καὶ τὸ ἄλλο στρά-
V. 672 τευμα τοὺς ἔξω παρατεταγμένους ἐτρέψατο ἐπελθόν· καὶ ἡλίσκετο ἡ πόλις ἑκατέρωθεν. Πέρσαι δὲ οἱ σύμμαχοι ἐκείνοις, συνορῶντες ἤδη ἡττημένους, ὅσους οἷοίτε ἦσαν τῶν σφίσι συντεταγμένων, συναρπάσαντες, προσεχώρησαν βασιλεῖ. αὐ-
C τίκα δὲ καὶ οἱ μετὰ τοῦ βασιλέως ἐπιδραμόντες, εἷλον οὐ πολλούς· ἦσαν γὰρ ὀλίγοι καὶ αὐτοί. διεδίδρασκον δὲ καὶ Ἀδριανουπολιτῶν, ὅσοι μάλιστα κακῶς τὸν βασιλέως ἔλεγον υἱὸν πολιορκούμενον, δείσαντες, μὴ τῆς ἀγνωμοσύνης δῶσι δίκας. ὁ δῆμος δὲ οὐδ' οὕτω, καίπερ ἡττημένος καὶ κακοπρα-

19. προσεχώρουν M.

num abiens, a praefecto traditam obtinuit. Inde Didymotichum, Persis Adrianopoli, nec paucis Romanorum ad urbem custodiendam relictis, discessit. Die sequenti Cantacuzenus eo veniens, cum audisset, generum se proripuisse, per caduceatorem cives hortatus est, uti ad se transirent urbemque dederent. Nam ex impetu animi inconsiderato et vesania per se imperatorem ingressu prohibituros arbitrati, alii ante portas armati stabant dispertitis ordinibus, admixtis etiam Persis sociis: in muris autem sagittarii dispositi: et imperatore hortante, uti se dederent, tantum abest, ut parerent, ut et pugnam sagittis iaciendis ordirentur. Cernens imperator, adversus adeo stupidos armis opus esse, signum pugnae dat, confestimque Catalani per arcem intra moenia visuntur: quique adhuc foris erat exercitus, aciem, de qua diximus, adortus dissipat et in fugam vertit: ita urbs utrinque capitur. Tum Persae illorum socii, se iam victos adspicientes, quotquot ex acie secum rapere poterant, cum iis ad imperatorem se conferunt. Mox qui cum eo erant cursim insequentes, aliquot de ceteris (pauci enim erant) capiunt. Adrianopolitani quoque, quicunque eius filium maledictis incesse-

γήσας, ὑφῆκε τῆς πρὸς βασιλέα δυσμενείας, ἀλλ' ἔνδον γενό- A.C. 1353 μενοι τῆς πόλεως ὅσοι μὴ ἑάλωσαν, καὶ τὸν καρτερώτατον τῶν πύργων κατασχόντες, μίαν τε τῶν ἀγυιῶν δοκοῖς συμφράξαντες μεγάλαις, ἠμύνοντο ἑστῶτες ἐπιόντας τοὺς βασιλικούς. οἱ δ' ἐνίεσαν πῦρ κατὰ τῶν οἰκιῶν. καὶ σὺν πόνῳ οὐδενὶ περιεγίνοντο τῶν ἀντιτεταγμένων. τραπόμενοι γὰρ αὐτίκα οἱ μὲν ἐν ἀδύτοις κατεκρύπτοντο, οἱ δ' ἱκέτευον ἐν ἱεροῖς. ἡ στρατιὰ δὲ διεπόρθει τὰς οἰκίας καὶ διήρπασαν τὰ ὄντα. ἀπέθανε μέντοι κατ' ἐκείνην τὴν μάχην οὐδὲ εἷς, D τραυματίαι δὲ ἐγένοντό τινες. ἔπειτα ὡς ἤδη πάντα εἴχετο, τότε πῦρ ἐκέλευεν ὁ βασιλεὺς σβεννύναι καὶ ἀπέχεσθαι τῆς ἁρπαγῆς τοὺς στρατιώτας, καὶ τοὺς κυρίους τῶν οἰκιῶν τὰ ὑπολελειμμένα ἔχειν, καὶ μηδένα ἀδικεῖν. οἱ μέντοι ἀνδραποδισθέντες ὑπὸ τῶν βαρβάρων ἐν ὀλίγαις ἡμέραις ὑπὸ τῶν οἰκείων χρήμασιν ἐλύθησαν. οὐ γὰρ πᾶσα ἡ πόλις διηρπάσθη, οὐδὲ παντάπασιν, ἀλλ' ὅσον ἐν ἐπίπλοις ἦν καὶ σκεύεσι τοῖς κατὰ τὴν οἰκίαν· ἃ οἱ στρατιῶται αὖθις ἀπέδοντο εὐώνως τοῖς κυρίοις, καὶ μάλιστα οἱ Κατελάνοι, οἳ πλείω τε διήρπασαν τῶν ἄλλων καὶ ἄχρηστα αὐτοῖς ἡγοῦντο ξένοις οὖσι καὶ ἀοίκοις. μετὰ τοῦτο δὲ βασιλεὺς μὲν ὁ P. 843 Καντακουζηνὸς ἐν Ἀδριανοῦ τὰς προσχωρησάσας πρὸς βασιλέα τὸν νέον πόλεις ἐκάκου, πέμπων στρατιάν, ὅσαι μὴ ὑπ' ἐκείνου παρεδόθησαν. ἐκείναις γὰρ οὐκ ᾤετο δεῖν ἐπι-

4. μεγάλοις M. 9. οὐδεὶς M. mg. 20. ὁ add. M. ante βασιλεύς.

rant, diffugiunt, metuentes, ne scelus suum piarent. Porro populus, quanquam victus et miser, ne sic tamen a sua erga imperatorem malignitate temperat, sed intra urbem, quotquot non erant capti, firmissima turri occupata unaque platearum magnis trabibus obsepta, imperatorios ingruentes arcebant. Qui, malleolis in tecta coniectis, citra laborem adversarios vincebant. Illico namque in fugam conversi, alii se in latebras condebant, alii ad templa supplices confugiebant. Milites vero domos diripiebant ac diruebant. Ea pugna vulnerati sunt aliquot, nemo cecidit. Cum iam omnia tenerentur, imperator ignem restingui, milites a vi et direptionibus abstinere, et dominos aedium reliqua sibi retinere iussit. Capti a barbaris diebus paucis propinquorum pecunia redempti sunt: nec enim tota urbs, nec ubique direpta fuit, sed res familiaris duntaxat, quam milites patribus familias tolerabili pretio reddiderunt, et Catalani praesertim, qui et prae aliis multa rapuerant et sibi, ut peregrinis et absque lare, inutilia existimabant. His actis, imperator Cantacuzenus Adrianopoli manens urbes, quae ad Palaeologum imperatorem desciverant, quasque ei non addixerat, (illis enim parcendum, neque ad se revocandas putabat,) missis copiis,

A. C. 1353 στρατεύειν, οὐδ' ἀνακαλεῖσθαι παραδεδομέναις ὑπ' αὐτοῦ
πρὸς τὸν γαμβρόν. μάλιστα δ' ἐκάκωσε τὴν Τζερνομιάνου
καὶ ἐξεπίεσε λεηλασίαις, ἄχρις οὗ σφᾶς παρέδοσαν, καὶ τὴν
πόλιν ἐκτριβέντες. ἐκεῖνοι γὰρ ὑπ' ἀβουλίας καὶ ὁρμῆς ἐμ-
πλήκτου καὶ παραβόλου, μηδεμιᾶς ἀνάγκης οὔσης, οὐκ ἀπέ-
στησαν μόνον, ἀλλὰ καὶ γράμμασιν ἐδήλουν, ὡς οὔθ' ὑπεί-
κουσιν αὐτῷ, οὔτε βασιλέα οἴονται, ἀλλ' εἴ τι δύναιτο πρὸς
B αὐτοὺς, μηδενὸς καταμελεῖν. ἐφ' οἷς ὀργῇ φερόμενος, ἠμύ-
νατο ἀξίως τῆς παραφροσύνης. Διδυμοτείχῳ δὲ οὔτ' αὐτὸς
ἐπεστράτευσεν, οὔθ' ἑτέρῳ τρόπῳ δή τινι ἐκάκου τῷ βασιλέα
τὸν νέον μάλιστα φιλεῖν. καὶ τοῦ πολέμου γὰρ οὕτω λαμ-
πρῶς κεκινημένου, τοὺς μὲν ἐνάγοντας ἐν αἰτίαις ἦγε μάλιστα
καὶ τὰ πραττόμενα ἐκάκιζε, τῆς δὲ πρὸς βασιλέα τὸν γαμ-
βρὸν εὐνοίας οὐδὲν ὑφῆκεν ἄχρι τότε. βασιλεύς τε ὁ νέος
ὁμοίως οὐκ ἠμέλει, ἀλλὰ τάς τε προσεχούσας πόλεις βασι-
λεῖ τῷ κηδεστῇ ἐκάκου, καὶ πρὸς Κράλην πέμψας, ᾐτεῖτο
συμμαχίαν κατὰ τὰς συνθήκας. Κράλης δὲ ὑπέσχετο προ-
C θύμως, ἢν ὅμηρον αὐτῷ παράσχῃ τὸν ἀδελφὸν ὑπὲρ τῆς
στρατιᾶς. βασιλεὺς δὲ ἐκέλευεν αὐτίκα δεσπότην Μιχαὴλ
τὸν ἀδελφὸν πρὸς Κράλην ἥκειν ὁμηρεύσοντα. γενομένου δὲ
ἐκεῖ τοῦ βασιλέως ἀδελφοῦ, ἡ στρατιὰ ἐξεπέμφθη παρασκευ-
ασθεῖσα ἑπτακισχίλιοι ἱππεῖς, ὧν ἐστρατήγει Κασνιτζὸς ὁ
Μποριλοβίκης προσαγορευόμενος, ἐκ τῶν ἐπιφανεστάτων μά-
λιστα ὢν τῶν παρὰ Τριβαλοῖς. Ἀλέξανδρός τε ὁ τῶν Μυ-

22. οἱ add. M. ante ἑπτακισχίλιοι.

incursavit. Inprimis autem Zernomianenses populationibus infestavit, donec attriti se urbemque eius potestati traderent. Nam illi nulla impulsi necessitate, temeritate quadam, confidentia et insania non modo desciverant, sed litteris quoque nec se illi obtemperaturos, nec pro imperatore agnituros ostenderant. Si quid contra eos posset, ne omitteret. Quare ira percitus pro dementia in eos vindicavit. Didymotichum neque exercitum admovit, neque ullo maleficio nocuit, quod iuniorem imperatorem valde diligeret. Nam et bello tam manifesto consiliariis praecipue culpam tribuebat, et quod agebatur, non probabat. De propensione vero erga generum eo usque nihil diminuebat. Imperator iunior sibi quoque non deerat, sed urbes Cantacuzeni premebat et a Crale ex pacto auxilium petebat, qui nihil cunctatus promittebat, si obsidem sibi fratrem daret. Imperator sine mora Manuelem despotam ad Cralem pro obside proficisci iussit. Eo recepto, agmen instructum mittitur, equitum septem millia, quos Cosmitzus Borilobices, unus de nobilissimis Triballorum, ducebat. Alexander item, Moesorum rex, rogatus subsidium misit: semper enim ei suspectus erat Cantacuzenus,

σφῶν βασιλεὺς παρέσχετο συμμαχίαν πεπρεσβευκότι πρὸς αὐ- A. C. 1353 τόν. ἦν γὰρ ἀεὶ πρὸς βασιλέα τὸν Καντακουζηνὸν ἐν ὑποψίαις, ὅτι μὴ κωλύοι Πέρσας κατατρέχειν τὴν ἐκείνου γῆν. βασιλεύς τε ὁ Καντακουζηνὸς, ὅτι Μυσοὺς καὶ Τριβαλοὺς ὁ νέος αὐτῷ ἐπάγει βασιλεὺς, οὐκ ἀγνοῶν, μετεπέμπετο στρατιὰν ἐκ τῆς Ἀσίας Περσικὴν παρὰ Ὀρχάνη τοῦ γαμβροῦ. D οὕτω μὲν ἑκάτεροι μεγάλῃ παρασκευῇ ὥρμηντο ἀλλήλοις πο- V. 673 λεμεῖν. ἔτι δὲ τῆς συμμαχίδος στρατιᾶς βασιλεῖ τῷ νέῳ διαμελλούσης, ἐδόκει δεῖν πρὸς Αἶνον γενόμενον καὶ πρὸς τοὺς ἐκ Βενετίας συνθήκας θέμενόν τινας, εἰς Διδυμότειχον αὖθις ἐπανήκειν. μεταξὺ δὲ τὴν πρὸς Αἶνον διιόντι ἡ ἐκ Τριβαλῶν συνετύγχανε στρατιά· ἣν ἔπεμπεν εἰς Διδυμότειχον, τῶν περὶ αὐτὸν τοὺς ἐπιφανεστέρους μάλιστα συνεκπέμψας, καὶ τῆς στρατιᾶς τὸ πλεῖον ὡς αὐτοῖς συνδιατρίβοιεν, ἄχρις ἐπανήξει ἐκ τῆς Αἴνου.

λδ΄. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καὶ Κάλλιστος ὁ πα- P. 844 τριάρχης Κωνσταντινουπόλεως τὴν βασιλέων διαφορὰν ἐν δεινῷ τιθέμενος καὶ κοινὴν νομίζων Ῥωμαίων συμφορὰν, B ἀρχιερέων τε καὶ μοναχῶν τοὺς λογάδας ἔχων, εἰς Ἀδριανοῦ πρὸς βασιλέα ἧκε καὶ ἐδεῖτο καταλύειν τὸν πρὸς γαμβρὸν τὸν βασιλέα πόλεμον, ὡς πολλῶν Ῥωμαίοις αἴτιον ἐσόμενον κακῶν. βασιλεὺς δὲ ὁμοίαν ἔχειν ἐξαρχῆς ἄχρι νῦν περὶ πολέμου καὶ εἰρήνης γνώμην φάμενος, καὶ τὴν μὲν αἰτίαν ἡγεῖσθαι συμπάντων ἀγαθῶν, τὸν πόλεμον δ' ἅπαν τοὐναντίον, ἐξέπεμπεν εἰς Διδυμότειχον πρὸς βασιλέα τὸν νέον,

quasi Persae eius regnum incursare non prohiberet. Cantacuzenum contra se Moesos et Triballos adduci non fefellit: proinde et ipse ex Asia ab Orchane genero Persicum auxilium poposcit. Sic utrique apparatu ingenti in se belligerare constituerunt. Morantibus sociis, imperator iunior Aenum excurrendum, et pactis quibusdam initis cum Venetis, Didymotichum revertendum duxit. In via Triballorum ei copiae occurrunt, quas cum nobilioribus de comitatu suo et maiore parte militum, qui cum iis versarentur, donec Aeno rediret, Didymotichum misit.

34. Sub idem tempus Callistus, Patriarcha Constantinopolitanus, imperatorum discordia offensus et id communem Romanorum calamitatem interpretatus, cum episcopis et delectis monachis Adrianopolim imperatorem rogatum se confert, uti bello adversus generum tanquam multorum malorum seminario desisteret. Qui eandem ab initio usque ad illum diem fuisse mentem suam et de pace et bello respondens, et illam quidem se putare bonorum omnium, hoc vero miseriarum omnium radicem esse, Didymotichum eos ad

A. C. 1353 ὡς, ἢν ἐκεῖνος πείθηται, οὐδεμιᾶς ἐξ αὐτοῦ κωλύμης ἐσομέ-
C νης τῇ εἰρήνῃ. καὶ γενόμενος ὁ πατριάρχης ἐν Διδυμοτείχῳ, εὗρε βασιλέα τὸν νέον ἀπηρκότα εἰς τὴν Αἶνον, ἅμα δὲ παρῆσαν καὶ ἡ Τριβαλῶν στρατιὰ καὶ τῶν Μυσῶν· οὓς οἱ παρὰ βασιλέως πεμφθέντες ἄγοντες Ῥωμαῖοι ἐστρατοπέδευσαν παρὰ τὸν Ἕβρον, οὐ πόῤῥω πάνυ Διδυμοτείχου, οὐχ ἅμα, ἀλλ' ἰδίᾳ καὶ χωρίς· ἦν δὲ τὸ Μυσῶν στρατόπεδον μάλιστα ἐγγὺς Διδυμοτείχου. γνώμην δὲ εἶχον ὡς εἰς τὴν ὑστεραίαν σύμπαντες τῷ Ἐμπυθίου ἐπιστρατεύσοντες φρουρίῳ καὶ κακώσοντες ὡς μάλιστα φρουρᾷ ὑπὸ Καντακουζηνοῦ τοῦ βασιλέως κατεχόμενον. συμβέβηκε δὲ τῆς αὐτῆς ἡμέρας καὶ ἡ κατὰ συμμαχίαν στρατιὰ Περσῶν βασιλεῖ παρεσκεύαστο τῷ Καντακουζηνῷ, τὸν Ἑλλήσποντον διαβᾶ-
D σαν, παρὰ τὸν Ἕβρον ἐστρατοπεδεῦσθαι, καὶ αὐτὴν ἀγνοοῦσάν τε ὁμοίως, ὅτι πολεμίων ἐγγὺς στρατοπεδεύοιτο, καὶ ἀγνοουμένην. ἦσαν δὲ ἱππεῖς μυρίων οὐκ ἐλάσσους, ὧν ἐστρατήγει Σουλιμᾶν ὁ τῶν Ὀρχάνη πρεσβύτερος υἱός. γνώμην δὲ εἶχον καὶ αὐτοὶ ὡς ἐς τὴν ὑστεραίαν εἰς Ἀδριανοῦ πρὸς βασιλέα ἀφιξόμενοι. ἅμα δὲ ἕῳ οἵ τε Πέρσαι ἀπάραντες τοῦ στρατοπέδου, ἐβάδιζον ὡς ἐπὶ βασιλέα, καὶ οἱ Τριβαλοὶ καὶ Μυσοὶ μετὰ Ῥωμαίων τῶν ἀγόντων τὰ ὅπλα ἔχοντες ἐπὶ τὸ φρούριον ἐχώρουν, ἀθρόον τε καὶ ἀλλήλους τὰ στρατόπεδα ἑώρων. Μυσοὶ μὲν οὖν ἐτράποντο αὐτίκα πρὸς φυγὴν, οὐδὲ εἰς χεῖρας ὑπομείναντες ἐλθεῖν

5. βασιλέων M. mg. 22. καὶ om. P.

generum remisit, cui si persuasissent, a se quidem nullum paci impedimentum oriturum. Patriarcha eo veniens, generum Aenum profectum invenit, aderantque ex Triballis et Moesis auxilia, quae Romani ab imperatore iuniore missi ducentes, iuxta Hebrum non ita procul Didymoticho, distinctis castris, (ut Moesorum tamen essent urbi propinquissima) tendebant. Statuerant autem postridie simul omnes Empythium castellum, quod Cantacuzenus praesidio firmaverat, invadere et dare damnum maximum. Eodem die contigit, Persicum quoque auxilium Cantacuzeno destinatum, transmisso Hellesponto, ad Hebrum castrametari ac nescire, hostem prope tendere, vicissimque ab eo nesciri. Erant equitum non minus dena millia, duce Sulimano, Orchanis filio seniore, qui et ipsi sequenti lumine Adrianopolim ad imperatorem pergere cogitabant. Diluculo et illi castris digressi, ad imperatorem ire contendebant: et Triballi ac Moesi eum Romanis, a quibus ducebantur, armati versus castellum incedebant, cum repente mutuo se ambo exercitus conspiciunt. Extemplo Moesi congressum cum hostibus extimescentes, Didymotichum trepidi petunt, magnas fugae habentes gratias, cuius bene-

τοῖς πολεμίοις, καὶ διεσώζοντο εἰς Διδυμότειχον, τῇ φυ- A.C. 1353
γῇ πολλὴν ὁμολογοῦντες χάριν, ᾗ διέσωσε· Τριβαλοὶ δὲ V. 674
ὑπέμειναν ἐπιόντας τοὺς βαρβάρους μετὰ Ῥωμαίων τῶν P. 845
συνόντων· ὀλίγα δὲ ἀντισχόντες πρὸς πλείους καὶ βελτί-
ους, ἡττῶντο κατακράτος, ἀπειρίᾳ δὲ τῶν τόπων, ἅμα
δὲ καὶ ὑπὸ τῶν πολεμίων θορυβηθέντες, οὐ τὴν πρὸς Διδυ-
μότειχον ἐτράποντο, (ᾗ γὰρ ἂν οὐκ ὀλίγοι διεσώζοντο,)
διασκεδασθέντες δὲ ἐπὶ τὴν παρακειμένην τῷ Ἕβρῳ πε-
διάδα, πλὴν ὀλίγων ἅπαντες ἀπώλοντο. ἐπὶ πεδία γὰρ τρα-
πόμενοι βαθέα καὶ γυμνὰ καὶ οὐδεμίαν ἔχοντα καταφυγὴν
καὶ ἵπποις φαυλοτάτοις χρώμενοι, οἱ μὲν ἔθνησκον, οἱ δ'
ἡλίσκοντο, ὑπὸ τῶν βαρβάρων καταλαμβανόμενοι. ἐκ δια-
μέτρου γὰρ οἱ τῶν βαρβάρων ἵπποι τοῖς ἐκείνων θέειν τέ
εἰσι ταχύτατοι καὶ πρὸς πόνους ἐξησκημένοι. Κασνιτζὸς δὲ B
ὁ στρατηγὸς μετά τινων εὐαριθμήτων ἠδυνήθη διαδρᾶναι,
τῶν ἄλλων ἁπάντων τῶν μὲν πεσόντων, τῶν δ' ἑαλωκότων.
Ῥωμαίων δὲ οἱ μὲν ἐπιφανέστεροι πολλὴν ἀνδραγαθίαν
καὶ ἀρετὴν κατὰ τὴν μάχην ἐπιδεδειγμένοι, πάντες ἑάλωσαν,
τῶν βαρβάρων περισχόντων, στρατιωτῶν δὲ ἔπεσον μέν τινες
καὶ ἑάλωσαν ὀλίγοι, οἱ πλείους δὲ διεσώθησαν εἰς Διδυμό-
τειχον. ἡ μὲν οὖν βασιλέως τοῦ νέου συμμαχία οὕτω διε-
φθάρη· ὃ καὶ μάλιστα ἐλύπησε καὶ διέφθειρε τὰ πράγματα
αὐτοῦ. οἱ βάρβαροι δὲ μετὰ τὴν νίκην τάς τε σκηνὰς τῶν
πολεμίων καὶ τοὺς αἰχμαλώτους ἔχοντες καὶ ὅπλων καὶ ἵπ- C

17. Ῥωμαῖοι M. mg.

ficio evasissent. Triballi cum Romanis Persarum impetum excepe-runt, sed paululum pluribus ac fortioribus resistentes, eorum virtuti cesserunt, inscitiaque locorum et simul hostium terrore concussi, non ea, qua Didymotichum via ducit, fugerunt: certe enim non pauci evadere potuissent: sed per adiacentem Hebro planitiem palabundi, praeter paucos omnes perierunt. Per campum quippe latum, arboribus ac silvis nudum, ubi nullum perfugium, in equis strigosissimis fugientes, hi quidem occidebantur, illi comprehensi captivi trahebantur. Persarum siquidem equi e diametro contrarii et ad cursum celerrimi et ad laborem exercitatissimi sunt. Cosmitzus dux cum paucis effugit: ceteri omnes partim concisi sunt, partim vivi in potestatem venerunt. In certamine porro illo Romanorum nobilium eximia virtus enituit, qui omnes a barbaris circumdati captique sunt: gregariorum aliquot interfecti, nonnulli capti: pars maior Didymotichum incolumis pervenit. Tam infelicem exitum iunioris imperatoris auxilia habuerunt: quod illi summae aegritudini fuit et res eius funditus conquassavit. Barbari secundum victoriam cum direptis hostium tentoriis, captivis et armorum eque-

A. C. 1353 πων πλῆθος, ἧκον εἰς Ἀδριανοῦ πρὸς βασιλέα· καί τινας
ἐκεῖ συνδιατρίψαντες ἡμέρας, ἔπειτα ἐνέβαλον εἰς τὴν Μυ-
σίαν κατὰ σφᾶς αὐτοὶ καὶ ἐκάκωσαν οὐ μέτριά τινα, ἔχον-
τες δὲ τὴν λείαν ἐπανῆσαν εἰς τὴν οἰκείαν. ἐπανιοῦσι δὲ
διὰ τῆς Θρᾴκης, ἐπεὶ καὶ βασιλεὺς ὁ νέος ἐκ τῆς Αἴνου
ἐπανῆκε μετὰ τῶν συμμάχων τὴν φθορὰν, πρέσβεις ἔπεμπε
πρὸς Σουλιμὰν τὸν σατράπην καὶ καταλλάττειν ἐπεχείρει
ἑαυτῷ, δῶρά τε παρέχων καὶ λόγοις ὑποποιούμενος προση-
νέσιν, ἔπεμπε δὲ αὐτῷ καὶ γράμματα, ἐν οἷς δεῆσαν καὶ
Καντακουζηνοῦ τοῦ βασιλέως ἐπιμνησθῆναι, οὐ βασιλέα
D προσηγόρευεν, ἀλλὰ Καντακουζηνὸν ἁπλῶς χωρίς τινος προσ-
θήκης. ὁ μέντοι βάρβαρος τὴν μὲν πρεσβείαν ἐδόκει δέ-
χεσθαι ἡδέως καὶ δῶρά τε ἀντέπεμπε καὶ συνοήσειν ἐπηγ-
γέλλετο ἑξῆς, τὰ δὲ γράμματα πρὸς Καντακουζηνὸν τὸν βα-
σιλέα ἔπεμπεν, ὥσπερεὶ πολλὴν ἀγνωμοσύνην τοῦ νέου βα-
σιλέως κατεγνωκώς. οἱ μὲν οὖν βάρβαροι αὖθις εἰς Ἀσίαν
ᾖσαν. πατριάρχης δὲ ὁ Κάλλιστος πολλὰ περὶ εἰρήνης βα-
σιλεῖ τῷ νέῳ διαλεχθεὶς, ἐπεὶ μηδὲν ἀνύειν τῶν δεόντων
εἶχε, τῶν περὶ βασιλέα οὐκ ἐώντων, ἀλλ' ἐξορμώντων μᾶλ-
λον βασιλέα πρὸς τὸν πόλεμον καὶ μηδὲν ἀγεννὲς ὑπομένειν
παραινούντων διὰ τὴν κακοπραγίαν, ἀλλ' ἔχεσθαι τῶν προ-
τέρων λογισμῶν, ὡς κρείττω πάντως ἐσόμενον τῶν πολεμίων
P. 846 καὶ τὴν ἀρχὴν ἀνασωσόμενον, ἀνέστρεφεν εἰς τὴν Ἀδριανοῦ
πρὸς βασιλέα καὶ τῶν ἀνδρῶν ἀπήγγελλε τὴν μοχθηρίαν,

4. οἰκίαν P. 5. καὶ om. P. 9. δὲ post ἔπεμπε om. M.
15. ὡς περὶ M.

rumque multitudine Adrianopolim ad imperatorem veniunt: ubi positis aliquot diebus, in Moesiam sponte irrumpunt, nec mediocri vastatione agris illata, in Asiam cum praeda revertuntur. Cum per Thraciam redirent, iunior imperator post sociorum miserabilem casum Aeno reversus, legatos ad Sulimanum satrapam mittens, eum donis et litteris blande scriptis sibi conciliare atque ad suam auctoritatem traducere studuit. In quibus litteris cum et Cantacuzeni meminisse oporteret, non imperatorem, sed absque ullo adiuncto nude Cantacuzenum appellabat. Barbarus, legatis benigne auditis, munera remisit ac de cetero illi fauturum recepit. Deinde easdem litteras, iniquitatem magnam Palaeologi admiratus, ad Cantacuzenum portandas curavit. Iam barbari rursus in Asia erant et Callistus Patriarcha cum iuniore imperatore multa de pace locutus, postquam nihil aequum impetravit, optimatibus eius impedientibus et ad bellum potius eum acuentibus hortantibusque, ne quid ob acceptam calamitatem humile et abiectum admitteret, sed prioribus cogitatis insisteret, futurus omnino hostibus superior et imperium recupera-

ὅτι τῆς ἰδίας ὠφελείας ἕνεκα, ὡς ᾤοντο, προὐδίδοσαν τὰ A.C. 1353
κοινῇ λυσιτελοῦντα καὶ τὸν πόλεμον παρώξυνον. βασιλεὺς
δὲ ὁ Καντακουζηνὸς ἠνιᾶτο μὲν, αὐξανόμενον ὁρῶν τὸν πό-
λεμον, καὶ τοὺς κωλύοντας τὴν εἰρήνην ἐν αἰτίαις ἐποιεῖτο,
ὡς πολλῶν αὖθις δυστυχημάτων πεῖραν ἐπάγοντας Ῥωμαίοις·
μήπω δὲ πρὸς τὴν εἰρήνην ἀπηγορευκὼς, τόν τε ἀνεψιὸν αὖ-
θις Μανουὴλ τὸν Καντακουζηνὸν καὶ Μητροφάνην τὸν ἐπί-
σκοπον Μελενίκου πρὸς βασιλέα τὸν νέον πρέσβεις ἔπεμπε,
καὶ τὸν πόλεμον παρῄνει καταλύειν τοῦ νεωτερίζειν ἀποστάντα.
τῶν συνόντων δὲ φανερῶς ἐναντιωθέντων καὶ ἀπειπαμένων
τὴν εἰρήνην, ἐπεὶ οἱ πρέσβεις ἐπανῆκον ἄπρακτοι, καὶ βασι- B
λεὺς ὁ Καντακουζηνὸς οὐκέτι ἔμελλεν, ἀλλὰ τὰς ἀποστάσας
ἐκάκου πόλεις, μάλιστα δὲ Μόῤῥαν καὶ τὰς ἄλλας τὰς κατὰ V.675
τὴν Ῥοδόπην Ῥωμαίοις ὑπηκόους. αἱ πλείους γὰρ τῷ νέῳ
προσεχώρουν βασιλεῖ. ἔπειτα καὶ πρὸς τὴν Χαλκιδικὴν πέμ-
ψας στρατιὰν, ἐκέλευε κατατρέχειν, αὐτοὺς μὲν οὐ βουλό-
μενος κακοῦν, (οὐ γὰρ ἠξίου τοὺς ὑπ' αὐτοῦ πρὸς βασιλέα
τὸν νέον παραδεδομένους ἑκοντὶ κατατρίβειν, ὡς ἠγνωμονη-
κότας,) ἀλλ' οἱ ἐν Μόῤῥᾳ τοῦτο μὲν διὰ τὸν πόλεμον ὅμο-
ρον αὐτοῖς ὄντα, τοῦτο δ' ὅτι καὶ ἡ Χαλκιδέων βοσκήμασι
διαχειμάζειν μᾶλλον ἐπιτηδειοτέρα διά τε τὴν ἀλέαν καὶ τὸ C
τροφὴν παρέχειν ἄφθονον, βοσκήματα ἐκεῖ πολλὰ καταγα-
γόντες, ἠνάγκασαν βασιλέα πέμπειν ἐπ' ἐκείνους στρατιάν·

1. καὶ add. M. ante ὡς. 15. Καλχηδικὴν P. et infra Καλχηδέων.

turus, ad Cantacuzenum Adrianopolim reveniens, hominum illorum perversitatem accusavit, qui sui quaestus causa, quem sperabant, communia emolumenta proderent belloque faces subiicerent. Ille bellum cernens augescere, moestitiam capiebat et pacis adversarios, ut Romanis de integro plurimarum miseriarum auctores, sceleris condemnabat. Verumtamen spe pacis nondum deposita, denuo Manuelem Cantacuzenum patruelem et Metrophanem, Melenici episcopum, ad iuniorem legat, admonens, uti rebus novis supersedens a bello facessat. Consiliariis autem aperte refragantibus pacemque repudiantibus, ut legati inanes reverterunt, Cantacuzenus non amplius cunctatus, desertrices civitates, Morrham praesertim et alias Rhodopeias Romanis subiectas (plures enim se iuniori dediderant) molestiis atque damnis afficere aggressus est. Postea missis cohortibus, Chalcidicen infestam habere iussit, non ipsos quidem incolas laedere cupiens, (haud enim iustum putabat, quos ipse iuniori volens tradidisset, iis, quasi offendissent, incommodare,) sed quia Morrhenses, qui partim propter vicinitatem belli, partim quod regio illa hiberno tempore propter apricationem et pabuli ubertatem suppeditandam pecori aptior esset, magnam vim eo egerant, ita facere

A. C. 1353 οἳ καὶ καταδραμόντες πρὸς τοῖς ξένοις ἐκάκωσαν καὶ τοὺς ἐγχωρίους οὐκ ὀλίγα. διακρίνειν γὰρ οὐδὲ βουλομένοις μάλιστα ἐξῆν. Διδυμότειχον δὲ κακοῦν οὐκ εἴα διὰ βασιλέα τὸν γαμβρόν. οἱ μὲν οὖν κατὰ Μόῤῥαν πλεῖστα κακωθέντες καὶ πιεσθέντες ὑπὸ τοῦ πολέμου αὖθις προσεχώρουν βασιλεῖ τῷ Καντακουζηνῷ, βασιλεὺς δὲ ὁ νέος, ὁρῶν ὑποῤῥέουσαν αὐτῷ τὴν δύναμιν καὶ τὰ πράγματα χωρήσαντα ὀπίσω, πέμψας πρὸς βασιλέα τὸν κηδεστὴν διελέγετο περὶ εἰρήνης καὶ ἐδεῖτο τὸν πόλεμον καταθέσθαι ἔχοντας, ἃ ἔχουσιν, D ἑκάτερον. ὁ δὲ τὴν μὲν εἰρήνην περιπλείστου μάλιστα ἔλεγε ποιεῖσθαι, καὶ μηδὲν εἶναι μήτε φίλον μᾶλλον, μήτε σπουδαιότερον, καὶ ταῦτα οὐχ ἁπλῶς πρὸς ὁμοφύλους ἐσομένης, ἀλλὰ πρὸς τοὺς φιλτάτους· δέον μέντοι καὶ διὰ τὴν ἐμπειρίαν τὴν ἐν τοῖς πράγμασι καὶ τὸ πατέρα εἶναι πρόνοιαν αὐτὸν ποιήσασθαι, μὴ τοῖς ἴσοις πάλιν τὸν υἱὸν περιπεσεῖν, ἀλλὰ τῆς στάσεως περιελεῖν τὰς αἰτίας καὶ τῶν νεωτερισμῶν. οὐδὲ γὰρ εἴ τις ὁρῶν τὸν παῖδα περὶ μέθας καὶ κύβους καὶ τοιαύτην ἐξώλειαν ἠσχολημένον, χρημάτων κύριον ποιῶν καὶ φαύλοις ἀνθρώποις καὶ μεθύουσι συνεῖναι ἐπιτρέπων, ἢ περὶ θήρας ἐπτοημένον ἀκρατῶς καὶ πάντα χρήματα ἑνὸς τούτου προϊέμενον, εἰ κύνας παρείχετο θηρευτικὰς καὶ P. 847 ἵππους, νοῦν ἂν ἔχοντα ἐδόκει πράττειν. διὰ ταῦτα δὴ τῶν μὲν πόλεων, ἃς πρότερον αὐτὸς παρέσχετο, παραχωρεῖν καὶ αὐτοῦ Διδυμοτείχου· τῶν μέντοι συνόντων αὐτῷ Ῥωμαίων

11. καὶ om. P.

cogerent. Incursantes igitur ea loca milites, praeter Morrhaeos indigenas quoque, (quoniam, etsi maxime vellent, eos internoscere ac discernere non poterant,) avariter depraedati sunt. Didymoticho propter generum noceri vetuit. Morrhaei itaque armis vehementer agitati vexatique, ad fidem et auctoritatem Cantacuzeni redierunt. Gener animadvertens, copias suas paulatim diffluere et res retro sublabi, pacem ab socero per legatos petit, cum eo, ut utrique sua maneant. Respondet ille, pacem se aestimare longe plurimi, neque aliud quidquam acceptius, neque optabilius sibi esse et praesertim pacem cum carissimis. Debere enim experientia doctum et quia pater sit, providere, ne filius pristinis involvatur malis, causasque factionum ac novitatis tollere. Neque enim si quis filium in poculis et alea et huiusmodi pessimis rebus tempus conterentem et cum ebriosis ac vitiosis consuescentem aut venationibus deditissimum et argentum omne huius unius rei gratia prodigentem cerneret, ut canes ad venandum et equos compararet, adhuc eum heredem bonorum suorum scriberet, secundum rationem agere videretur. Quocirca se illi urbibus ante collatis atque etiam Didymoticho cedere:

τοὺς ἐπιφανεστέρους, οὓς μὴ αὐτὸς ἑκοντὶ παρέσχετο συνεῖναι, ἄντ' ἐν Διδυμοτείχῳ ἢ ἄλλοθί που τὰς οἰκίας ἔχωσι, τούτους δὲ μὴ συνεῖναι ἐφιέναι, ἀλλ' αὐτῷ δουλεύειν, ὥσπερ καὶ πρότερον, ἵνα μὴ αὐτῷ πολέμων αὖθις καὶ νεωτερισμῶν αἴτιοι ὀφθῶσι. δέον μέντοι μηδ' ἐκείνους μηδὲν ὑποπτεύειν πείσεσθαι δεινὸν διὰ τὴν ἀποστασίαν. οὐ γὰρ ὥστε ἀμύνασθαι αὐτοὺς βούλεσθαι ὑπάγειν ἑαυτῷ, ἀλλὰ μὴ πρὸς τὰ βελτίω ἐναντιουμένους ἔχειν. ἐπηγγέλλετό τε πάντάπασιν ἀμνηστήσειν τῶν προϋπηργμένων. ὁ μὲν οὖν νέος βασιλεὺς ἕτοιμος πάντα ἦν ποιεῖν, ὅσα παραινοίη βασιλεὺς ὁ κηδεστὴς καὶ χωρεῖν πρὸς τὴν εἰρήνην· οἱ στασιασταὶ δὲ οὐκ εἴων, ἀλλ' ἐκώλυον πάσῃ δυνάμει καὶ μᾶλλον ἔχεσθαι παρῄνουν τοῦ πολέμου, εἰδότες, ὡς, ἂν ὑπὸ βασιλέα γένωνται τὸν Καντακουζηνόν, οὐκέτι χώραν ἕξουσι στασιάζειν καὶ νεώτερα κινεῖν, ἐξ ὧν τὸ κοινὸν μὲν διαφθαρήσεται Ῥωμαίων, αὐτοὶ δὲ ὠφεληθήσονται ὀλίγα. ἐπεὶ δὲ οὐ προὐχώρουν αἱ συμβάσεις περὶ τῆς εἰρήνης, σφοδρότερον βασιλεὺς ὁ Καντακουζηνὸς ἐπηνέχθη τοῖς περὶ τὸν νέον βασιλέα, ὥστε μηδὲ δυνηθῆναι ἀντισχεῖν. Διδυμότειχον γὰρ καταλιπὼν καὶ τὰς ἄλλας πόλεις, ἃς εἶχεν, ἐκ τῆς Αἴνου πρὸς Τένεδον ἐπεραιώθη. συνείπετο δὲ αὐτῷ καὶ βασιλὶς Ἑλένη ἡ γυνή, Μανουὴλ τὸν νεώτερον τῶν παίδων ἔχουσα, μεῖζον εὐτύχημα, ἄν τις εἴποι δικαίως, ἢ καθ' ὅσον ἐδόκει κακοπραγεῖν ἐν τῷ

A. C. 1353 | B | C

7. ἀμύνεσθαι P.

Romanos autem proceres, qui ei adsint, quos ipse suopte nutu ei non adiunxerit, sive Didymotichi, sive alibi domicilia habeant, velle ab illo distractos, sibi, ut antea, subesse, ut ne illum iterum ad bellum ac res novas impellant. Nec formidandum ipsis, ne hanc defectionem graviore mulcta expient. Haud enim ideo sibi subiectos cupere, ut eos plectat, sed ne optimorum suorum consiliorum dissuasores et oppugnatores patiatur: promittebatque praeterita oblivione obruturum. Iunior ad parendum soceri monitis pacemque componendam paratissimus cum esset, seditiosi illi ungulis omnibus negotium distinebant et ad bellum capessendum magis incitabant, quod sub Cantacuzeno res novas audendi et seditiones conflandi cum pernicie Romanae rei publicae et exiguo ipsorum fructu non amplius facultatem habituros sese intelligerent. Pace non procedente, Cantacuzenus ei importunius incubuit, ut se tueri non posset. Quamobrem Didymoticho ceterisque urbibus suis relictis, Aeno Tenedum traiecit. Sequebatur uxor Helena cum Manuele, iuniore filio, maior felicitas, ut quispiam merito dixerit, quam videbatur bello tolerata miseria. Neque enim per id tempus modo, sed alias quoque semper in omnibus utilem se illi atque commodam praebuit, et convenienter primo feminarum plasmati adiutorium ei per cuncta

A. C. 1353 πολέμῳ. πάντα γὰρ ἑαυτὴν παρέσχετο τῷ ἀνδρὶ λυσιτελοῦ-
V. 676 σαν, οὐ παρὰ τὸν τοῦ πολέμου μόνον χρόνον, ἀλλὰ καὶ πάντα τὸν ἐπίλοιπον, καὶ κατὰ τὴν πρώτην πλάσιν βοηθὸς ἐν πᾶσι τῷ ἀνδρὶ ἐγένετο, τήν τε φυγὴν συνδιαφέρουσα ἀλύπως καὶ πάντα ὑπομένειν ὑπὲρ ἐκείνου οὖσα παρεσκευασμένη διὰ φιλανδρίαν. ἐφιλονείκησε γὰρ οὐ τὰς οὔσας μόνον, ἀλλὰ καὶ τὰς ἐπί τισι πλεονεκτήμασι πάλαι ὑμνουμένας ὑφ' ἓν ἁπάσας παρελάσαι, φρόνημα μὲν γενναῖον ἐν πᾶσι καὶ παράστημα ψυχῆς εὐγενοῦς ἐπιδεικνυμένη, συνέσει δὲ καὶ ἀγχινοίᾳ οὐ
D τῶν γυναικῶν τὰς πρώτας μόνον, ἀλλὰ καὶ ἀνδρῶν τοὺς διὰ ταῦτα θαυμαζομένους παριοῦσα. ἀτυφίας μέντοι καὶ μετριότητος καὶ γυναιξὶν αἰδοῦς πρεπούσης καὶ τῆς εἰς πάντα τὰ καλὰ ἐπιβολῆς καὶ εὐφυΐας καὶ τῆς ἐπιφαινομένης καὶ διὰ τῶν λόγων καὶ τῶν ἔργων κοσμιότητος, οὐδεὶς οὕτω φθονερὸς, οὐδ' ἀπείρατος καλῶν, ὅστις ἢ παντάπασιν ἂν ἕλοιτο συγκρύπτειν, ἢ μεθ' ἁπάσης μὴ μεμνῆσθαι τῆς ὑπερβολῆς. μέγιστον δὲ ἁπάντων, ὅτι λαμπρότητα τοιαύτην βίου ἐπανῃρημένη καὶ ὥσπερ νόμους θείσῃ ἑαυτῇ οὔτε χρόνος,
P. 848 οὔθ' ἕτερον οὐδὲν ἤμβλυνε τὴν προθυμίαν, μᾶλλον δὲ, εἰ δεῖ τι καὶ καινότερον εἰπεῖν, καὶ συναυξανομένην ἔχει τῷ βίῳ καὶ συμπροϊοῦσαν. ταῦτα μὲν οὖν ἐκ πολλῶν ὀλίγα τῶν Ἑλένῃ προσόντων ἀγαθῶν τῇ βασιλίδι· οὐ γὰρ εὐφημεῖν ἐκείνην προειλόμεθα, ἀλλ' ἵν' εἰδῶμεν, οἷον ἀγαθὸν καὶ ἐν τοῖς καθ' ἡμᾶς ἡ φύσις ἠδυνήθη χρόνοις ἐνεγκεῖν.

7. ὑφ' ἕνα P. 12. αἰδῶ M. mg. 21. ἐκ om. P.

fuit, fugam cum illo sine molestia perferens et parata mariti amore perpeti omnia. Contendebat siquidem non suae tantum aetatis, sed etiam propter praestantes quasdam excellentias olim commendatas mulieres simul omnes anteire, excelsas semper cogitationes et generosi animi robur prae se ferens. Prudentia vero solertiaque non primarias tantummodo mulieres, sed viros quoque his ornamentis conspicuos praetergrediebatur. Animum porro eius ab omni fastu alienum moderationemque et decoram illi sexui verecundiam omnisque honestatis curam amoremque et excellens ingenium et in verbis factisque elucentem modestiam, nemo tam est invidus, qui vel omnino silere, vel non magnificentissime praedicare velit. Quod autem maximum est omnium, cum vitam moresque tam splendidos suscepisset ac veluti leges sibimet posuisset, nec diuturnitas, nec aliud quidquam eius alacritatem imminuit ac retardavit. Quam, ut inusitatius aliquid dicamus, coaevam et una cum annis suis propagatam possidet. Haec sunt Helenae imperatricis decora, pauca de multis: non enim illius encomium consulto instituimus, sed ut sciremus, quale bonum etiam hoc nostro saeculo natura producere potuerit.

λε΄. Τότε δὲ τοῦ νέου βασιλέως ἐκ τῆς Αἴνου πρὸς Τένεδον τὴν νῆσον περαιωθέντος, αἱ ὑπ' ἐκείνῳ τελοῦσαι πόλεις πᾶσαι προσεχώρουν βασιλεῖ τῷ Καντακουζηνῷ, ἃς καὶ καθίστη περιιὼν, καὶ ἄρχοντας ἐφίστη τοὺς δοκοῦντας μάλιστα αὐτῷ προσέχειν. βασιλεὺς δὲ ὁ νέος τριήρη μίαν ἐφοπλίσας καὶ μονήρεις οὐ πολλὰς, ἐπὶ Βυζάντιον ἀφῖκτο, πολλὴν πρόνοιαν ποιούμενος ἀγνοηθῆναι. ἤλπιζε γὰρ, εἰ μόνον πύθοιντο οἱ φίλοι ἥκοντα, εἰσδέξεσθαι τῇ πόλει, πείσαντες τὸν δῆμον. ἦσαν γὰρ οὐ Βυζαντίου μόνον, ἀλλὰ καὶ τῶν ἄλλων πόλεων οἱ δῆμοι μάλιστα πρὸς τὸν νέον βασιλέα εὔνως ἔχοντες. ἡ μὲν οὖν ἐκείνου ἔφοδος ἠγγέλλετο περὶ ὄρθρον, καὶ θροῦς κατὰ τὴν πόλιν ἤρτο καὶ τάραχος οὐκ ὀλίγος. Εἰρήνη δὲ ἡ βασιλὶς οὐδενὸς ἠμέλει τῶν δεόντων, ἀλλ' αὐτίκα τῶν τε συγγενῶν καὶ φίλων τοὺς πιστοτάτους καὶ τοὺς σφίσι μάλιστα προσέχοντας μεταπεμψαμένη, ἐπέτρεπε τὴν φυλακὴν τῆς πόλεως, ἐκέλευέ τε μετὰ τῆς στρατιᾶς περιιόντας δεδίττεσθαι τὸν δῆμον καὶ πᾶσαν εἴσοδον ἀπείργειν τῷ νέῳ βασιλεῖ. οἱ μὲν οὖν ἐποίουν κατὰ τὰ κεκελευσμένα, καὶ οἱ τῷ νέῳ βασιλεῖ προσέχοντες οὐδὲν ἐνεωτέριζον, δείσαντες τὸν κίνδυνον, ἀλλὰ συμπεριῄεσαν καὶ αὐτοὶ τοῖς ἄλλοις καὶ παρείχοντο προθυμοτάτους ἑαυτοὺς πρὸς τῆς πόλεως τὴν φυλακὴν ἕνεκα τοῦ μὴ ὑποπτευθῆναι. βασιλεὺς δὲ ὁ νέος ἐπειδὴ τῶν ἐλπίδων διημάρτανε, κύκλῳ τὴν πόλιν περιπλεύσας, ἔπειτα ἐγγὺς Γαλατᾶ ἀντικρὺ προσέσχε

A. C. 1353 B C D V. 677

35. Posteaquam iunior imperator in Tenedum insulam navigavit, universa illius oppida in Cantacuzeni ditionem ultro abierunt: quae ille obediens, eorum statum in melius formabat et praefectos, qui sibi obsequentissimi viderentur, declarabat. Iunior una triremi instructa et paucis uniremibus Byzantium devenit deditque operam diligenter, ne id ignoraretur. Sperabat enim, si de adventu suo amici audissent modo, populo persuaso, in urbem se intromissuros, quando non solum Byzantii, verum et aliarum urbium incolae mirifice in illum propendebant. Eius accessu in urbem mane nuntiato, non modice tumultuatum est. Tum Irene imperatrix necessitati consulere, ac protinus cognatorum amicorumque fidelissimos et sibi inprimis obtemperantes accersere, eis custodiam urbis mandare et praecipere, corona militum stipati circumirent, populum deterrerent, iuniorem imperatorem omni aditu excluderent. Illi iussa peragunt. Iunioris studiosi periculi metu novi nihil audent, sed una cum aliis circumeunt, ut suspicionem elabantur, se ipsos ad urbem custodiendam promptissimos exhibent. Iunior imperator spe sua depulsus, urbe circumnavigata, ad Galatam e regione Byzantii descendit: ubi sequenti nocte transacta, postridie mane ad Tenedios cur-

A. C. 1353 Βυζαντίου καὶ ἀπέβαινεν ἐκεῖ· αὐλισάμενος δὲ ἐκεῖ καὶ τὴν ἐπιοῦσαν νύκτα, εἰς τὴν ὑστεραίαν ἅμα ἕῳ εἰς Τένεδον ἀπῆρεν αὖθις. κατὰ δὲ τὴν ἀναχώρησιν οἱ ἐκ τῆς βασιλικῆς τριήρεως πολλὰς Καντακουζηνοῦ τοῦ βασιλέως καὶ ὡς μάλιστα ἀσέμνους κατέχεον τὰς ὕβρεις καὶ οὐδὲν ἀποδεούσας τῶν παρὰ Ἀποκαύκου τοῦ μεγάλου δουκὸς κατὰ τὸν χρόνον τοῦ πολέμου τετολμημένων. ἃ μάλιστα ἐλύπησε πυθόμενον τὸν βασιλέα, οὐκ ἂν εἰς τοσοῦτον ἐξε-
P. 849 νεγκεῖν τὸν νέον οἰηθέντα βασιλέα ἀτοπίας, εἰ μὴ ἄσπονδον ἐσκέψατο τὸν πρὸς αὐτὸν πόλεμον διατηρεῖν. ὁ μέντοι νέος βασιλεὺς τὰ τοιαῦτα ἐγκαλούμενος ὕστερον ὑπὸ τοῦ κηδεστοῦ, ἰσχυρίζετο οὐδὲν εἰδέναι τῶν γεγενημένων, ἀλλὰ παρὰ τὴν κοίλην ὄντος ναῦν καὶ τῶν λεγομένων οὐδενὸς ἀκούειν ὑπὸ τοῦ ῥοθίου συγχωρουμένου, ἀτακτοῦν τὸ ναυτικὸν ἐτράπη πρὸς τὰς ὕβρεις. ταῦτα μὲν οὖν ὀλίγῳ ὕστερον εἰρήσεται. τότε δὲ ἐπεὶ εἰς Τένεδον ἐκεῖνος ἐπανῆκε, βασιλίδα Ἑλένην τὴν γυναῖκα ἔχων καὶ Μανουὴλ τὸν παῖδα, ἦλθεν εἰς Θεσσαλονίκην. Καντακουζηνὸς δὲ ὁ βασιλεὺς περὶ Βήραν διατρίβων, ἐπεὶ πύθοιτο τὸν γαμβρὸν ἐπὶ Βυζάντιον ἐλθόντα, κατὰ τάχος ἐπ' ἐκεῖνον ἤει, καὶ αὐτὸς
B στρατιάν τε ἄγων οὐκ ὀλίγην καὶ Ματθαῖον συνεπόμενον ἔχων τὸν υἱόν. βασιλέα μὲν οὖν οὐχ εὗρε τὸν γαμβρὸν, εἰς Τένεδον κατὰ τάχος ἀπηρκότα καὶ αὐτὸν, σύγχυσιν δὲ καὶ ταραχὴν οὐκ ὀλίγην ἐν τοῖς ἐπιφανεστέροις μάλιστα ἐγηγερμένην. εἰς τρίτην γὰρ ἡμέραν μετὰ τὴν ἐπιδημίαν πάντες

sum iteravit. In quo, qui erant in triremi, multas et multo indignissimas in Cantacuzenum contumelias effundebant, simillimas iis, quae belli tempore in eumdem Apocauchus, magnus dux, effuderat. Quod ubi ad aures eiusdem pervenit, magnopere doluit, quod existimaret, nunquam eo stultitiae iuniorem imperatorem erupturum fuisse, nisi adversus se bellum internecinum meditatus esset. Quamquam postea a socero reprehensus, id se inscio factum affirmavit. Nam cum esset in cavo seu ventre navis et prae undarum comitante strepitu ac murmure dictorum nihil audiret, nauticam petulantiam maledictis indulsisse. Sed de his paulo infra. Postquam cum uxore et filio in Tenedum reditum cepit, Thessalonicam venit. Cantacuzenus apud Bera commorans, audito, generum adnavigasse Byzantium, cum non parva manu, sequente Matthaeo filio, in eum festinavit. Ac generum quidem minime, quippe qui Tenedum iam cucurrerat, confusionem autem turbationemque non vulgarem, nobilium praecipue, offendit. Tertio enim die post adventum eius omnes composito palatium ingressi, ignorare se dixerunt, quid sibi vellet

ἐκ συνθήματος γενόμενοι ἐν βασιλείοις, ἀγνοεῖν ἔφασαν πρὸς A. C. 1363
βασιλέα, ὅ,τι βούλοιτο αὐτῷ ἡ πρὸς τοσοῦτον ἐφ' ἑκάτερα
ῥοπὴ, ὥστε μηδ' αὐτοὺς εἰδέναι ἔχειν, ὁποτέρῳ πρόσθοιντο.
εἰ μὲν γὰρ ἐκ τρόπου παντὸς βασιλέα τὸν νέον Ἰωάννην
ἔγνωκε κληρονόμον ἀποδεικνύειν τῆς Ῥωμαίων ἡγεμονίας, τί
μὴ καὶ αὐτοῖς κατάδηλον ποιεῖ, ὥστε μήτε πολεμεῖν, ἀλλὰ καὶ C
θεραπεύειν μέλλοντας ὀλίγῳ ὕστερον εἶναι ὑπ' ἐκεῖνον; ἀνόητον
γὰρ ἂν εἴη καὶ τῶν ἀτοπωτάτων, ἀγνωμονεῖν πρὸς τὸν δεσπό-
την καὶ πολεμίους φαίνεσθαι, ἐξ ὧν ἐκεῖνον μὲν οὐ δυνήσον-
ται διαφθερεῖν, αὐτοῦ συναιρομένου καὶ τῆς ἀρχῆς παρα-
χωροῦντος ἑκοντὶ, σφᾶς δὲ αὐτοὺς καὶ τέκνα καὶ οἰκείους
βλάψουσι τὰ μέγιστα, πολέμιοι ἀναφανέντες, ᾧ δουλεύειν
ἕξουσιν ἀνάγκην. εἰ δ' αὐτός τε πολέμιον ἡγεῖται κἀκείνους
προθύμως βούλεται συμπολεμεῖν αὐτῷ, ἐλπίδα τινὰ βεβαίαν
δέον πρὸς τὰ μέλλοντα παρέχεσθαι, ᾗ πεισθέντες ἐκείνῳ πο-
λεμήσουσι προθύμως. αὕτη δ' ἂν εἴη τὸ Ματθαῖον τὸν υἱὸν
ἀποδεικνύειν βασιλέα, ὡς οὕτω πᾶσαν ἀμφιβολίαν ἀποθησο- D
μένων καὶ προθύμως τῷ νέῳ βασιλεῖ πολεμησόντων, ἐλπίδα
βεβαίαν ἤδη κεκτημένων, ὡς ἢ κρατήσαντες τῶν πολεμίων
διὰ βίου βασιλέας αὐτὸν ἕξουσι καὶ τὸν υἱὸν, ἢ καὶ αὐτοὶ
κρατηθέντων συνδιαφθαρήσονται αὐτῶν. οἱ μὲν οὖν ἐν τέ-
λει τοιαῦτα εἶπον, βασιλεὺς δὲ „τὴν μὲν ἀξίωσιν ὑμῶν,

11. οἰκίους P. 21. αὐτὸν M. textus, αὐτοῖς mg. Recte P.

tanta in utramque partem inclinatio, ut neque ipsi scire queant, utri adhaereant. Si enim plane Ioannem imperatorem iuniorem heredem imperii Romani declarare statuerit, cur non hoc ipsis aperiat? quo non modo armis eum non persequantur, sed etiam (utpote non multo post in eius potestate futuri) obsequiis colant. Stultum enim et insolentissimum esse, contra dominum insolescere et eius hostes videri, propterea quod, ipso eum adiuvante et imperio ultro cedente, nocere ei non poterunt, sibi ipsis autem, liberis et propinquis nocebunt, maxime hostes illius manifestarii, cui, velint nolint, subesse debent. Quodsi eum inimicum ducat ipsosque impigros militiae socios habere desideret, opus esse, ut spem firmam in posterum faciat, qui nixi illum fidenter aggrediantur. Hanc fore, si Matthaeum filium imperatorem designet. Sic enim dubitationem omnem deposituros et alacriter iuniorem imperatorem oppugnaturos, spe iam certa subnixos, aut, victis hostibus, ipsum cum filio, quoad vixerint, imperatores habituros, aut si ipsi vincantur, cum ipsis simul morituros. Hactenus nobilitas. Tum imperator sic contra fatus est: „Petitionem vestram esse iustam et cum ratione consentientem, ac vos scire oportere, utri faventes in alterum arma vertatis, nec ego inficias iverim. Nam simulac, debellatis hostibus, bellum posuimus et foedus cum Anna imperatrice generoque meo

A. C. 1353 ὡς δικαία τε" εἶπε „καὶ νοῦν ἔχουσα, καὶ ἀναγκαῖον εἰδέναι, ὅτῳ προσθεμένους χρὴ ἑτέρῳ πολεμεῖν, οὐκ ἂν ἀρνηθείην οὐδ' αὐτός. τὸν μὲν γὰρ ἄλλον ἅπαντα χρόνον εὐθὺς μετὰ τὸ ἡμᾶς τῶν πολεμίων περιγεγενῆσθαι καταλελυκέναι τε τὸν πόλεμον, συμβάσεις θεμένους πρὸς Ἄνναν τὴν βασιλίδα καὶ βασιλέα τὸν ἐμὸν γαμβρὸν, αὐτὸς ἠνάγκαζον ὑμᾶς δεσπότην P. 850 ἐκεῖνον καὶ βασιλέα καὶ εἰδέναι καὶ νομίζειν· καὶ οὐκ ἐν ἀποῤῥήτῳ μόνον, ἀλλὰ καὶ ἐπὶ πολλῶν πολλάκις τὸν νέον βασιλέα, καὶ περιόντος καὶ μετὰ τὴν τελευτὴν ἐμοῦ, τῆς Ῥωμαίων διάδοχον βασιλείας ἔσεσθαι ἀπεφθεγγόμην. νυνὶ δ' αὐτὰ τὰ πράγματα ἐμέ τε ἠνάγκασαν ἑτέρως πράττειν, ἢ ὡς ἠβουλόμην, καὶ ὑμῖν εἰκὸς μεγάλας τὰς ἀπορίας ἐμποιεῖν. εἰ μὲν οὖν περί τινων οὐδένων καὶ εὐκαταφρονήτων ὁ λόγος V. 678 ἦν, οὐδὲν ἦν ἔργον φθέγγεσθαι νῦν τὸ παραστὰν, ὡς ὀλίγης βλάβης ἐσομένης ἐκ τοῦ μὴ μετ' εὐβουλίας, ἀλλ' ἀπερισκέπτως φθέγξασθαι τὸ προστυχόν. ἐπεὶ δὲ περὶ τῶν παρ' ἡμῖν μεγίστων, (τί γὰρ ἂν εἴη μεῖζον;) δέον πρότερον πολλὰ B πολλάκις σκεψαμένους, οὕτω πρὸς ὑμᾶς ἅττα ἂν λυσιτελῆ καὶ δίκαια νομίζωμεν διεξιέναι. οὐ μὴν ἀλλὰ καὶ ὑμεῖς αὐτοὶ καὶ ἰδίᾳ ἕκαστος καὶ πάντες κοινῇ περὶ τοῦ πράγματος πολλὴν ἐξέτασιν καὶ βάσανον ποιούμενοι, οὕτω παρασκευάσασθε, ὡς γνώμην ἕκαστος εἰσοίσων, ἣν ἂν οἴοιτο καὶ κοινῇ τοῖς πράγμασι Ῥωμαίων καὶ ὑμῖν ἰδίᾳ λυσιτελήσουσαν ἑκάστῳ." ὁ μὲν οὖν σύλλογος οὕτω διελέλυτο, βασιλέως ὑπερθεμένου τὴν πρὸς τὴν τῶν συγκλητικῶν ἀξίωσιν ἀπολογίαν.

15. καὶ M. pro ἀλλ'.

imperatore fecimus, ipse cogebam vos dominum illum et imperatorem scire atque agnoscere: nec in secreto solum, sed multis saepe audientibus, Palaeologum superstite me et post obitum meum in Romano imperio successorem profitebar. Nunc ipsa rerum conditio et me aliter facere compulit, quam volebam, et vos consentaneum est inde admodum perplexos fieri. Si igitur de lana caprina ageretur, non esset difficile in praesens proloqui, quod in mentem veniret, quia non magnum detrimentum sequeretur ex eo, quod inconsulto et inconsiderate, quae in buccam venissent, effutivissem. Quia vero de iis agimus, quae apud nos maximi momenti sunt, (quid enim imperio maius?) re prius multum ac saepe ponderata, sic demum apud vos, quae conducibilia et iusta existimemus, disserenda sunt. Neque hoc tantum, sed et ipsi, tum per se unusquisque, tum omnes communiter, re accurate excussa ac perpensa, sic comparati estote, ut sententiam quisque, quam rebus Romanis universe et vobis cuique seorsum profuturam putaverit, pronuntiet" Ita responsum ad petitionem nobilitatis dilatum, et conventus dimissus est.

λς΄. Αὐτὸς δ᾽ αὐτίκα ἵππου ἐπιβὰς καὶ πρὸς τῷ τεμέ- A. C. 1353
νει τῆς θεομήτορος γενόμενος τῆς Ὁδηγητρίας καὶ τὴν προσ- C
κύνησιν ἀποδοὺς, ἔπειτα ἐκεῖθεν ἀναστρέφων, πατριάρχῃ τε
τῷ Καλλίστῳ συνεγένετο, ἐπὶ τὴν οἰκίαν τὴν ἐκείνου αὐτὸς D
ἐλθὼν, καὶ διηγεῖτο, ὅσα οἱ ἐν τέλει περὶ βασιλέως τε τοῦ
γαμβροῦ καὶ τοῦ υἱοῦ διεξῆλθον πρὸς αὐτόν· ἐδεῖτό τε ὑπο-
θέσθαι, ὁποίοις τισὶ λόγοις χρήσαιτο πρὸς ἐκείνους, ἂν ἀπαι-
τῶσι τὴν ἀπολογίαν, ὥσπερ ἐπηγγείλατο. πατριάρχης δὲ τὸ
μὲν νῦν ἔχον ἔφασκε καὶ αὐτὸς ἀπολογίας ἀπορεῖν· εἰς τρί-
την μέντοι σκεψάμενος ἡμέραν, ἃ ἂν οἴηται δίκαιά τε εἶναι
καὶ προσήκοντα τοῖς τοιαῦτα ἀξιοῦσιν, ἐν βασιλείοις γενόμε-
νος ἐρεῖν. ὁ μὲν οὖν βασιλεὺς ἐκεῖθεν ἐπανῆκεν εἰς τὰ βα-
σίλεια, τοῖς πατριάρχου λόγοις ἀρκεσθεὶς καὶ προθύμως πα-
ρασχόμενος τὴν προθεσμίαν. ὁ πατριάρχης δὲ εἰς τρίτην
ἡμέραν, ὥσπερ ἐπηγγείλατο, οὔτ᾽ ἐγένετο ἐν βασιλείοις, οὔτε
συνεβούλευεν οὐδὲν περὶ τῶν προκειμένων. ἑβδόμῃ δὲ ἡμέρᾳ P. 851
τὰ πατριαρχεῖα καταλιπὼν, εἰς τὴν Μάμαντος τοῦ μάρτυρος
ἐλθὼν, μονὴν οὖσαν κατεξαίρετον αὐτῷ ἰδίαν, ἐμήνυε πέμψας
βασιλεῖ, ὡς οὔτ᾽ ἐν βασιλείοις γένοιτ᾽ ἂν, οὔτ᾽ ἐν πατριαρ-
χείοις, εἰ μὴ ὅρκους αὐτῷ παράσχοιτο, ὡς οὐκ ἄν ποτε Ματ-
θαῖον τὸν υἱὸν ἀποδείξοι βασιλέα. ὁ μὲν οὖν βασιλεὺς ἤ-
χθετο ἐπὶ τοῖς λόγοις καὶ πολλὴν ἐκείνου κατεγίνωσκεν ἀπρα-
γμοσύνην, ἀντεμήνυέ τε πέμψας καὶ αὐτὸς, ὡς οὐδεμίαν τὰ
εἰρημένα τὴν ἀκολουθίαν ἔχειν παρ᾽ εὐφρονοῦσιν ἂν νομί-

36. Imperator mox equo conscenso et in templo Deiparae Hodegetriae precibus conceptis, patriarcham Callistum domi eius convenit: quae primores de imperatore genero ac de filio ad se retulissent, narrat: rogat, se doceat, quid eis respondeat, si responsum, quod promiserit, flagitarint. Patriarcha refert, sibi in praesentia nihil occurrere; perendie, re considerata, in palatium venturum, quaeque iusta et convenientia censuerit, petitoribus responsurum. Imperator diem praefinitum laetus concedens et verbis patriarchae contentus in palatium redit. Illuxit dies tertius, cum neque apparuit in palatio patriarcha, uti spoponderat, neque de eo, quod propositum erat, disseruit. Septima autem luce e patriarchio in monasterium Mamantis martyris sibi peculiare ingressus, per internuntium imperatori significat, se nec in palatium venturum, nec in patriarchium reversurum, nisi sacramento sibi confirmet, nunquam Matthaeum filium imperatorem creaturum. Quae verba durius accepit imperator, valdeque secum inique agere indicavit: et vicissim misit, qui diceret, putare se, dicta eius non cohaerentia visum iri prudentibus. Si enim vocasset eum, ut renuntiationem filii auctoritate sua

A. C. 1353 ζοιτο κριταῖς. εἰ μὲν γὰρ τὴν ἀνάῤῥησιν τῷ υἱῷ συγκατεργασόμενον ἐκάλει, λόγον ἂν εἶχεν ὅρκους ἀπαιτεῖν, μὴ τοι- B αῦτα καταναγκάζειν πράττειν, εἰ μὴ λυσιτελεῖν ἐδόκει, μηδὲ κατὰ γνώμην ἦν αὐτῷ· εἰ δὲ τοιοῦτον μὲν οὐδὲν οὐδέπω ἐπεψηφίσθη, ἔτι δὲ τοῦ πράγματος ἐξεταζομένου, εἰ δίκαιον εἶναι καὶ λυσιτελοῦν νομίζοιτο ἢ μὴ, καλοῖτο καὶ αὐτὸς τὴν δοκοῦσαν εἰσοίσων ψῆφον, τί δεῖ περὶ τοῦ πράγματος ὅρκους ἀπαιτεῖν μήπω πέρας εἰληφότος; ὁμοίως γὰρ ἐνδέ- V. 679 χεται, εἰ πάντες ἐν ταὐτῷ συνέλθοιεν, καὶ ἐπιψηφισθῆναι καὶ κωλυθῆναι. αὖθίς τε ἐδεῖτο καὶ παρῄνει ἥκειν πρὸς αὐτὸν, ὡς ὅ,τι ἂν δέοι πράττειν διασκεψομένους. ὁ δ' ἀπηγόρευε παντάπασι καὶ πολλάκις παρὰ βασιλέως οὐχ ὑπήκουε κληθείς· οἱ μέντοι τὸν υἱὸν ἀποδεικνύειν ἀξιοῦντες βασιλέα, C καὶ αὖθις γενόμενοι ἐν βασιλείοις, λόγον ᾔτουν περὶ ὧν ἠξίουν βασιλέα. ὁ δ' ὑπερετίθετο καὶ αὖθις, ὡς διασκεψόμενος. ὀλίγαις δὲ ἡμέραις ὕστερον μετὰ τῶν συγκλητικῶν καὶ τῶν εὐγενεστέρων καὶ ὅσοι τοῦ στρατιωτικοῦ καταλόγου ἦσαν συνελθόντες, ἐδέοντο βασιλέως γλώσσῃ μιᾷ Ματθαῖον τὸν υἱὸν ἀποδεικνύειν βασιλέα. βασιλεὺς δ' ἐπεὶ μὴ τὴν διάσκεψιν εἶχεν ἔτι ἀναβάλλεσθαι, (ἐξήρκει γὰρ ὁ χρόνος τῆς ἀναβολῆς,) καὶ τὴν στάσιν αὐξανομένην καὶ προσθήκην ἀεὶ λαμβάνουσαν ἑώρα, καταστὰς εἰς μέσους, ἔλεξε τοιάδε· „τὸ περὶ τῶν αὐτῶν ἀεὶ διεξιέναι καὶ ἀποκναίειν τοὺς ἀκούοντας, τῷ καινολογεῖν παντάπασιν ἐναντίον ὂν, ὁμοίως ἔχει μέμψιν, ἀλ-

11. ὅ,τι δέοιτο P.

adiuvaret, et ipse eam conducere non sentiret, neque vellet, haud immerito iuramentum a se petiturum fuisse, ne talibus assentiri cogeretur. Si autem nihil unquam huiusmodi decreverit, sed adhuc de iure et utilitate facti sub iudice lis sit, et vocetur quoque ipse, iudicium suum in medium prolaturus, cur iuramentum de re etiam nunc pendente et ambigua exigat? Aeque enim ubi omnes convenerint, suffragio suo et approbare et improbare posse. Iterum orat et hortatur, ad se veniat, et quid faciendum sit, secum consultet. Patriarcha recusare et iterum iterumque accitus non comparere. Qui filium imperatoris declarari imperatorem petebant, rursum palatium ingressi, responsum exquirunt. Imperator tempus extrahit, ut amplius de re ista deliberaturus. Haud multi dies intercedunt, cum optimates eius ac nobiles, et qui ex albo militari erant, convenientes, uno ore precantur, uti Matthaeum imperatorem renuntiet. Imperator quoniam producere deliberationem ultra nequibat, (satis enim produxerat,) coetumque maioribus semper incrementis augeri perspiciebat, stans medius hunc in modum exorsus est: „Qui de iisdem perpetuo verba faciunt et audientes obtundunt, nova sem-

λως θ᾽ ὅταν οἱ ἀκούοντες οὐ λόγοις ὦσι μόνον πολλάκις περὶ A. C. 1353
τῶν αὐτῶν δεδιδαγμένοι, ἀλλὰ καὶ τοῖς πράγμασιν αὐτοῖς D
παρηκολουθηκότες, ἐξ ὧν ἐσχήκασι σαφῆ καὶ φανερὰν τὴν ἀπόδειξιν τῶν λεγομένων. ὡς μὲν οὖν ἀδίκως πεπολέμημαι μετὰ τὴν βασιλέως τελευτὴν καὶ πολλὰς καὶ παντοδαπὰς ὑπέμεινα τὰς δυσχερείας καὶ τὰς ἐπιβουλὰς καὶ τοὺς κινδύνους, καὶ ὡς μετὰ τὴν τοσαύτην τῶν δεινῶν ἐπιφορὰν καί, τοῦ κρείττονος συναιρομένου, τοὺς ἀντιτεταγμένους σύμπαντας κεκρατηκώς, οὐ τοῖς ἴσοις ἠμειψάμην, ἀλλ᾽ ἐφιλονείκησα πᾶσαν ὑπερβολὴν προσθεῖναι τῇ μεγαλοψυχίᾳ, καὶ ὡς οὐ πάντα τἄλλα προεῖμαι μόνον εὐχερῶς, ἀλλὰ καὶ αὐτὴν, ὑπὲρ ἧς ἐδόκουν τὰ δεινὰ ὑπομεμενηκέναι, βασιλείαν, (ἴστε γὰρ δήπου σύμπαντες, ὡς τήν τε παῖδα τὴν ἐμὴν συνῴκισα τῷ νέῳ βα- P. 852
σιλεῖ καὶ τῆς ἀρχῆς μετέδωκα εὐθὺς, καὶ βασιλίδα τὴν μητέρα τῆς προτέρας δόξης καὶ τοῦ εἶναι καὶ ὀνομάζεσθαι Ῥωμαίων δεσπότιν ἀπεστέρησα οὐδὲν,) παρήσειν μοι δοκῶ, πάντων ὑμῶν σαφέστατα εἰδότων καὶ οὐδεμιᾶς δεομένων περὶ ταῦτα ἀποδείξεως. ὅτι δὲ μετὰ τοὺς ὅρκους καὶ τὰς συμβάσεις οὐδενὸς ἠμέλησα τῶν καθηκόντων πρὸς αὐτοὺς, ἀλλὰ πᾶσαν ἐπεδειξάμην καὶ σπουδὴν καὶ εὔνοιαν, καὶ οὐδεμίαν ἐν οὐδενί ποτε πρόφασιν αὐτοῖς πολέμου παρεσχόμην, νῦν ἐναργῆ πειράσομαι τὴν ἀπόδειξιν τὴν ἐκ τῶν λόγων παρασχέσθαι. εὐθύς τε γὰρ μετὰ τοῦ πολέμου τὴν κατάλυσίν τινων τῶν παρ᾽ ὑμῖν μάλιστα ἐπιφανῶν δυσανασχετούντων καὶ ἀναινομένων B

15. δεσπότην M. 19. ἐν om. P.

per afferentibus contrarii, perinde in vitio sunt: praesertim cum, qui audiunt, non solum sermone de iisdem docti saepe fuerint, sed rebus ipsis quoque ea compererint, quae certam ac manifestam verbis fidem conciliarunt. Me igitur imperatore Andronico mortuo iniuste ut hostem oppugnatum, multosque et varios casus, insidias, pericula subiisse, et post tantos malorum turbines, nemine opitulante, adversarios vicisse, nec paria retulisse, sed omni ratione magnitudinem animi exaggerare studuisse, et non solum cetera omnia, sed et ipsum, pro quo infanda perpessus videbar, imperium reliquisse, (scitis enim nimirum omnes, quo modo et filia mea iuniori imperatori collocata, collegam meum statim illum cooptarim, et Augustam, eius matrem, priori appellatione, ut esset videlicet et diceretur Romanorum domina, penitus non privaverim,) haec, inquam, silentio praeterire mihi certum est, quando nemo vestrum adest, cui ea non sint notissima, ut proinde a me nullam probationem requirat. Quod autem post sancitum foedus eorum dignitatem cordi habuerim et omnia in eos officia omneque benevolentiae munus

A. C. 1353 ὅρκους ἐπὶ δουλείᾳ παρέχεσθαι τῷ νέῳ βασιλεῖ, καὶ βαρὺ
καὶ ἐπαχθὲς λογιζομένων, ᾧ πάσῃ δυνάμει πεπολεμήκασιν
ἄχρι τότε, τούτῳ μετὰ τὸ δοκεῖν κεκρατηκέναι αὖθις ἑαυ-
τοὺς ὑπάγειν καὶ καταδουλοῦν, καὶ μὴ ταύτην ἐπιτιθέναι
τὴν ἀνάγκην, ἀλλ' ἐμοὶ μόνῳ τὴν δουλείαν ὀφείλειν δεομέ-
νων, οὐκ ἠθέλησα αὐτὸς, ἀλλ' αὐτοῦ τε ἕνεκα τοῦ καλοῦ καὶ
τοῦ δικαίου καὶ τῆς εἰς βασιλέα τὸν γαμβρὸν εὐνοίας τοὺς
πολλοὺς ὑπὲρ ἐμοῦ πόνους καὶ κινδύνους ἐκείνων ὑπεριδὼν
καὶ τῆς ἐπὶ τοσοῦτον χρόνον ἀμυθήτου κακοπραγίας, ἀπει-
πάμην φανερῶς καὶ τῆς Ῥωμαίων ἀρχῆς ἐκέλευον ἀνα-
χωρεῖν, εἰ μὴ βούλοιντο καὶ βασιλεῖ τῷ νέῳ παρέχεσθαι
C τοὺς ὅρκους καὶ δουλεύειν ἀκριβῶς, ὥσπερ οἴονται κἀ-
μοὶ προσήκειν· ἐκείνῳ δὲ καὶ μᾶλλον, ὅσον ἐμοὶ μὲν οὐκ
εἰς τοὺς παῖδας ἔγνωσται διαβιβάζειν τὴν ἀρχὴν, ἀλλ' ἐ-
κεῖνον καταλείπειν κληρονόμον, ἐκείνῳ δὲ εἰς παῖδας καὶ
παῖδας παίδων διαβήσεται. ἃ καὶ ἔπραττον, ἣ ἐκέλευον αὐ-
τὸς, καὶ παρείχοντο τοὺς ὅρκους ὑπ' ἀνάγκης. αὖθις δὲ
τῶν βασιλίδι προσεχόντων τραπομένων τινῶν εἰς νεωτερι-
σμοὺς καὶ συνθεμένων, ἀπάτῃ συναρπάσαντας τὸν νέον βα-
V. 680 σιλέα, διαβαίνειν ἐπὶ Γαλατᾶν καὶ πόλεμον ἐγείρειν ἐπ'
ἐμὲ, δύναμιν συμποριζομένους, ὅθεν ἂν ἐξῇ, οἱ μὲν φωρα-
D θέντες ἔδοσαν τῆς κακουργίας δίκην, ἐκεῖνοι δὲ οἱ βαρέως
φέροντες τὴν ὑπὸ βασιλεῖ δουλείαν, ὥσπερ εὐλόγου προφά-

contulerim, nec ullam unquam in ullo belli occasionem suppeditarim, nunc evidenter conabor demonstrare. Protinus enim, ut bellum consopitum est, quibusdam inter vos illustrissimis id aegre ferentibus et iuniori imperatori obedientiam iurare detrectantibus graveque et onerosum fore ratiocinantibus, qui cum totis viribus ad eum diem belligerassent, ei iam victo, ut appareret, rursum se subdere ac subiicere, et orantibus, ne tali eos necessitate constringerem, sed mihi soli subiectionem debere sinerem, ego nolui, et amore honestatis atque iustitiae et ipsius imperatoris generi mei exantlatos ab iis mea causa labores, adita discrimina et diuturnam eorum incredibilemque calamitatem parvi pendens, libere denegavi et solum Romanum vertere iussi, nisi etiam illis sacramentum vellent dicere et subesse perfecte, quemadmodum ut mihi subessent, decere arbitrarentur, imo vero illi perfectius, quod mihi non stat, imperium in filios transmittere, sed illum heredem relinquere, qui id ad natos ac nepotes transmittet. Huic postulationi meae, quamquam inviti, obsequentes iuraverunt. Rursus, cum quidam de studiosis imperatricis rerum novarum cupidi inter se pacti essent, per fraudem abrepto secum iuniore imperatore, Galatam petere, et undeunde contracto exercitu, bellum contra me concitare, illi quidem de-

σεως εὐπορήσαντες, αὖθις ἠξίουν μὴ ἐνέχεσθαι τοῖς ὅρκοις, A. C. 1353
ἀλλ' ἀπολελύσθαι τῆς ἀνάγκης καὶ πράττειν, ὅ,τι ἂν δοκῇ
συμφέρειν σφίσιν. ἐγὼ δὲ οὐδ' ἄκροις ὠσὶ τὸν λόγον ἠνε-
σχόμην, ἀλλὰ βασιλέα μὲν καὶ τὴν μητέρα ἠξίουν ἐνέχεσθαι
μηδεμιᾷ γραφῇ, ἅτε συνειδότας τοῖς νεωτερίσασι μηδὲν, ἐκεί-
νους δὲ ἐκέλευον ἠρεμεῖν καὶ μὴ πρόφασιν ζητεῖν, ἐξ ἧς αὖθις
τὴν Ῥωμαίων ἐμπλήσουσι πολλῶν κακῶν. ἐκείνων δὲ οὐδ' οὕτω
πεπεισμένων, ἀλλὰ Ματθαῖον ἐξηπατηκότων τὸν ἐμὸν υἱὸν καὶ
πεπεικότων ἰδίαν συστήσασθαι ἀρχὴν, πόλεις κατασχόντα τινὰς P. 853
καὶ χώραν ἀποτεμόμενον τῆς ὅλης ἡγεμονίας, οὔτ' ἐνέδωκα
διὰ τὸ πρὸς τὸν παῖδα φίλτρον, οὔτ' ἀμελῶς καὶ ῥαθύμως
εἶχον περὶ τὰ τοιαῦτα, ὡς μικρᾶς καὶ τῆς τυχούσης ἄξια
φροντίδος, ἀλλὰ πᾶσαν πρόνοιαν ἐποιούμην ἀπάγειν τῶν
ἀτόπων τὸν υἱόν. καὶ πέμψας βασιλίδα τὴν αὐτοῦ μητέρα,
μὴ τοιαῦτα ἔπειθον νεωτερίζειν, ἀλλ' ἀσφαλῶς ἐμοί τε καὶ
βασιλεῖ δουλεύειν τῷ γαμβρῷ. καὶ πολλὰ τοιαῦτα ἄν τις
ἐξετάζων εὕροι διὰ παντὸς ἐμοὶ τοῦ χρόνου πεπραγμένα. ἐξ
ὧν ἐστι μάλιστα ἐναργεστάτην ἀπόδειξιν λαβεῖν τοῦ μηδὲν
ἐμὲ μήτε πεπραχέναι, μήτε διανενοῆσθαι, ἐξ ὧν ἄν τις
οἰηθείη τὴν Ῥωμαίων ἡγεμονίαν ἐκεῖνον βούλεσθαι ἀποστε- B
ρεῖν· τοὐναντίον μὲν οὖν ἅπαν πάντα πράττειν, ἐξ ὧν βε-
βαίως ἔχειν περιέσται. ἀλλ' οὐχ ὁμοίως ὤφθη κἀκεῖνος ἐμοὶ
τὴν ἴσην εὔνοιαν διασώζων, ἀλλ' ἐπὶ Θεσσαλονίκην ὑπ' ἐμοῦ

prehensi, mercedem sceleris sui susceperunt. Qui vero animis parum aequis imperatori suberant, velut idoneam causam nacti, denuo iurisiurandi religione absolvi postularunt et facere posse, quod ex re sua videretur. Ego vero ad haec surdus, imperatorem et matrem, tamquam nescios, quae illi novitatis consilia coquerent, omni culpa liberavi et postulatoribus praecepi, ut se continerent, nec Romanum imperium de integro aerumnis cumulandi praetextum quaererent. Cum ne sic quidem desinerent, sed Matthaeo filio meo decepto persuasissent, ut, occupatis quibusdam urbibus et parte quadam de toto imperio avulsa, suum sibi principatum institueret, nec amori paterno succubui, nec dissolute et oscitanter in hoc negotio, quasi minuto, nec singulari cura digno me gessi, sed omnimodis elaboravi, ut filium a coeptis illicitis abducerem, et missa insuper eius matre, ut novis rebus supersedens, mihi et genero imperatori se tuto subiiceret, perfeci. Atque istiusmodi complura me semper praestitisse, qui indagaverit, inveniet. Ex quibus clarissime liquet, me nec facto, nec cogitatione ausum, unde quispiam opinari queat, me illum imperio spoliare velle; quin contrarium potius, nempe me id agere, ut id ipsum illi bene securum ac stabile permaneat. At ille nequaquam parem mihi animum remensus est. Nam Thessalonicae a

A. C. 1353 καταλειφθεὶς, ὡς τὰ ἐκεῖσε πράγματα διαφυλάξων ἄχρις ἐπανήξω παρασκευασάμενος, οὐκ ἐφύλαξεν, ὥσπερ ἔδει. πειθόμενος γὰρ ἀνθρώποις φαύλοις καὶ διεφθορόσι καὶ κέρδους ἕνεκα μικροῦ οὐ σύμπασαν μόνον τὴν Ῥωμαίων ἡγεμονίαν, ἀλλὰ καὶ αὐτὸν, ὑπὲρ οὗ ταῦτα πράττειν ἐδόκουν, προϊεμένων, ἐμοὶ μὲν πόλεμον ἤρατο φανερῶς, ὃς πάντα ἔπραττον, C ὅπως αὐτῷ βελτίω καὶ μείζω ποιήσω τὴν ἀρχὴν, πρὸς Κράλην δὲ ἐτίθετο σπονδὰς καὶ συμμαχίαν, καὶ τῶν ὄντων ἀφιστάμενος, ὥστε μόνον λυπηρὸς ἐμοὶ τῷ πάνυ μάλιστα φιλοῦντι φαίνεσθαι. ἐγὼ δὲ οὐκ εὐθὺς πρὸς ἄμυναν ἐτρεπόμην, οὐδὲ τοῦ περὶ αὐτὸν φίλτρου τὸ παράπαν οὐδὲν ὑφήρουν, ἀλλὰ τοὺς μὲν ἐνάγοντας πρὸς τὰ τοιαῦτα μάλιστα εἶχον ἐν αἰτίαις, ἐκείνῳ δὲ πολλὴν ᾤόμην δεῖν παρέχεσθαι συγγνώμην, οὐ διὰ τὴν ἡλικίαν μόνον, ῥᾳδίαν οὖσαν ὑπὸ πονηρῶν παράγεσθαι ἀνθρώπων, ἀλλ', εἰ δεῖ τι καὶ τἀληθὲς εἰπεῖν, νικώμενος ὑπὸ τοῦ φίλτρου. καὶ βασιλίδα τὴν μητέρα πέμψας, πάντα ἔπραττον, ἐξ ὧν ἐνόμιζον ἀποστήσειν τῶν οὐ καλῶν ἐκείνων ἐπιχειρήσεων καὶ πρὸς τὴν προτέραν D ἐπανήξειν εὔνοιαν ἐμοί. ἃ καλῶς ποιοῦσα πάντα ἔπραττεν ἐκείνη καὶ μετὰ τοῦ προσήκοντος αὐτῇ φρονήματος. δεηθέντος δὲ πόλεις αὐτῷ παρασχέσθαι, ὅσας ἤθελεν, ὥστε ἄρχειν αὐτὸν ἰδίᾳ καὶ μηδὲν εὐθύνεσθαι παρ' ἐμοῦ πρὸς τὴν ἀρχὴν, μικρολογεῖν μὲν αὐτὸν ᾤόμην καὶ μὴ ἑαυτῷ προσήκον-

11. ἀφήρουν M. mg. 23. αὐτὸ P.

me relictus, ut eius civitatis custos, donec paratus et instructus redirem, malum custodem egit. Siquidem hominibus improbis ac nefariis et lucelli gratia non solum universum Romanum imperium, sed ipsum quoque, cui in hoc retinendo studere videbantur, prodentibus, auscultans, mihi non dissimulanter bellum intulit, qui nihil non faciebam, quo imperium ei beatius atque latius redderem: ruptoque quod mecum intercedebat foedere, cum Crale societatem pactus est, tantum ut me sui amantissimum cruciaret. Ibi tum ego non statim ad ulciscendum insurrexi, neque meum erga illum amorem funditus abieci, sed culpam omnem in impulsores conieci: ei autem non ob aetatem modo, hominum nequam strophis et fraudibus valde opportunam, sed, ut verum dicam, caritate victus, omnino ignoscendum putavi, legataque eius matre tentavi omnia, quo illum a conatibus parum laudabilibus retraherem et in priorem erga me amicitiam reducerem. Quod quidem illa, ut decuit, et quo spiritu illam decuit, effectum dedit. Ubi postea rogavit, sibi urbes privatim possidendas attribui, quot vellet, quarum gubernationis nullam a me rationem posceretur, arbitratus sum, parva illum magni facere, nec id ex dignitate dum haud longo post tempore universorum dominus futurus,

τα ποιεῖν, μέλλοντα ὀλίγῳ ὕστερον συμπάντων εἶναι κύ- A.C. 1353
ριον, ὀλίγων ἄρχειν δεῖσθαι πρὸ καιροῦ· προθύμως δὲ
ὅμως παρεσχόμην, δεῖν χαρίζεσθαι νομίζων τοῦ νέου τῇ
ἐπιθυμίᾳ, καὶ Διδυμότειχον προσετίθουν εἰς φιλοτιμίαν,
ἀντίῤῥοπον οὖσαν πόλιν τῶν ἄλλων, ὧν αὐτὸς ᾐτεῖτο,
ὥσπερ δήπου καὶ αὐτοὶ ἐπίστασθε σαφῶς. γενομένῳ δὲ ἐν P. 854
Βυζαντίῳ πάντα τὰ δέοντα παρῄνουν καὶ συνεβούλευον ἐξέ-
χεσθαι ἐμοῦ παντὸς μᾶλλον φιλοῦντος, καὶ πολέμιον ἡγεῖ-
σθαι φανερῶς ἐκεῖνον, ὃς ἂν ἐπιχειροίη πείθειν, ὡς κακὸς
ἐγὼ περὶ αὐτὸν, τὴν ἐκ τῶν ἔργων ἔχοντι ἀπόδειξιν λόγου V. 681
παντὸς ἰσχυροτέραν. ἔπειτα ἐξέπεμπον χαίροντα χαίρων ἐπὶ
τὴν ἀρχὴν, καὶ βασιλίδα τὴν γυναῖκα συνέπεσθαι κελεύσας·
οὕτως οὐδὲν ὑπώπτευον δεινὸν περὶ αὐτοῦ. εἰδὼς δὲ αὐτὸν
οὐ καλὰς περὶ τὸν γυναικὸς ἀδελφὸν ἔχοντα ἐννοίας, ἀλλ'
οἰόμενον ἐφεδρεύειν αὐτῷ πρὸς τὴν ἀρχὴν καὶ τρόπῳ δή
τινι μετάγειν ἐφ' ἑαυτὸν πειρᾶσθαι, ἀναγκαῖον μὲν ἐνόμιζον
πρὸς Θρᾴκην καὶ αὐτὸς ἐλθὼν διαλύειν τὴν μικροψυχίαν
καὶ πείθειν ἀλλήλοις εὐνοεῖν· κατεχόμενος δὲ ὑπὸ τοῦ πρὸς B
Λατίνους πολέμου τότε καὶ Βυζαντίου μὴ δυνάμενος ἀφί-
στασθαι, ἔπεμπον τὴν βασιλίδα, ὡς πάντα πράξουσαν, ὅσα
περ ἂν ἐγὼ, καὶ διαλλάξουσαν ἀλλήλοις τοὺς υἱούς. τὸ δ'
ἐναντίως ἀπέβαινεν, ἢ αὐτὸς ᾠόμην. οὐ μόνον γὰρ οὐδὲν
ἔπραττε τῶν δεόντων ὁ νέος βασιλεὺς, ἀλλὰ καὶ μετὰ τὸ
βασιλίδα τὴν γυναικὸς μητέρα ἄπρακτον ἀποπέμψαι πρὸς

paucis ante tempus imperitare concupisceret. Tamen cupiditati iuvenis gratificandum ducens, dedi lubens, et honoris causa Didymotichum adieci, urbem aequiparandam aliis, quas petebat, simul omnibus, quemadmodum ipsi probe nostis. Byzantium cum venisset, quaecumque ex eius officio essent, admonui suasique, ut mihi, quo amiciorem haberet neminem, coniunctus, capitalem inimicum numeraret, qui secus me affectum illi persuadere niteretur, quando animi mei sincerissimi argumenta ex factis ipsis quavis oratione ad probandum firmioribus exstarent. Ita gaudens g•udentem ad provinciam suam emisi, et uxorem meam sequi iussi: usque adeo nihil ab illo metuebam mali. Et quia sciebam, eum de fratre uxoris suae sinistra sentire putareque, illum peculio suo insidiari, et illud quodam modo ad se transferre conari, ad medendum huic effeminato timori et ad eos benevolentia mutua copulandos iter in Thraciam necessario mihi suscipiendum censui. Verum tamen Latino bello obstante, per quod Byzantio abesse non licebat, misi ad coniugem meam, quae munus meum fungeretur filiosque concordia inter se devinciret. Sed aliter cecidit, quam sperabam. Etenim Palaeologus imperator non modo officio suo prorsus defuit, sed

A. C. 1353 πόλεμον ἐχώρησεν εὐθὺς. καὶ ἄλλας τε πόλεις ὑπηγάγετο, ἃς αὐτὸς οὐ παρεσχόμην, καὶ τῷ γυναικὸς ἐπεστράτευσεν ἀδελφῷ, οὐδὲν ἠδικηκότι πρότερον. καὶ κατακλείσας πρὸς C τὴν ἄκραν Ἀδριανοῦ τῆς πόλεως ἐπολιόρκει, οὐ Ῥωμαίους μόνον ἄγων, ἀλλὰ καὶ βαρβάρους κατὰ συμμαχίαν. ἐγὼ δ' ἐπεὶ μέλλειν οὐκ ἐνῆν, ᾗ τάχιστα εἶχον, ἐν Ἀδριανοῦ γενόμενος, τὸν μὲν υἱὸν ἀπήλλαττον τοῦ κινδύνου, βασιλέα δὲ τὸν νέον οὐδὲν ἠνώχλουν πρότερον εἰς Διδυμότειχον ἀπηρκότα, ἀλλὰ καὶ πρέσβεις πέμψας, ἐδεόμην κατατίθεσθαι τὸν πόλεμον. ὁ δ' ὑπὸ τῶν ἀγόντων πεπεισμένος καὶ τὴν ἐμὴν παραίνεσιν ἐν ὀλίγῳ θέμενος, οὐδὲν ἧττον ἢ πρότερον ἐπολέμει, καὶ ἄλλα τε ἔπραττεν, ὅσα πολέμιον εἰκὸς, καὶ συμμαχίαν ἐκ Τριβαλῶν καὶ Μυσῶν μετεκαλεῖτο. ἐπεὶ δ' ὑπὸ τῶν βαρβάρων ἐκεῖνοι διεφθάρησαν, οὓς αὐτὸς μετεπεμψάμην ἐξ D Ἀσίας, πρεσβείαν καὶ αὐτὸς πρὸς Σουλιμὰν τὸν τῆς Περσικῆς ἡγούμενον ποιούμενος στρατιᾶς, (ἐδόκει γὰρ αὐτῷ λυσιτελεῖν πείθειν ἐκεῖνον εἶναι μὴ πολέμιον αὐτῷ,) ἔπεμπε καὶ γράμματα, ἐν οἷς ἐπιμνησθεὶς ἐμοῦ, οὐ βασιλέα προσηγόρευεν, ἀλλὰ Καντακουζηνὸν ἁπλῶς· ὃ μέγιστα ἐλύπησεν, ἀπόδειξιν ἐναργεστάτην οἰηθέντα τοῦ μέχρι καὶ τοῦ δυνατοῦ τὸν πόλεμον τὸν πρὸς ἐμὲ τηρεῖν ἀκατάλυτον πεπεῖσθαι. ἤδη δὲ τὰ τελευταῖα ταῦτα νῦν, ἐπεὶ μὴ μένειν πρὸς τὰς τῆς Θρᾴκης πόλεις ἠδυνήθη, οὐχ οἷός τε ὢν ἀντέχειν ἔτι πρὸς τὸν πόλεμον, πρὸς Τένεδον ἐπεραιώθη, καὶ

19. καὶ add. M, post ἀλλά. 21. ἀκατάλυπτον P.

etiam frustra dimissa imperator socru sua, mox ad arma venit et cum alia oppida a me non data subegit, tum in fratrem uxoris, a quo nulla erat lacessitus iniuria, cum Romanis barbaros quoque duxit eumque in arce Adrianopolitana conclusum obsedit. Ego, quoniam procrastinationi locus haud dabatur, quam citissime potui, Adrianopolim profectus, et filium periculo exemi, et Palaeologo imperatori, qui paulo ante Didymotichum concesserat, molestiarum nihil creavi, quem per legatos, uti bello temperaret, admonui. Verum ille a sollicitatoribus suis inductus, spreta hortatione mea, haud secus, ac prius, bellum urgere perrexit et cum alia, quae solent hostes, perpetravit, tum auxilium ex Triballis advocavit. Quos postquam barbari a me ex Asia accersiti contriverunt, ad Sulimanum, Persicarum copiarum ducem, cuius amicitiam sibi commendaturam credebat, legatos cum litteris misit, in quibus mei mentionem faciens, non imperatorem, sed tantummodo Cantacuzenum appellavit: id quod me momordit vehementer, interpretantem id signum manifestissimum, obdurasse, ut, quoad posset, bellum contra me continuaret. Iam vero ad extremum nunc, quia in Thraciae

συμποϱισάμενος δύναμίν τινα ὀλίγην ναυτικὴν, ἐν τοῖς καιϱιωτάταις ἐπεβούλευσεν. οὐ γὰϱ ἴσον, πόλεις καὶ νήσους τὰς ὑπ' ἐμοὶ τελούσας ἴσως καταδουλοῦσθαι, καὶ αὐτῇ ἑστίᾳ ἐπελθεῖν. τούτου δὲ ὄντος οὕτω δεινοῦ, ἕτεϱον αὐτῷ πολλῷ δεινότεϱον καὶ μεῖζον εἰς ἀπεχθείας λόγον ἐτολμήθη. τοῖς γὰϱ ἑπομένοις ναύταις καὶ μάλιστα τοῖς ἐκ τῆς τϱιήϱεως, ἧς ἐπέβαινεν αὐτὸς, ἀδεῶς ἐφῆκεν ὑβϱίζειν εἰς ἐμέ· ὃ οὐκ ἂν ἐτόλμησεν, ἐδόκουν, εἰ μὴ πεπεικὼς ἦν μάλιστα ἑαυτὸν ἀσύμβατον μέχϱι παντὸς τὸν πόλεμον τηϱήσειν. ὡς μὲν οὖν ἄχϱι τέλους ἀπ' ἀϱχῆς ἴσον ἑαυτῷ καὶ ὅμοιον ἐν πᾶσιν ἐμαυτὸν τετήϱηκα ἐγὼ καὶ πϱόφασιν οὐδεμίαν ἐκείνῳ πολέμου παϱεσχόμην, πάντας οἴομαι πεπεῖσθαι ἐκ τῶν εἰϱημένων. ἐκείνου δὲ οὐδενὸς τῶν ὅσα ᾤετο λυπεῖν ἀποσχομένου, οὐδένα τῶν νοῦν ἐχόντων οἴομαι ἐμοὶ δικαίως ἐγκαλέσειν, εἴ τι παϱὰ τὰ δεδογμένα πϱότεϱον πϱάξω νῦν μεταβαλών. οὐ γὰϱ εὐκολίᾳ τϱόπων ἐπὶ τοῦτο ἤχθην, οὐδ' εἰκῇ καὶ μάτην ἐκεῖνον βουλόμενος λυπεῖν, ἀλλ' ἠναγκασμένος ὑπ' ἐκείνου. τίνα γὰϱ ἔχει λόγον, ἐκεῖνον μὲν ὑβϱίζειν εἰς ἐμὲ καὶ πάντα τϱόπον πειϱᾶσθαι κατάδηλον ποιεῖν, ὡς ἀσυμβάτως ἕξει, ἐμὲ δὲ ὥσπεϱ πϱὸς τὰ πϱαττόμενα ἀναισθητοῦντα, μηδὲν τῶν γινομένων οἴεσθαι δεινόν; τὸ μὲν οὖν τὴν ἀεὶ μελετωμένην ἀεὶ διαδοχὴν τῆς βασιλείας, τό γε εἰς ἐμὲ ἧκον, αὐτὸν ἀποστεϱεῖν ἐμὸν ἂν εἴη, εἰ μὴ μεταβάλοιτο καὶ τῆς

A.C. 1353 P. 855 B V. 682 C

12. πάντως P. 15. πϱάξων P. 23. μεταβάλλοιτο P.

urbibus perseverare nequivit, (amplius scilicet non valens resistere,) Tenedum navigavit, conquisitaque manu navali exigua, caput rerum insidiose aggressus est. Nec enim forsitan perinde est, urbes et insulas ditionis meae subiugare, et ipsos imperii penates inopinato adoriri. Cum autem hoc ita grave sit, aliud longe gravius et odiosius ausus est. Remigibus enim, et suae praesertim triremis, conviciis in me debacchari impune permisit: quod neutiquam ausus fuisset, ut existimo, nisi fixum penitus apud animum haberet, immortale adversus me bellum gerere. Quod igitur a principio ad finem semper in omnibus eumdem me meique similem illi praestiterim, nec arma eius aliquando provocaverim, ex iis, quae dixi, cuilibet fidem factam opinor. Quoniam autem ipse eorum nullo, quae mihi acerba putaret fore, abstinuit, credo equidem e prudentibus fore nullum, qui iure me reprehendat, si nunc mutata sententia, ipse decreta mea priora posthabuero, quando non levitate aliqua, nec temere illum et sine causa contristari volens, sed ab eo coactus huc adducor. Quale enim est, illum petulanter in me insultare et eniti modis omnibus, ut omnes intelligant, eum pacem aspernari, me autem velut sensu orbatum atque truncum, nullo eo-

A. C. 1353 προτέρας κακίας ἀντίῤῥοπον ἐνδείξαιτο εὐγνωμοσύνην. τὸ δὲ
Ματθαῖον τὸν ἐμὸν υἱὸν ἀποδεικνύειν βασιλέα οὐκέτ' ἂν
εἴη μόνον ἐμοῦ· (οὐδὲ γὰρ οὐδέπω πρότερον ἄχρι νῦν τῶν
πάντων οὐδὲν εἰς τοῦτο ἠδυνήθη ἀγαγεῖν, καίτοι πολλάκις
ὑμῶν πολλὰ παρὰ τὸν τοῦ πολέμου χρόνον, ὅτε καὶ μάλιστα
ἡ πρᾶξις ἂν ἐδόκει τὸ εὔλογον διασώζειν, δεηθέντων περὶ
τούτου·) ἀλλὰ μάλιστα μὲν ὑμῶν τῶν δεομένων καὶ πολ-
λὴν ὑπὲρ τούτου τὴν προθυμίαν εἰσενηνεγμένων καὶ σπουδὴν,
οὐχ ἧττον δὲ κἀμοῦ δίκαιά τε ὁμοῦ καὶ σφίσι τε αὐτοῖς
καὶ τοῖς ὅλοις πράγμασι συμφέροντα κρίναντος ὑμᾶς αἰτεῖν.
D πράξω μὲν οὖν ἐγὼ κατὰ τὴν ἀξίωσιν ὑμῶν. ὑμέτερον δ' ἂν
εἴη στέργειν τὰ ἐψηφισμένα, καὶ μὴ νῦν μὲν οὕτω προθυ-
μεῖσθαι περὶ ταῦτα, ὀλίγῳ δὲ ὕστερον, εἴ τι προσπίπτοι δυσ-
χερὲς, ῥᾳδίως μεταβάλλεσθαι." τοιαῦτα μὲν βασιλεὺς ὁ
Καντακουζηνὸς περὶ βασιλέως τοῦ νέου διειλέχθη, καὶ τοι-
αῦτα ἐγκλήματα ἐπῆγεν, ἐξ ὧν ᾤετο δίκαια ποιεῖν. βασιλεὺς
δὲ ὁ νέος ὕστερον μετὰ τοῦ πολέμου τὴν κατάλυσιν τὰ ἴσα
ἐγκαλούμενος ὑπὸ τοῦ κηδεστοῦ, ὥσπερ ἀπολογουμένου, ὅτου
ἕνεκα αὐτὸν μὲν ἀποχειροτονήσοι, τὸν δὲ υἱὸν Ματθαῖον
ἀποδείξοι βασιλέα, περὶ μὲν τῶν ἄλλων οὐδὲν εἶχεν ἀντιλέ-
γειν, τοῦ μέντοι ἐν τοῖς πρὸς Σουλιμὰν τὸν Πέρσην γράμ-
P. 856 μασι μὴ προσηγορευκέναι βασιλέα, οὐκ αὐτὸν, ἀλλὰ τὸν γε-
γραφότα ἔλεγε γεγενῆσθαι αἴτιον· αὐτὸν δὲ ὑπὸ πολλῶν
φροντίδων συνισχημένον καὶ μυρίοις πράγμασι περιελκόμενον

rum, quae fiunt, commoveri? Quam igitur illi perpetuam in imperio successionem semper meditabar et volebam, quantum in me esset, ea illum privare meum fuerit, nisi resipiscat et antegressam nequitiam aequali bonitate compenset; Matthaeum vero filium imperatorem designare non fuerit iam solum meum, (nec enim hactenus unquam ulla res eo me impellere potuit, quamvis saepe vos belli tempore, cum facti ratio maxime probabilis reddi poterat, istuc me rogaretis,) sed vestrum inprimis, qui hoc a me flagitastis et in eo praecipuam propensionem ac studium demonstrastis, cum ego nihilo minus iusta simul et vobis ipsis ac rei publicae salutaria postulare vos iudicarem. Faciam igitur, quod petistis. Vestrarum autem partium erit, rata habere, quae a me decernentur, et non hodie quidem ita laetum rei desiderium ostendere, cras autem et perendie, si qua difficultas inciderit, mox aliam cantilenam canere." Talia quiritabatur, quorum causa imperator, quae facturus esset, iuste facturum se existimabat. Ceterum iunior imperator in his iisdem post belli finem a socero incusatus, ut ita eius abdicationis et Matthaei subrogationis rationem quodammodo afferret, ad alia quidem respondere non poterat, quod autem in epistola ad Sulimanum Persam im-

τὸν νοῦν, οὐκ ἐπιστῆσαι τοῖς γεγραμμένοις, ἀλλ' ἀπερισκέ- A. C. 1353
πτως τοῖς ἐρυθροῖς ὑποσημήνασθαι. ὁμοίως δὲ καὶ τῶν γε-
γενημένων ὕβρεων ὑπὸ τῶν τριηριτῶν οὐδὲν αὐτὸν εἰδέναι,
μήτε βούλεσθαι, ἀλλ' ἐν τῇ κοίλῃ νηῒ κατ' ἐκεῖνο χρόνου
διατρίβοντα, μηδενὸς ᾐσθῆσθαι τῶν τετολμημένων ἔξω. ταῦ-
τα μὲν οὖν ὕστερον.

λζ΄. Τότε δὲ ἐπεὶ ἐπεψήφιζεν ὁ βασιλεὺς τὴν ἀνάῤῥη- B
σιν Ματθαίου τοῦ υἱοῦ, μετά τινας τῆς διαλέξεως ἡμέρας,
πάντων παρόντων ἐν τοῖς βασιλείοις, ὁ τοῦ βασιλέως ἀνη-
γόρευτο υἱὸς, καὶ τοῖς τε ποσὶν ὑπέδυ κρηπῖδας ἐρυθρὰς C
καὶ πῖλον ἐπέθετο τῇ κεφαλῇ λίθῳ τε κεκοσμημένον καὶ μαρ-
γάροις, ὥσπερ ἔθος βασιλεῦσι, καὶ πρός τε τὰς εὐφημίας
συνηριθμεῖτο τοῖς βασιλεῦσι καὶ ἐν ταῖς γιγνομέναις μνήμαις
τῶν βασιλέων πρὸς τοῖς ἱεροῖς. βασιλέα δὲ τὸν Ἰωάννην
ἐκέλευε βασιλεὺς ὁ κηδεστὴς ἔν τε ταῖς μνήμαις ἀποσιωπᾶ-
σθαι κἂν ταῖς εὐφημίαις· Ἄνναν μέντοι τὴν βασιλίδα καὶ
τὸν θυγατριδοῦν Ἀνδρόνικον τὸν βασιλέα εὐφημεῖσθαι, ὥσπερ
πρότερον, καὶ μνημονεύεσθαι ἐκέλευεν ἐν ταῖς ἱεροτελεστίαις.
οὐ μὴν αὐτοῦ παντάπασιν ἀφεῖλε καὶ τὴν προσηγορίαν, ἀλλ'
εἴ ποτε περὶ ἐκείνου ποιοῖτο λόγον, βασιλέα προσηγόρευεν,
ἐπὶ πολλῶν. ἐκ τοιούτων μὲν αἰτιῶν ὁ πρὸς ἀλλήλους τῶν D
βασιλέων ἐκινήθη πόλεμος καὶ ηὔξητο ἐπὶ τοσοῦτον, ὡς καὶ V. 683
Καντακουζηνὸν τὸν βασιλέα, καίτοι πρότερον ὅλῃ γνώμῃ πα-
ρεσκευασμένον τῆς ἀρχῆς διάδοχον τὸν νέον καταλείπειν Ἰω-

22. ηὔξατο M.

peratorem non appellasset, non se, sed scribam sustinere culpam autumabat: se multis implicitum sollicitudinibus et distractum mille negotiis scribendo non affuisse, sed imprudentius rubrica subsignasse. Similiter de probris ex triremibus nihil se scire, neque ea iaci voluisse, sed in media navi tunc versantem, quid in extremo protervius fieret, non sensisse. Sed haec postea acciderunt.

37. Ut imperator filium imperatorem declarare constituit, post dies aliquot sermonis illius, praesente nobilitate, in palatio est renuntiatus, pedibusque inductae crepidae purpureae, et tiara lapillis ac margaritis ornata pro more capiti eius imposita: faustae acclamationes insonuerunt, et in sacris eius, ut reliquorum imperatorum, frequentari coepta memoria. Ioannis autem nomen in acclamando atque inter sacra socer tacere iussit, et Annae imperatrici ac nepoti Andronico acclamari, ut prius, et in sacrificio missae eosdem nominari. Non tamen omnino ei vocabulum auferens, si quando apud plures de illo loqueretur, imperatorem appellitabat. Talibus igitur ex causis mutuum inter imperatores bellum exarsit, itaque crevit, ut Cantacuzenus, tametsi antea mente tota Ioannem imperii successorem relinquere paratus esset, Matthaeum filium hoc honore

A. C. 1353 αὐτὸν ἐξείη μηδενὶ, ἕτερον τοῖς θρόνοις ἐφιστᾷν, „οὐκοῦν" εἶπεν „οὐδὲν ἕτερον, σοῦ τοιαῦτα ἰσχυριζομένου, λείπεται, ἢ πατριάρχην ἕτερον ἀντεισάγεσθαι τῇ ἐκκλησίᾳ." ὁ πατριάρχης δὲ „καὶ μάλιστα βουλοίμην" εἶπεν. ἐπὶ τούτοις δὲ οἱ πρέσβεις πρὸς βασιλέα καὶ τὴν σύνοδον ἀναστρέψαντες ἀπήγγελλον, ὅσα πατριάρχης ἀποκριθείη πρὸς τοὺς λόγους· Περδίκης δὲ, τῶν πρέσβεων εἷς, τὸν ἀφορισμὸν εἶπεν ἐκπεφωνηκέναι τὸν πατριάρχην κατὰ τοῦ ἐπιθήσοντος αὐτῷ ἀνάγκην
P. 858 ἐπὶ τούτῳ· ἀγνοεῖν δὲ, ὅτι βούλοιτο αὐτῷ τὸ ἐπὶ τούτῳ.
V. 684 οἱ συμπρέσβεις δὲ οὐδὲν ἕτερον βούλεσθαι ἰσχυρίζοντο τὸ ἐπὶ τούτῳ εἶναι, ἢ ἐλθεῖν αὖθις ἐπὶ τὴν ἀρχὴν τῆς ἐκκλησίας, ὡς βεβαίως αὐτὴν ἀπειπαμένου, καὶ μήθ' ἑκόντα εἶναι, μήτε βιασθέντα βουλησόμενον αὖθις ἐπανήκειν πρὸς αὐτήν. οἱ μὲν οὖν πρέσβεις τοιαῦτα διενεχθέντες, συνέβησαν αὖθις πρὸς ἀλλήλους, καὶ ὁ βασιλεὺς ἐκέλευε τὸν τῆς ἐκκλησίας ὑπογραμματέα πάντα γράφειν, ἵνα μή τις ᾖ περὶ τὰ εἰρημένα ὕστερον ἀμφιβολία, εἴ ποτε δεηθείη ἐξετάσεως. μετὰ τοῦτο δὲ τῶν ἀρχιερέων ἐπὶ τὸ τίνα χρὴ τῆς ἐκκλησίας τραπομένων προϊστᾷν, οἷα δὴ τοῦ καθεστηκότος φανε-
B ρῶς ἀπειπαμένου καὶ ἀνάγκην ἐπιτεθεικότος, ὥστε περὶ τῶν ἴσων λόγον κινεῖν μηδένα πρὸς αὐτὸν, „τοὺς μὲν περὶ τὴν τῶν ἀρχιερέων" εἶπεν ὁ βασιλεὺς „ἐπιλογὴν παρά τε τῶν πρώτων τῆς ἐκκλησίας διδασκάλων τῶν Χριστοῦ μαθητῶν καὶ τῶν κατ' ἴχνος ἐκείνοις ἑπομένων θείων πατέρων κειμένους νόμους, ὡς χρὴ τοὺς ἐπισκόπους ἐν ταὐτῷ γενομένους καὶ τὴν

te tam obstinato, relinquitur, quam ut loco tuo alium patriarcham in ecclesiam introducamus." Et patriarcha „Id maxime velim," inquit. Sic legati ad imperatorem et conventum revertentes, eius responsum referunt. Perdicas vero ait, patriarcham anathemate illum feriisse, qui se propter hoc cogeret: quid autem sibi velit „propter hoc," se ignorare. Tum collegae legati affirmare, nihil aliud esse propter hoc, quam ad ecclesiae gubernacula redire, quod constanter recuset, eaque nec libens, nec coactus repetiturus sit. Consentientibus in eo legatis, imperator ecclesiae notario mandavit, omnia tabulis consignare, ne qua in posterum de dictis controversia nasceretur, si ad trutinam vocarentur. Post ista episcopis in quaestione ponentibus, quisnam ad ecclesiae clavum admoveretur, quando ille, ne quis apud se super hoc ullum verbum ederet, sacra detestatione vetuisset, „De episcoporum quidem electione," ait imperator, „primorum ecclesiae magistrorum, Christi videlicet discipulorum et qui eorum vestigiis incesserunt, sanctorum Patrum leges, (nempe ut congregati uno in loco episcopi Spiritus sancti gratiam de coelo implorent multisque precibus Deum suppliciter propitient, ut eis designet,

τοῦ πνεύματος χάριν ἄνωθεν ἐπικαλεσαμένους, μετὰ τὸ πολλαῖς πρότερον εὐχαῖς καὶ ἱκεσίαις ἐξιλάσασθαι θεὸν, ὥστε φανερὸν αὐτοῖς ποιῆσαι τὸν ὀρθῶς καὶ δικαίως καὶ ὡς μάλιστα θεῷ κεχαρισμένως προστησόμενον τῆς ἐκκλησίας τῶν πιστῶν, ὑπὲρ ἧς αὐτὸς ἐξέχεε τὸ αἷμα, γενόμενος ὅπερ ἡμεῖς καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν ἐνδεδυμένος, οὕτως ἐπιψηφίζεσθαι, ὃν ἂν αὐτὸς ἀποκαλύπτῃ, περιστήσαντας δὲ ἐν τρισὶ τοῖς μάλιστα δοκοῦσιν ἀξιόχρεω τὴν ψῆφον, οὕτως ἐπιτρέπειν βασιλεῖ τὴν αἵρεσιν ἑνός· ὃν δ' ἂν αὐτὸς ἕλοιτο, τοῦτον ἀποδείκνυσθαι προστάτην τῆς ἐκκλησίας, οὔτ' αὐτὸς ἠγνόουν ἄχρι νῦν, οὔτ' ὑμῶν οἴομαι οὐδένα μὴ σαφέστατα εἰδέναι. οἷα δὲ καὶ ἐπὶ τῶν λοιπῶν ἁμαρτημάτων φιλεῖ συμβαίνειν, ὅτι καίτοι μὴ ἀγνοοῦντες, ὅτι ἁμαρτάνομεν, ὅμως ὑπὸ πονηρᾶς ἀγόμενοι συνηθείας, ἢ τῷ λείῳ τῆς ἡδονῆς ἐξαπατώμενοι, περιπίπτομεν ἑκουσίως τοῖς κακοῖς καὶ τοῖς φαύλοις πάθεσι καταδουλοῦμεν ἑαυτοὺς, τοῦτ' αὐτὸ καὶ κατὰ τὴν τῶν ἀρχιερέων ἐπιλογὴν ἡμῖν συμβαίνει. σαφέστατα γὰρ εἰδότες, ὡς ἀθέμιτον αὐτοὺς πρότερον ἐπιψηφισαμένους, ὃν ἂν ἐθέλωμεν αὐτοὶ τὴν ἀρχὴν τῆς ἐκκλησίας ἐγχειρίζειν, ἔπειτα βωμολοχοῦντας ἄντικρυς καὶ κατειρωνευομένους τοῦ θεοῦ, ἐπιτρέπειν ὑμῖν τὴν ἄνωθεν ἐπικαλεῖσθαι χάριν καὶ τοῦτον ἐπιψηφίζεσθαι, ὃν αὐτοὶ πολλῷ πρότερον οὐ λογοις μόνον, ἀλλὰ καὶ πράγμασιν ἐπεψηφισάμεθα αὐτοῖς, ὅμως τολμῶμεν κακῶς καὶ ἀνοήτως, καὶ τοῦτο οὐκ ἐμοὶ μόνον εἴργασται πολλάκις, ἀλλὰ καὶ τοῖς πρότερον Ῥωμαίων βεβα-

A. C. 1353 C D

2. ἐξιλάσκεσθαι M. 19. ἐθέλομεν P. 20. τοῦ om. M.

qui recte et iuste et ex eius beneplacito maxime fideles ecclesiae moderetur, pro qua ipse nostrum similis factus et humanam imbecillitatem indutus, sanguinem suum fudit, atque ita quem ipse revelaverit, legant, tribusque propositis, qui inprimis digni videantur, imperatori unius electionem concedant, quemque ipse elegerit, hunc ecclesiae pastorem creent,) nec ipse hactenus nescivi et cuique vestrum reor esse perspectissimum. Quemadmodum vero in reliquis peccatis amat contingere, ut, quamvis nos peccare non nesciamus, tamen vitiosa ducti consuetudine, aut blandimento voluptatis decepti, sponte in mala praecipitemus et affectionibus illaudatis nos subiiciamus: sic etiam in episcopis eligendis usu venit. Cum namque sciamus, nefas esse, nos prius apud animum decernere, cui velimus ecclesiae rationes committere, postea nugantes aperte et Deum irridentes, sinere vos supernam invocare gratiam et eum nos legere, quem ipsum multo ante non verbis tantum, sed opere ipso insuper legeramus, nihilo minus male et stulte audaces sumus, quod non

A. C. 1353 σιλευκόσιν, εἰ μὴ πᾶσιν, ἀλλὰ τοῖς γε πλείοσι. περὶ μὲν οὖν ἐκείνων φαῦλον αἰδοῖ τῶν προγόνων οὐδὲν ἐρῶ, ἐμαυτὸν δ' ἁπάσαις ψήφοις ταῖς παρ' ἐμαυτοῦ ἀδικοῦντα καὶ ἀγνωμονοῦντα
P. 859 περὶ τὸν θεὸν φαίην ἂν ἁλίσκεσθαι σαφῶς. οὕτω δ' ἐμαυτοῦ κατεψηφισμένον καὶ συνεγνωκότα τὴν κακίαν, οὐδὲν, οἶμαι, λείπεται, ἢ περὶ μὲν τῶν προτέρων ἐξιλάσκεσθαι θεὸν, τοῦ λοιποῦ δὲ πρόνοιαν ποιεῖσθαι πᾶσαν καὶ σπουδὴν, μὴ τοῖς αὐτοῖς περιπεσεῖν κακοῖς, εἰ μὴ βουλοίμην ἀνίατα νοσεῖν καὶ τυφλώττειν ἑκοντὶ πρὸς τὰ καὶ λαμπρότερον ἡλίου λάμποντα καλά. τοιγαροῦν ὑμῖν ζητήσεως περὶ πατριάρχου προκειμένης νῦν, τὴν ἀρχαίαν ἐλευθερίαν ἀποδίδωμι, οὐχ ὑμῖν μᾶλλον, ἢ τῷ θεῷ, ᾧ μελήσει μάλα τὸν καλῶς τῆς ἐκκλησίας προστησόμενον ὑμῖν ἀποκαλύπτειν, ὕστερον δὲ καὶ αὐτὸς ἕνα τῶν τριῶν ἐπιψηφιοῦμαι, ὥσπερ ἔθος." τοιαῦτα
B μὲν ὁ βασιλεὺς τοῖς ἀρχιερεῦσι διειλέχθη. καὶ ἐκέλευεν ἐν ταὐτῷ γενομένους, ὅπῃ ἂν δοκῇ, τὸν ἀρχαῖον τρόπον τὴν πατριάρχου ποιεῖσθαι ἐκλογήν. εἰς τὴν ὑστεραίαν δὲ ἐκείνων γενομένων ἐν ταὐτῷ καὶ περὶ τοῦ προκειμένου σκεπτομένων, αὖθις ὁ βασιλεὺς πέμψας, τῶν τε τῇ προτεραίᾳ εἰρημένων ἀνεμίμνησκε καὶ παρῄνει πᾶσαν ἐπιδείκνυσθαι σπουδὴν, ὡς αὐτοῦ καὶ πρὸς θεὸν ἀρκοῦσαν πεποιημένου τὴν ἀπολογίαν, παντάπασιν αὐτοῖς τῆς αἱρέσεως τῆς πατριάρχου παρακεχωρηκότος καὶ πᾶσιν ἀνθρώποις ἐπιδεδειγμένου τὴν γνώμην
V. 685 φανερῶς. ἐκεῖνοι δὲ πολλὰς ὁμολογήσαντες χάριτας τῷ βα-

solum a me factum est saepius, sed et a superioribus Romanorum imperatoribus, si non omnibus, at certe pluribus. Verum de illis ob maioribus debitam reverentiam nihil sinistrum loquar, me autem a memet ipso quasi omnibus calculis iniuriae et iniquitatis erga Deum convinci aio. Et quia vitium meum agnovi meque ipse damnavi, superest hoc unum, opinor, Deum ob commissa placare ac de cetero cavere diligentissime, ne in eadem mala incurram, nisi morbo aegrotare velim insanabili et de industria in rebus honestis ipsoque etiam sole clarioribus caecutire. Proinde cum nunc de patriarcha nominando quaeratur, veterem vobis libertatem restituo, nec tam vobis, quam Deo, cui magnae curae erit, qui bene ecclesiae praefuturus sit, vobis revelare. Postea ego quoque unum ex tribus, ut mos est, decernam." Haec in conventu imperator dixit, qua nimirum ratione ritu veteri patriarcha eligendus esset. Cum postridie denuo coivissent et super negotio consultarent, iterum misit imperator, qui eos pridie dictorum admoneret, hortans, uti agerent sedulo: se enim, quomodo apud Deum se tueretur, dum electione patriarchae ipsis penitus cessisset, invenisse et mortalibus universis, quid sentiret, demonstrasse. Illi, honorifice gratiis actis pro eius erga

σιλεῖ τῆς περὶ τὰ θεῖα εὐλαβείας καὶ τῆς περὶ αὐτοὺς αἰ- A.C. 1353 δοῦς, καὶ ἐπευξάμενοι ἀγαθῶν πολλῶν ἑσμὸν, ἔπειτα τὴν C θείαν χάριν ἐπικαλεσάμενοι τοῦ πνεύματος, ἐπελέξαντο τρεῖς, Φιλόθεόν τε τὸν τῆς Ἡρακλείας ἀρχιερέα, καὶ τὸν Φιλαδελφείας Μακάριον, καὶ Νικόλαον τὸν Καβάσιλαν, ὄντα ἔτι ἰδιώτην, καὶ γράψαντες πέμπουσι τῷ βασιλεῖ τὰ ὀνόματα τῶν ᾑρημένων· βασιλεὺς δὲ εἵλετο τῶν ἄλλων μᾶλλον τὸν Φιλόθεον, καὶ οὐ πολλῷ ὕστερον πάντων, ὅσα νενόμισται, τετελεσμένων, πατριάρχης ἀπεδείκνυτο καὶ τὰ κατὰ τὴν A.C. 1354 ἐκκλησίαν πράγματα χρόνον μέν τινα διῴκησεν, ἐκβληθεὶς τῆς D ἀρχῆς μετ' οὐ πολὺ, ὥσπερ ὕστερον εἰρήσεται ὀλίγῳ, μάλιστα δὲ θαυμασίως καὶ σὺν λόγῳ τῷ προσήκοντι, καὶ πᾶσαν ἐπιδεδειγμένος ἐπιείκειαν καὶ βίου περιφάνειαν καὶ λόγου. Κάλλιστος δὲ ὁ πατριάρχης χρόνον οὐκ ὀλίγον τῇ μάρτυρος τοῦ Μάμαντος μονῇ ἐνδιατρίψας, πρῶτα μὲν διεδίδρασκεν εἰς Γαλατᾶν καὶ χρόνον τινὰ ἐκρύπτετο ἐν τοῖς Λατίνοις, ἔπειτα, αὐτῶν πραττόντων, εἰς Τένεδον ἀφῖκτο πρὸς τὸν νέον βασιλέα καὶ πολλῆς ἐτύγχανε τῆς εὐμενείας, οἷα δὴ ὑπὲρ ἐκείνου τὴν τοσαύτην κακοπραγίαν ᾑρημένος.

λη'. Ἐπεὶ δὲ ὁ κατὰ τὴν ἐκκλησίαν θόρυβος ἐπέπαυτο P. 860 καὶ πᾶσαν εἶχε τάξιν καὶ εὐαρμοστίαν, Ματθαῖος ὁ βασι- B λεὺς γενόμενος ἐν Βυζαντίῳ ἅμα βασιλίδι τῇ συζύγῳ, κατὰ τὸν ἐν Βλαχέρναις τῆς θεομήτορος ναὸν ἐστέφετο κατὰ τὸ ἔθος ὑπὸ Φιλοθέου τοῦ πατριάρχου καὶ βασιλέως τοῦ πα-

7. εἰρημένων M.

Deum pietate et erga ipsos reverentia, bonorumque multorum cumulum comprecati, divina sancti Spiritus gratia invocata, tres eligunt, Philotheum, Heracleae, Macarium, Philadelphiae episcopos, et privatum adhuc Nicolaum Cabasilam, electorumque nomina imperatori scripta mittunt, qui Philotheum maluit: et is non diu post legitimis omnibus servatis, patriarcha consecratus, ecclesiam aliquamdiu administravit: nam gradu suo brevi depulsus est, ut infra memorabimus. Administravit autem eximie atque, ut par fuit, cum summa lenitate, moribus et sermone inclitus. Callistus patriarcha cum perdiu in monasterio Mamantis martyris delituisset, primum quidem Galatam confugit, ubi ad tempus inter Latinos se abdidit. Inde eorum opera Tenedum ad iuniorem imperatorem pervenit, a quo perbenevole habitus est, ut qui ipsius causa tantam aerumnam sibi paravisset.

38. Sedato in ecclesia tumultu, cum omnia ordinem suum numerumque obtinerent, Matthaeus imperator una cum coniuge in templo Deiparae in Blachernis a Philotheo patriarcha et patre more antiquo coronatus est; qui similiter pro more coniugem coronavit.

A. C. 1354 τρός· ἔστεφε δὲ καὶ αὐτὸς κατὰ τὸ ἔθος τὴν γυναῖκα. τοιαῦτα μὲν ἐπράττετο ἐν Βυζαντίῳ. Παλαιολόγος δὲ ὁ νέος βασιλεὺς ἦν μὲν ἐν Θεσσαλονίκῃ μετὰ τῶν βασιλίδων, τῆς μητρὸς καὶ γυναικὸς, εἶχε δὲ καὶ Τένεδον τὴν νῆσον ὑφ' ἑαυτὸν, ἡγεμόνα ταύτῃ καταλιπὼν Ἰταλόν τινα Μαρτῖνον ἀπαίρων εἰς Θεσσαλονίκην. Περγαμηνὸς δέ τις τῶν Τενε- C δίων ὁ μάλιστα δυνατώτατος ἐν Θεσσαλονίκῃ συνῆν τῷ νέῳ βασιλεῖ χρόνον οὐκ ὀλίγον, ἔπειτα ἐκεῖθεν διαδρὰς καὶ γενόμενος ἐν τῇ Τενέδῳ, ἔπεισε καὶ τοὺς ἄλλους πολίτας ἀποστῆναι τοῦ νέου βασιλέως. καὶ τὸν ὑπ' ἐκείνου σφῶν ἐπιτεταγμένον ἄρχειν ἐξελάσαντες, ὥσπερ αὐτόνομοι ἐπολιτεύοντο. βασιλεὺς δὲ ὁ νέος ἐπεὶ πύθοιτο τὴν ἀποστασίαν, τριήρεις ἐκ Θεσσαλονίκης ἐφοπλίσας, ἐπέπλευσε τοῖς Τενεδίοις. οἱ δὲ αὖθις ἑτοίμως προσεχώρουν, παραδόντες τὸν Περγαμηνὸν, ὃν εἰς Θεσσαλονίκην δεσμώτην ἔπεμψε φρου- V. 686 ρεῖσθαι, αὐτὸς δὲ ἅμα Ἑλένῃ βασιλίδι τῇ γυναικὶ διῆγεν ἐν τῇ νήσῳ. Καντακουζηνὸς δὲ ὁ βασιλεὺς ἐν δεινῷ τιθέμενος D ταῖς κατὰ τὴν Θρᾴκην πόλεσι τοὺς Πέρσας ἐγκαθιδρυμένους εἶναι, (εἶχον γάρ τι φρούριον, ὥσπερ ἔφημεν, ἐν Θρᾴκῃ, Τζύμπην προσαγορευόμενον,) βίᾳ μὲν οὐκ ἐπεχείρει ἐξελαύνειν, (ᾔδει γὰρ οὐκ ἀξιόμαχος πρὸς τοσαύτην τῶν βαρβάρων δύναμιν ἐσόμενος, εἰ πόλεμον κινοίη πρὸς αὐτοὺς, τῆς Ῥωμαίων στρατιᾶς ὑπὸ τοῦ πρὸς ἀλλήλους πολέμου διεφθαρμένης,) τρόπῳ δέ τινι ἑτέρῳ διενοεῖτο τοὺς βαρβάρους τῆς Ῥω-

2. δὴ P. 13. ἐπέπλεε M. textus, ἔπλευσε mg.

Haec Byzantii. Palaeologus iunior imperator erat Thessalonicae cum matre et uxore imperatricibus tenebatque Tenedum insulam, praefecto ibi relicto quodam Martino Italo, cum Thessalonicam discederet, ubi apud eum diu diversatus est Tenedius quidam, homo opulentissimus, Pergamenus nomine, qui postea Tenedum Thessalonica fugiens, ceteris quoque insulanis persuasit, ut a iuniore imperatore desciscerent. Ita expulso praetore, quem ille constituerat, suis quodammodo legibus vivebant. Comperta defectione, imperator iunior, instructis triremibus, Thessalonica in Tenedios navigat; Tenedii prompte Pergamenum tradunt et ad fidem redeunt, quem vinctum Thessalonicam deportari et ibi custodiri iubet; ipse cum uxore Helena in insula victitat. Porro Cantacuzenus imperator inique sustinens, in Thraciae urbibus sedes ac domicilia Persas habere, (occuparant enim munitum quoddam oppidum, Tzympen appellatum, ut docuimus,) vi quidem et armis eos pellere non est aggressus, quod se tantae multitudini barbarorum imparem sciret, Romanis civili bello consumptis. Alia autem quadam via Romana provincia eos exigere meditatus est, missaque ad Orchanem generum legatione, ro-

μαίων ἐξελαύνειν. καὶ πέμψας πρεσβείαν πρὸς Ὀρχάνην τὸν A.C. 1354
γαμβρὸν, ᾔτει τὸ φρούριον ἀποδοῦναί οἱ καὶ τῆς Θρᾴκης
τοὺς βαρβάρους ἐκβαλεῖν. οὐ γὰρ δίκαια ποιεῖν αὐτὸν, οὐδὲ
προσήκοντα τῇ εἰς αὐτὸν εὐνοίᾳ, ἐν μέσῃ τῇ Ῥωμαίων γῇ
τὸ φρούριον κατέχοντα. τοῦ δὲ Σουλιμὰν τὸν υἱὸν προσ-
βαλλομένου, ὡς ὑπ᾽ αὐτοῦ τὸ φρούριον κατέχοιτο καὶ δέοιτό P. 861
τινος πρὸς τὴν ἀπόλειψιν ἀντιμισθίας, μυρίους χρυσοῦς ὁ
βασιλεὺς ὑπέσχετο παρέξειν φιλοτίμως. μετὰ μικρὸν δὲ καὶ
ἔπεμπε τοῖς βαρβάροις τὸν χρυσόν· κἀκεῖνοι ἔπεμψαν τοὺς
παραδώσοντας βασιλεῖ τὸ φρούριον. ἐν τούτοις δὲ τῶν πρα-
γμάτων ὄντων, οἷα τὰ τοῦ θεοῦ κρίματα, ἀθρόον ἐξαίσιος ἐπι-
γενόμενος σεισμὸς ἦρος ἀρχομένου, μάλιστα ἐν ἀρχαῖς τῆς
νυκτὸς τὰς παραλίους τῆς Θρᾴκης πόλεις ὀλίγου δεῖν διέ-
φθειρεν ἁπάσας. οὐ μόνον γὰρ οἰκίαι κατέπεσον ἐπὶ τοὺς κα-
τοικοῦντας καὶ διέφθειραν πολλοὺς, ἀλλὰ καὶ τὰ τῶν πό-
λεων τείχη ἐξ αὐτῶν κρηπίδων κατεβλήθη. οἱ δῆμοι δὲ τῶν
πόλεων, ὅσοι μὴ διεφθάρησαν ὑπὸ τῶν ἐρειπίων, συνιδόντες,
ὡς οὔτ᾽ ἀνορθοῦν δυνήσονται ῥᾷστα τὰ καταβεβλημένα τῶν B
τειχῶν, οὔτ᾽ ἀμύνεσθαι πρὸς τοὺς βαρβάρους, ἂν ἐπίωσιν,
ἀξιόμαχοί εἰσι, καὶ δείσαντες, μὴ ὑπ᾽ ἐκείνων ἀνδραποδισθῶ-
σιν ἐπελθόντων, τέκνα καὶ γυναῖκας ἀναλαβόντες, ἀνεχώρουν
τῆς νυκτὸς ἐπὶ τὰς ἄλλας πόλεις, ὅσας μὴ καταπεπτωκέναι
τῷ σεισμῷ ἐνόμιζον. ὄμβρων δὲ ἐπικειμένων καὶ χιόνος
καὶ ψύχους ἀμυθήτου, οἱ μὲν ὑπὸ τοῦ κρυμοῦ διεφθείροντο,

18. μεταβεβλημένα M.

gavit, uti castellum illud sibi redderet et barbaros e Thracia revocaret: praeter ius enim et amicitiam facere, dum in medio Romanorum solo oppidum possideret. Eo Sulimanum filium praetendente, qui id obtineret atque compensationem aliquam postularet, dena aureorum millia imperator libenter numeraturum se spopondit. Brevi aurum misit: Persae vicissim miserunt, qui ei oppidum proprium traderent. Rebus sic euntibus, (ut sunt iudicia Dei,) necopinato immanis superveniens terrae motus, vere ineunte, prima face, maritimas Thraciae urbes propemodum omnes evertit. Non solum quippe domus, supra habitatores corruentes, multos obtriverunt, sed etiam oppidorum moenia ab imis fundamentis prostrata sunt. Populi, quos ruinae non operuerant, videntes, se neque muros collapsos facile posse instaurare, neque incursantibus barbaris fore pares, metuentesque, ne in servitutem ab illis raperentur, assumptis liberis et uxoribus, nocte illa ad proximas urbes, quas terrae concussu non concidisse arbitrabantur, contendebant. Exsistentibus vero imbribus, nivibus et incredibili frigore, alii algore enecabantur, mulieres praesertim et infantes, reliqui, paucis exceptis, quotquot, frigore superato, ad urbes integras perfugiebant.

A. C. 1354 μάλιστα γυναῖκες καὶ βρέφη νήπια· οἱ λοιποὶ δὲ πλὴν ὀλίγων, ὅσοι τοῦ τε ψύχους ἠδυνήθησαν περιγενέσθαι καὶ πρὸς τὰς ἔτι σωζομένας πόλεις καταφυγεῖν, πάντες ὑπὸ τῶν βαρ-
C βάρων ἠνδραποδίσθησαν ἐπελθόντων. ὡς γὰρ ᾔσθοντο ἐκεῖνοι τὰ τείχη τῶν πόλεων καθῃρημένα, ὑποπτεύσαντες, ὅπερ ἦν, ὡς ἢ κρατήσουσι φευγόντων, ἢ τῶν τειχῶν καθῃρημένων, ἂν μένωσι, περιγενήσονται, ἅμα ἕῳ ἐπεστράτευσαν καὶ τῶν τε ἀνθρώπων ἐκράτουν φευγόντων καὶ τὰς πόλεις ἁπάσας ἐποιήσαντο ὑπὸ φρουρᾷ. Καλλιούπολις δὲ τῶν ὑπὸ τοῖς βαρβάροις γενομένων παραλίων κατὰ τὴν Θρᾴκην πόλεων ἡ περιφανεστέρα, πέπτωκε μὲν καὶ αὐτὴ τῶν ἄλλων μᾶλλον, ὁ δῆμος δὲ ἅπας διεσώθη ἐν τοῖς πλοίοις, ἃ ἦσαν ἐκεῖ πολλά. συμβὰν δὲ οὕτω καὶ ἐκ Βυζαντίου ἐπὶ Πελοπόννησον πλέουσα τριήρης, ἣν ἔπεμψεν ὁ βασιλεὺς Μανουὴλ δεσπότῃ τῷ υἱῷ, ὡρμίζετο ἐκεῖ τὴν νύκτα. γενομένης δὲ ἐκείνης τῆς με-
D γάλης συμφορᾶς, ὁρῶν ὁ ναύαρχος τοσούτους μέλλοντας ἀπόλλυσθαι, προσέσχε τε τῇ γῇ, καὶ ἀναλαμβάνων ὅσους ἦν ὑποδέχεσθαι ἡ τριήρης δυνατὴ, ἀνέστρεφεν εἰς Βυζάντιον, τῶν προκειμένων ἀμελήσας. Σουλιμὰν δὲ ὁ τοῦ Ὀρχάνη παῖς ἐπεὶ πύθετο τὰ κατὰ Θρᾴκην, ἐν Πηγαῖς τῇ κατὰ τὴν περαίαν τοῦ Ἑλλησπόντου πόλει διατρίβων, τὰς πρὸς βασιλέα συνθήκας παριδὼν, ἃς ἔθετο ἐπὶ τῷ Τζύμπην ἀποδιδόναι, σπουδῇ πολλῇ ἐπεραιοῦτο πρὸς τὴν Θρᾴκην, καὶ πολλοὺς τῶν ὁμοφύλων διαβιβάσας ἅμα γυναιξὶ καὶ τέκνοις, κατῴκιζε τὰς πόλεις, τὰ καταβεβλημένα ἀνορθῶν. τὴν πλείστην δὲ ἐπεδεί-

25. ἀπεδείξατο M.

omnes a barbaris occurrentibus intercepti sunt. Siquidem illi, cognito, urbium moenia corruisse, opinati rem ipsam, aut fugientium scilicet se potituros, aut, si manerent, muris prolapsis, eos devicturos, diluculo in eos ibant. Ita factum, ut et fugientes caperent, et in omnibus oppidis praesidia collocarent. Calliopolis autem, maritimarum Thraciae urbium a barbaris occupatarum illustrissima, ipsa quoque magis, quam ceterae, procubuit: populus omnis in navigiis, quae multa illic erant, servatus est. Forte Byzantio in Peloponnesum traiiciens triremis, quam imperator despotae filio mittebat, noctu ibi constitit. Cum autem calamitas tam miserabilis incidisset, cernens navarchus, adeo multos interituros, ad littus triremem advertit, susceptisque quotquot capiebat, propositi securus, Byzantium cursum reflexit. Sulimanus, Orchanis filius, Pegis urbe trans Hellespontum manens, ut accepit, quod in Thracia acciderat, spreto quod de Tzympe restituenda cum imperatore pactum fecerat, in Thraciam navigare properavit, multisque suorum civium cum uxoribus liberis traiectis, colonias deduxit, eversa reaedificans. Sed Cal-

ξατο περὶ Καλλιούπολιν σπουδήν. τά τε γὰρ τείχη ἄνωθεν A. C. 1354 ἐπεσκεύασε καὶ προσεξειργάσατο βελτίω, ἤπερ ἦσαν, καὶ τῶν ἐπιφανῶν παρ' αὐτῷ πολλοὺς ἠνάγκασεν εἰς ἐκείνην μετοικί- P. 862 ζεσθαι, καὶ στρατιὰν ἐγκαθίδρυσε πολλήν· καὶ τοῖς κατὰ Μυσίαν λυπηρὸς ἦν, μεγάλοις στρατοπέδοις ἐπιὼν καὶ πό- V. 687 λεις ἐξανδραποδιζόμενος καὶ τὴν χώραν ἅπασαν πορθῶν. βασιλεὺς δὲ ἠνιᾶτο μὲν οὐκ ὀλίγα πρὸς τὴν συμφοράν· ἀμύνεσθαι δὲ τοὺς ἀδικοῦντας ἀδυνάτως ἔχων, πρεσβείας συνεχεῖς ἐποιεῖτο πρὸς Ὀρχάνην τὸν γαμβρὸν καὶ τὰς ἡρπασμένας πόλεις ἠξίου τὸν υἱὸν ἀποδιδόναι. τῶν γὰρ ἀτοπωτάτων εἶναι, ἑνὸς μὲν αὐτοῖς φρουρίου μὴ παραχωρεῖν, ἀλλ' ἐπὶ χρήμασι ῥητοῖς συνθήκας θέσθαι πρὸς αὐτούς, ὥστε ἐκλιπεῖν, αὐτοὺς δὲ νυνὶ τοσαύτας πόλεις κατασχεῖν πρὸς τῷ μηδὲ Τζύμπην κατὰ τὰς συνθήκας ἀποδοῦναι, καὶ ταῦτα σπονδῶν B οὐσῶν καὶ βαθείας εἰρήνης πρὸς ἀλλήλους. Σουλιμὰν δὲ ἰσχυριζομένου μὴ πολέμῳ, μηδὲ βίᾳ τῶν πόλεων κεκρατηκέναι, ἀλλ' ἀοικήτους καὶ καταβεβλημένας κατασχεῖν, ἀδικεῖν αὐτοὺς τὰ ἔσχατα διετείνετο ὁ βασιλεὺς καὶ μηδὲν εἶναι τὴν σκῆψιν πρὸς τὸν τοῦ δικαίου λόγον. διενηνοχέναι γὰρ οὐδέν, εἰ διὰ τῶν πυλῶν εἰσῄει, ἢ ἄλλοθέν ποθεν. ἀλλὰ τοῦτο χρὴ σκοπεῖν, εἰ δικαίως ἐν σπονδαῖς κατασχόντες ἔχουσι. τοιαῦτα βασιλέως πρὸς τοὺς βαρβάρους διαπρεσβευομένου, Σουλιμὰν μὲν εἴχετο τῶν πόλεων καθάπαξ καὶ οὐδ' ἄχρις ἀκοῆς ὑπέμενεν ἀπολιπεῖν· Ὀρχάνης δὲ ὁ πατὴρ ἑαυτῷ τε συνειδὼς C

liopoli plurimum laboravit. Nam et muros de integro construxit et meliores ac validiores, quam tum erant, effecit, suorumque multos nobiles in illam commigrare coëgit, nec contemnendum ei praesidium addidit. Idem Moesis intolerabilis erat, dum numerosa manu impressionem faciens, captivos ex urbibus abduceret totamque regionem devastaret. Imperator hac calamitate tristissimus, cum ad coercendas iniurias satis virium non haberet, frequenti legatione Orchanem generum appellat, petens, uti Sulimanus raptas urbes restituat. Inconvenientissimum namque esse, uno castello non cessisse, nisi certam prius pecuniam pacti essent: nunc praeterquam quod Tzympen secundum conventa non reddant, etiam tot urbes in foedere ac prima pace sibi vindicare. Sulimano contra affirmante, non armis coëgisse, sed desolatas ac prostratas occupasse, imperator eos iniustissimos pronuntiare, et quod praetexerent, ad defensionem nihil illis prodesse: nihil enim referre, per portasne, an aliunde ingressi fuerint, sed hoc videndum, an iure et secundum foedus eas obtineant. Imperatore sic cum barbaris per legatos agente, Sulimanus oppida pertinaciter retinens, de iis deserendis nec verbum audire poterat. Orchanes vero pater, iniuriae violatique foederis

A. C. 1353 ἄννην, ἠναγκάσθαι καὶ Ματθαῖον τὸν υἱὸν ἀποδεικνύειν βασιλέα. μετὰ μέντοι τὴν ἀνάῤῥησιν Ματθαίου τοῦ νέου βασιλέως ἐκεῖνον μὲν εἰς τὴν Ἀδριανοῦ ἐξέπεμπεν αὖθις ὁ πατήρ, αὐτὸς δὲ ὑπελείπετο ἐν Βυζαντίῳ καὶ τὰ κατὰ τὸν πατριάρχην, ὡς μάλιστα ἐνῆν, εὖ τίθεσθαι ἐτίθετο διὰ σπουδῆς. συνεώρα γὰρ ἤδη κατὰ πᾶσαν ἀνάγκην δέον ὂν Ματθαῖον τὸν νέον βασιλέα τῷ μύρῳ χρίεσθαι κατὰ τὸ ἔθος. τοιγαροῦν καὶ μετεπέμπετο τοὺς ἀρχιερέας, ὅσους μάλιστα ἐνῆν, ἐκ τῶν κατὰ τὴν Θρᾴκην πόλεων. εἶτα ἐπειδὴ παρῆσαν, καὶ τοὺς ἐν Βυζαντίῳ διατρίβοντας ἅμα τοῖς ἔξωθεν ἐπιδεδημηκόσι
P. 857 κελεύσας ἐν βασιλείοις συνελθεῖν, ὅ,τι δέοι πράττειν περὶ Καλλίστου τοῦ πατριάρχου, πάντων ἐπυνθάνετο κοινῇ. τῶν δ' ἀπὸ συνθήματος δέον εἰρηκότων εἶναι πέμπειν πρὸς ἐκεῖνον καὶ καλεῖν ἐπὶ τὸν θρόνον, ἐπειδὴ μηδὲν ἐγκαλοῖτο ὑπὸ μηδενός, αὐτίκα τε ἐπείθετο ὁ βασιλεὺς καὶ πρεσβείαν πρὸς ἐκεῖνον ἐποιεῖτο. δύο γὰρ τῶν ἀρχιερέων ἀπολεξάμενος, τὸν Αἴνου Δανιὴλ καὶ Ἰωσὴφ τὸν Τενέδου, καὶ τοσούτους ἑτέρους τῶν ἐπιφανεστέρων τοῦ κλήρου τῆς Βυζαντίων ἐκκλησίας, Καβάσιλαν τὸν σακελλίου καὶ Περδίκην τὸν σκευοφύλακα, ἔπεμπεν εἰς τὴν μάρτυρος τοῦ Μάμαντος μονὴν πρὸς πατριάρχην καὶ ἐπὶ τοὺς θρόνους ἐκάλει καὶ τὴν ἀρχήν· οὐδένα
B γὰρ εἶναι τὸν ἀφῃρημένον· ἔφασκέ τε βέλτιον μὲν εἶναι μὴ ἀπερισκέπτως οὕτω χωρεῖν, ἐφ' ἃ μὴ δεῖ, μηδ' ἀβουλίᾳ χρώμενον, τῶν μὲν θρόνων ἀφίστασθαι ἑκόντα καὶ τοῦ

dignari compulsus sit: quem statim Adrianopolim misit: ipse Byzantii manens, controversiae, quae sibi cum patriarcha exstiterat, finem quam optimum imponere studebat sedulo. Intelligebat enim, iam plane Matthaeum novum imperatorem usitato more inungi oportere. Proinde et episcopos, quotquot commodissime poterat, ex urbibus Thraciae accersebat. Eos praesentes, simul cum iis, qui Byzantii degebant, in palatium convenire iussit: ibi eos communiter, quid Callisto patriarcha faciendum esset, interrogavit. Quibus de compacto respondentibus, in thronum revocandum, quandoquidem a nemine accusaretur, illico amplectens consilium imperator, duobus episcopis selectis, Daniele Aeni et Iosepho Tenedi, totidemque aliis de cleri Byzantini principibus, Cabasila nempe, sacrarum aedium, et Perdica, sacrorum vasorum praefectis, eos in monasterium Mamantis martyris ad patriarcham mittit et ad sedem potestatemque revocat, quam illi nemo adhuc abstulerit: et melius esse, non ita improvide procedere, quo non oportet, neque praeter rationem cum sede gregem velle desertum ire: et quae nihil attinent curiose sectantem, nunc hic, nunc ibi, munus suum praetermittentem, commorari. Si enim in eo, quod pertendebat, perstitisset, filiumque

ποιμνίου, αὐτὸν δὲ τὰ μηδὲν προσήκοντα περιεργαζόμενον, A. C. 1353
ἄλλοτε ἄλλοθι διατρίβειν, μηδὲν ποιοῦντα τῶν δεόντων. εἰ γὰρ ἔμενεν ἐπὶ τοῦ προσχήματος καὶ συνεβούλευε μὴ τὸν υἱὸν ἀναγορεύειν, αἰτίας τινὰς ἀναγκαίας τοῖς λόγοις προστιθεὶς, ἴσως ἂν καὶ διεκώλυσε· νῦν δ' οὐχ ἥκιστα καὶ τοῦτ' ἂν εἴη τῶν πεισάντων ἓν χωρεῖν ἐπὶ τοιαῦτα, ὅτι μὴ λόγοις καὶ παραινέσεσιν, ἴσως δὲ καὶ ἱκεσίαις, ὥσπερ ἔδει, ἀλλὰ βίᾳ καὶ ὥσπερ ἰσχύϊ τινὶ κωλύσειν ἐπεχείρησεν. ἐπεὶ δὲ ἀναλυθῆναι τὰ γεγενημένα οὐκ ἐνδέχεται, οὐδὲν ἂν ἡ C
διχοστασία ἔτι καὶ ἡ ἔρις συμβαλεῖται, ἀλλὰ δέον αὐτὸν ἐπὶ τὸν θρόνον καὶ τὴν οἰκείαν ἀρχὴν ἐλθόντα, τὸν νέον βασιλέα καὶ τῷ μύρῳ χρίειν, ὥσπερ ἔθος. οὐ γὰρ ἐνδέχεται τοῖς ἄλλοις παρασήμοις κοσμηθέντα, μὴ καὶ τὸν ἀρχαῖον τρόπον στέφεσθαι. τοιαῦτα μὲν πρὸς Κάλλιστον τὸν πατριάρχην διὰ τῶν πρέσβεων ἐμήνυεν ὁ βασιλεὺς, ὀρθῶς ἔχειν τὰ εἰρημένα καὶ τῶν ἀρχιερέων ἁπάντων συνεπιψηφισαμένων. πατριάρχης δὲ ἐπεὶ τοὺς βασιλέως λόγους ἤκουε, πρὸς ἔπος μὲν ἀπεκρίνατο οὐδὲν, ἀλλὰ κατὰ τοῦ ἐπιθήσοντος αὐτῷ ἀνάγκην ἐπὶ τούτῳ ἐξεφώνει χωρισμὸν ἀπὸ θεοῦ. Δανιὴλ δὲ τοῦ τῆς Αἴνου τὴν ἱεραρχικὴν ἰθύνοντος ἀρχὴν D
δυσχεραίνοντος ἐπὶ τοῖς εἰρημένοις καὶ τότε προτρέπεσθαι πατριάρχην, ἐφ' ἃ ἐπέμφθησαν, ἀπεγνωκότος διὰ τὴν ἐπιφωνηθεῖσαν ἐπιτίμησιν, δίκαιόν τε οἰηθέντος, εἰ μήθ' ἑκὼν εἶναι πρὸς τὴν ἀρχὴν αὐτὸς χωροίη, μήτ' ἀναγκάζειν

9. δὲ om. P. 11. οἰκίαν P.

non esse imperatorem salutandum argumentis quibusdam necessario concludentibus docuisset, forsitan coepta impediturum fuisse. Nunc istuc non postremum numerari posse ex iis, quae rem persuaserunt, quod non verbis et admonitionibus, forte nec diviuis precibus, ut oportebat, sed vi et velut machina aliqua negotium disturbare visus sit. Quia vero praeterita corrigi nequeant, dissensionem et contentionem nihil amplius profuturam, sed ad sedem suam regressum, imperatorem novum pro recepta consuetudine sacro oleo inungere debere. Haud siquidem fas esse, ceteris insignibus ornatum, non etiam antiquo more corona cohonestari. Haec ad Callistum per oratores imperator, eaque episcopi omnes approbarunt. Patriarcha, legatione audita, ad rem quidem nil respondit, sed eum, qui sibi propter hoc necessitatem imponeret, anathematis carmine devovit. Tum Daniel, Aeni episcopus, iratus, cum propter anathematismum ab ipso pronuntiatum hortari illum ad ea, quorum gratia venerat, supervacuum, cum iustitia autem consentiens putaret, si neque per se ac sponte gradum suum recipere vellet, neque ab alio cogi ullo modo posset, alium eius sedi praeficere, „Igitur," inquit, „aliud nihil,

A. C. 1353 αὐτὸν ἐξείη μηδενὶ, ἕτερον τοῖς θρόνοις ἐφιστᾷν, „οὐκοῦν" εἶπεν „οὐδὲν ἕτερον, σοῦ τοιαῦτα ἰσχυριζομένου, λείπεται, ἢ πατριάρχην ἕτερον ἀντεισάγεσθαι τῇ ἐκκλησίᾳ." ὁ πατριάρχης δὲ „καὶ μάλιστα βουλοίμην" εἶπεν. ἐπὶ τούτοις δὲ οἱ πρέσβεις πρὸς βασιλέα καὶ τὴν σύνοδον ἀναστρέψαντες ἀπήγγελλον, ὅσα πατριάρχης ἀποκριθείη πρὸς τοὺς λόγους· Περδίκης δὲ, τῶν πρέσβεων εἷς, τὸν ἀφορισμὸν εἶπεν ἐκπεφωνηκέναι τὸν πατριάρχην κατὰ τοῦ ἐπιθήσοντος αὐτῷ ἀνάγκην P. 858 ἐπὶ τούτῳ· ἀγνοεῖν δὲ, ὅτι βούλοιτο αὐτῷ τὸ ἐπὶ τούτῳ. V. 684 οἱ συμπρέσβεις δὲ οὐδὲν ἕτερον βούλεσθαι ἰσχυρίζοντο τὸ ἐπὶ τούτῳ εἶναι, ἢ ἐλθεῖν αὖθις ἐπὶ τὴν ἀρχὴν τῆς ἐκκλησίας, ὡς βεβαίως αὐτὴν ἀπειπαμένου, καὶ μήθ' ἑκόντα εἶναι, μήτε βιασθέντα βουλησόμενον αὖθις ἐπανήκειν πρὸς αὐτήν. οἱ μὲν οὖν πρέσβεις τοιαῦτα διενεχθέντες, συνέβησαν αὖθις πρὸς ἀλλήλους, καὶ ὁ βασιλεὺς ἐκέλευε τὸν τῆς ἐκκλησίας ὑπογραμματέα πάντα γράφειν, ἵνα μή τις ᾖ περὶ τὰ εἰρημένα ὕστερον ἀμφιβολία, εἴ ποτε δεηθείη ἐξετάσεως. μετὰ τοῦτο δὲ τῶν ἀρχιερέων ἐπὶ τὸ τίνα χρὴ τῆς ἐκκλησίας τραπομένων προϊστᾷν, οἷα δὴ τοῦ καθεστηκότος φανε- B ρῶς ἀπειπαμένου καὶ ἀνάγκην ἐπιτεθεικότος, ὥστε περὶ τῶν ἴσων λόγον κινεῖν μηδένα πρὸς αὐτὸν, „τοὺς μὲν περὶ τὴν τῶν ἀρχιερέων" εἶπεν ὁ βασιλεὺς „ἐπιλογὴν παρά τε τῶν πρώτων τῆς ἐκκλησίας διδασκάλων τῶν Χριστοῦ μαθητῶν καὶ τῶν κατ' ἴχνος ἐκείνοις ἑπομένων θείων πατέρων κειμένους νόμους, ὡς χρὴ τοὺς ἐπισκόπους ἐν ταὐτῷ γενομένους καὶ τὴν

te tam obstinato, relinquitur, quam ut loco tuo alium patriarcham in ecclesiam introducamus." Et patriarcha „Id maxime velim," inquit. Sic legati ad imperatorem et conventum revertentes, eius responsum referunt. Perdicas vero ait, patriarcham anathemate illum feriisse, qui se propter hoc cogeret: quid autem sibi velit „propter hoc," se ignorare. Tum collegae legati affirmare, nihil aliud esse propter hoc, quam ad ecclesiae gubernacula redire, quod constanter recusset, eaque nec libens, nec coactus repetiturus sit. Consentientibus in eo legatis, imperator ecclesiae notario mandavit, omnia tabulis consignare, ne qua in posterum de dictis controversia nasceretur, si ad trutinam vocarentur. Post ista episcopis in quaestione ponentibus, quisnam ad ecclesiae clavum admoveretur, quando ille, ne quis apud se super hoc ullum verbum ederet, sacra detestatione vetuisset, „De episcoporum quidem electione," ait imperator, „primorum ecclesiae magistrorum, Christi videlicet discipulorum et qui eorum vestigiis incesserunt, sanctorum Patrum leges, (nempe ut congregati uno in loco episcopi Spiritus sancti gratiam de coelo implorent multisque precibus Deum suppliciter propitient, ut eis designet,

τοῦ πνεύματος χάριν ἄνωθεν ἐπικαλεσαμένους, μετὰ τὸ πολ- A. C. 1353 λαῖς πρότερον εὐχαῖς καὶ ἱκεσίαις ἐξιλάσασθαι θεὸν, ὥστε φανερὸν αὐτοῖς ποιῆσαι τὸν ὀρθῶς καὶ δικαίως καὶ ὡς μάλιστα θεῷ κεχαρισμένως προστησόμενον τῆς ἐκκλησίας τῶν πιστῶν, ὑπὲρ ἧς αὐτὸς ἐξέχεε τὸ αἷμα, γενόμενος ὅπερ ἡμεῖς καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν ἐνδεδυμένος, οὕτως C ἐπιψηφίζεσθαι, ὃν ἂν αὐτὸς ἀποκαλύπτῃ, περιστήσαντας δὲ ἐν τρισὶ τοῖς μάλιστα δοκοῦσιν ἀξιόχρεω τὴν ψῆφον, οὕτως ἐπιτρέπειν βασιλεῖ τὴν αἵρεσιν ἑνός· ὃν δ' ἂν αὐτὸς ἕλοιτο, τοῦτον ἀποδείκνυσθαι προστάτην τῆς ἐκκλησίας, οὔτ' αὐτὸς ἠγνόουν ἄχρι νῦν, οὔτ' ὑμῶν οἴομαι οὐδένα μὴ σαφέστατα εἰδέναι. οἷα δὲ καὶ ἐπὶ τῶν λοιπῶν ἁμαρτημάτων φιλεῖ συμβαίνειν, ὅτι καίτοι μὴ ἀγνοοῦντες, ὅτι ἁμαρτάνομεν, ὅμως ὑπὸ πονηρᾶς ἀγόμενοι συνηθείας, ἢ τῷ λείῳ τῆς ἡδονῆς ἐξαπατώμενοι, περιπίπτομεν ἑκουσίως τοῖς κακοῖς καὶ τοῖς φαύλοις πάθεσι καταδουλοῦμεν ἑαυτοὺς, τοῦτ' αὐτὸ καὶ κατὰ τὴν τῶν ἀρχιερέων ἐπιλογὴν ἡμῖν συμβαίνει. σαφέστατα γὰρ εἰδότες, ὡς ἀθέμιτον αὐτοὺς πρότερον ἐπιψηφισαμέ- D νους, ὃν ἂν ἐθέλωμεν αὐτοὶ τὴν ἀρχὴν τῆς ἐκκλησίας ἐγχειρίζειν, ἔπειτα βωμολοχοῦντας ἄντικρυς καὶ κατειρωνευομένους τοῦ θεοῦ, ἐπιτρέπειν ὑμῖν τὴν ἄνωθεν ἐπικαλεῖσθαι χάριν καὶ τοῦτον ἐπιψηφίζεσθαι, ὃν αὐτοὶ πολλῷ πρότερον οὐ λογοις μόνον, ἀλλὰ καὶ πράγμασιν ἐπεψηφισάμεθα αὐτοῖς, ὅμως τολμῶμεν κακῶς καὶ ἀνοήτως, καὶ τοῦτο οὐκ ἐμοὶ μόνον εἴργασται πολλάκις, ἀλλὰ καὶ τοῖς πρότερον Ῥωμαίων βεβα-

2. ἐξιλάσκεσθαι M. 19. ἐθέλομεν P. 20. τοῦ om. M.

qui recte et iuste et ex eius beneplacito maxime fideles ecclesiae moderetur, pro qua ipse nostrum similis factus et humanam imbecillitatem indutus, sanguinem suum fudit, atque ita quem ipse revelaverit, legant, tribusque propositis, qui inprimis digni videantur, imperatori unius electionem concedant, quemque ipse elegerit, hunc ecclesiae pastorem creent,) nec ipse hactenus nescivi et cuique vestrum reor esse perspectissimum. Quemadmodum vero in reliquis peccatis amat contingere, ut, quamvis nos peccare non nesciamus, tamen vitiosa ducti consuetudine, aut blandimento voluptatis decepti, sponte in mala praecipitemus et affectionibus illaudatis nos subiiciamus: sic etiam in episcopis eligendis usu venit. Cum namque sciamus, nefas esse, nos prius apud animum decernere, cui velimus ecclesiae rationes committere, postea nugantes aperte et Deum irridentes, sinere vos supernam invocare gratiam et eum nos legere, quem ipsum multo ante non verbis tantum, sed opere ipso insuper legeramus, nihilo minus male et stulte audaces sumus, quod non

A. C. 1353 σιλευκόσιν, εἰ μὴ πᾶσιν, ἀλλὰ τοῖς γε πλείοσι. περὶ μὲν οὖν
ἐκείνων φαῦλον αἰδοῖ τῶν προγόνων οὐδὲν ἐρῶ, ἐμαυτὸν δ'
ἁπάσαις ψήφοις ταῖς παρ' ἐμαυτοῦ ἀδικοῦντα καὶ ἀγνωμονοῦντα
P. 859 περὶ τὸν θεὸν φαίην ἂν ἁλίσκεσθαι σαφῶς. οὕτω δ' ἐμαυτοῦ
κατεψηφισμένον καὶ συνεγνωκότα τὴν κακίαν, οὐδὲν, οἶμαι,
λείπεται, ἢ περὶ μὲν τῶν προτέρων ἐξιλάσκεσθαι θεὸν, τοῦ
λοιποῦ δὲ πρόνοιαν ποιεῖσθαι πᾶσαν καὶ σπουδὴν, μὴ τοῖς
αὐτοῖς περιπεσεῖν κακοῖς, εἰ μὴ βουλοίμην ἀνίατα νοσεῖν
καὶ τυφλώττειν ἑκοντὶ πρὸς τὰ καὶ λαμπρότερον ἡλίου λάμ-
ποντα καλά. τοιγαροῦν ὑμῖν ζητήσεως περὶ πατριάρχου προ-
κειμένης νῦν, τὴν ἀρχαίαν ἐλευθερίαν ἀποδίδωμι, οὐχ ὑμῖν
μᾶλλον, ἢ τῷ θεῷ, ᾧ μελήσει μάλα τὸν καλῶς τῆς ἐκκλη-
σίας προστησόμενον ὑμῖν ἀποκαλύπτειν, ὕστερον δὲ καὶ αὐ-
τὸς ἕνα τῶν τριῶν ἐπιψηφιοῦμαι, ὥσπερ ἔθος." τοιαῦτα
B μὲν ὁ βασιλεὺς τοῖς ἀρχιερεῦσι διειλέχθη. καὶ ἐκέλευεν ἐν
ταὐτῷ γενομένους, ὅπῃ ἂν δοκῇ, τὸν ἀρχαῖον τρόπον τὴν πα-
τριάρχου ποιεῖσθαι ἐκλογήν. εἰς τὴν ὑστεραίαν δὲ ἐκείνων
γενομένων ἐν ταὐτῷ καὶ περὶ τοῦ προκειμένου σκεπτομένων,
αὖθις ὁ βασιλεὺς πέμψας, τῶν τε τῇ προτεραίᾳ εἰρημένων
ἀνεμίμνησκε καὶ παρῄνει πᾶσαν ἐπιδείκνυσθαι σπουδὴν, ὡς
αὐτοῦ καὶ πρὸς θεὸν ἀρκοῦσαν πεποιημένου τὴν ἀπολογίαν,
παντάπασιν αὐτοῖς τῆς αἱρέσεως τῆς πατριάρχου παρακεχω-
ρηκότος καὶ πᾶσιν ἀνθρώποις ἐπιδεδειγμένου τὴν γνώμην
V. 685 φανερῶς. ἐκεῖνοι δὲ πολλὰς ὁμολογήσαντες χάριτας τῷ βα-

solum a me factum est saepius, sed et a superioribus Romanorum imperatoribus, si non omnibus, at certe pluribus. Verum de illis ob maioribus debitam reverentiam nihil sinistrum loquar, me autem a memet ipso quasi omnibus calculis iniuriae et iniquitatis erga Deum convinci aio. Et quia vitium meum agnovi meque ipse damnavi, superest hoc unum, opinor, Deum ob commissa placare ac de cetero cavere diligentissime, ne in eadem mala incurram, nisi morbo aegrotare velim insanabili et de industria in rebus honestis ipsoque etiam sole clarioribus caecutire. Proinde cum nunc de patriarcha nominando quaeratur, veterem vobis libertatem restituo, nec tam vobis, quam Deo, cui magnae curae erit, qui bene ecclesiae praefuturus sit, vobis revelare. Postea ego quoque unum ex tribus, ut mos est, decernam." Haec in conventu imperator dixit, qua nimirum ratione ritu veteri patriarcha eligendus esset. Cum postridie denuo coivissent et super negotio consultarent, iterum misit imperator, qui eos pridie dictorum admoneret, hortans, uti agerent sedulo: se enim, quomodo apud Deum se tueretur, dum electione patriarchae ipsis penitus cessisset, invenisse et mortalibus universis, quid sentiret, demonstrasse. Illi, honorifice gratiis actis pro eius erga

σιλεῖ τῆς περὶ τὰ θεῖα εὐλαβείας καὶ τῆς περὶ αὐτοὺς αἰ- A. C. 1353
δοῦς, καὶ ἐπευξάμενοι ἀγαθῶν πολλῶν ἑσμὸν, ἔπειτα τὴν C
θείαν χάριν ἐπικαλεσάμενοι τοῦ πνεύματος, ἐπελέξαντο τρεῖς,
Φιλόθεόν τε τὸν τῆς Ἡρακλείας ἀρχιερέα, καὶ τὸν Φιλα-
δελφείας Μακάριον, καὶ Νικόλαον τὸν Καβάσιλαν, ὄντα ἔτι
ἰδιώτην, καὶ γράψαντες πέμπουσι τῷ βασιλεῖ τὰ ὀνόματα
τῶν ᾑρημένων· βασιλεὺς δὲ εἵλετο τῶν ἄλλων μᾶλλον τὸν
Φιλόθεον, καὶ οὐ πολλῷ ὕστερον πάντων, ὅσα νενόμισται,
τετελεσμένων, πατριάρχης ἀπεδείκνυτο καὶ τὰ κατὰ τὴν A. C. 1354
ἐκκλησίαν πράγματα χρόνον μέν τινα διῴκησεν, ἐκβληθεὶς τῆς D
ἀρχῆς μετ' οὐ πολὺ, ὥσπερ ὕστερον εἰρήσεται ὀλίγῳ, μά-
λιστα δὲ θαυμασίως καὶ σὺν λόγῳ τῷ προσήκοντι, καὶ πᾶ-
σαν ἐπιδεδειγμένος ἐπιείκειαν καὶ βίου περιφάνειαν καὶ λό-
γου. Κάλλιστος δὲ ὁ πατριάρχης χρόνον οὐκ ὀλίγον τῇ μάρ-
τυρος τοῦ Μάμαντος μονῇ ἐνδιατρίψας, πρῶτα μὲν διε-
δίδρασκεν εἰς Γαλατᾶν καὶ χρόνον τινὰ ἐκρύπτετο ἐν τοῖς
Λατίνοις, ἔπειτα, αὐτῶν πραττόντων, εἰς Τένεδον ἀφῖκτο
πρὸς τὸν νέον βασιλέα καὶ πολλῆς ἐτύγχανε τῆς εὐμενείας,
οἷα δὴ ὑπὲρ ἐκείνου τὴν τοσαύτην κακοπραγίαν ᾑρημένος.

λη'. Ἐπεὶ δὲ ὁ κατὰ τὴν ἐκκλησίαν θόρυβος ἐπέπαυτο P. 860
καὶ πᾶσαν εἶχε τάξιν καὶ εὐαρμοστίαν, Ματθαῖος ὁ βασι- B
λεὺς γενόμενος ἐν Βυζαντίῳ ἅμα βασιλίδι τῇ συζύγῳ, κατὰ
τὸν ἐν Βλαχέρναις τῆς θεομήτορος ναὸν ἐστέφετο κατὰ τὸ
ἔθος ὑπὸ Φιλοθέου τοῦ πατριάρχου καὶ βασιλέως τοῦ πα-

7. εἰρημένων M.

Deum pietate et erga ipsos reverentia, bonorumque multorum cumulum comprecati, divina sancti Spiritus gratia invocata, tres eligunt, Philotheum, Heracleae, Macarium, Philadelphiae episcopos, et privatum adhuc Nicolaum Cabasilam, electorumque nomina imperatori scripta mittunt, qui Philotheum maluit: et is non diu post legitimis omnibus servatis, patriarcha consecratus, ecclesiam aliquamdiu administravit: nam gradu suo brevi depulsus est, ut infra memorabimus. Administravit autem eximie atque, ut par fuit, cum summa lenitate, moribus et sermone inclitus. Callistus patriarcha cum perdiu in monasterio Mamantis martyris delituisset, primum quidem Galatam confugit, ubi ad tempus inter Latinos se abdidit. Inde eorum opera Tenedum ad iuniorem imperatorem pervenit, a quo perbenevole habitus est, ut qui ipsius causa tantam aerumnam sibi paravisset.

38. Sedato in ecclesia tumultu, cum omnia ordinem suum numerumque obtinerent, Matthaeus imperator una cum coniuge in templo Deiparae in Blachernis a Philotheo patriarcha et patre more antiquo coronatus est; qui similiter pro more coniugem coronavit.

A. C. 1354 τρός· ἔστεφε δὲ καὶ αὐτὸς κατὰ τὸ ἔθος τὴν γυναῖκα. τοιαῦτα μὲν ἐπράττετο ἐν Βυζαντίῳ. Παλαιολόγος δὲ ὁ νέος βασιλεὺς ἦν μὲν ἐν Θεσσαλονίκῃ μετὰ τῶν βασιλίδων, τῆς μητρὸς καὶ γυναικὸς, εἶχε δὲ καὶ Τένεδον τὴν νῆσον ὑφ' ἑαυτὸν, ἡγεμόνα ταύτῃ καταλιπὼν Ἰταλόν τινα Μαρτῖνον ἀπαίρων εἰς Θεσσαλονίκην. Περγαμηνὸς δέ τις τῶν Τενε- C δίων ὁ μάλιστα δυνατώτατος ἐν Θεσσαλονίκῃ συνῆν τῷ νέῳ βασιλεῖ χρόνον οὐκ ὀλίγον, ἔπειτα ἐκεῖθεν διαδρὰς καὶ γενόμενος ἐν τῇ Τενέδῳ, ἔπεισε καὶ τοὺς ἄλλους πολίτας ἀποστῆναι τοῦ νέου βασιλέως. καὶ τὸν ὑπ' ἐκείνου σφῶν ἐπιτεταγμένον ἄρχειν ἐξελάσαντες, ὥσπερ αὐτόνομοι ἐπολιτεύοντο. βασιλεὺς δὲ ὁ νέος ἐπεὶ πύθοιτο τὴν ἀποστασίαν, τριήρεις ἐκ Θεσσαλονίκης ἐφοπλίσας, ἐπέπλευσε τοῖς Τενεδίοις. οἱ δὲ αὖθις ἑτοίμως προσεχώρουν, παραδόντες τὸν Περγαμηνὸν, ὃν εἰς Θεσσαλονίκην δεσμώτην ἔπεμψε φρου- V. 686 ρεῖσθαι, αὐτὸς δὲ ἅμα Ἑλένῃ βασιλίδι τῇ γυναικὶ διῆγεν ἐν τῇ νήσῳ. Καντακουζηνὸς δὲ ὁ βασιλεὺς ἐν δεινῷ τιθέμενος D ταῖς κατὰ τὴν Θρᾴκην πόλεσι τοὺς Πέρσας ἐγκαθιδρυμένους εἶναι, (εἶχον γάρ τι φρούριον, ὥσπερ ἔφημεν, ἐν Θρᾴκῃ, Τζύμπην προσαγορευόμενον,) βίᾳ μὲν οὐκ ἐπεχείρει ἐξελαύνειν, (ᾔδει γὰρ οὐκ ἀξιόμαχος πρὸς τοσαύτην τῶν βαρβάρων δύναμιν ἐσόμενος, εἰ πόλεμον κινοίη πρὸς αὐτοὺς, τῆς Ῥωμαίων στρατιᾶς ὑπὸ τοῦ πρὸς ἀλλήλους πολέμου διεφθαρμένης,) τρόπῳ δέ τινι ἑτέρῳ διενοεῖτο τοὺς βαρβάρους τῆς Ῥω-

2. δὴ P. 13. ἐπέπλεε M. textus, ἔπλευσε mg.

Haec Byzantii. Palaeologus iunior imperator erat Thessalonicae cum matre et uxore imperatricibus tenebatque Tenedum insulam, praefecto ibi relicto quodam Martino Italo, cum Thessalonicam discederet, ubi apud eum diu diversatus est Tenedius quidam, homo opulentissimus, Pergamenus nomine, qui postea Tenedum Thessalonica fugiens, ceteris quoque insulanis persuasit, ut a iuniore imperatore desciscerent. Ita expulso praetore, quem ille constituerat, suis quodammodo legibus vivebant. Comperta defectione, imperator iunior, instructis triremibus, Thessalonica in Tenedios navigat; Tenedii prompte Pergamenum tradunt et ad fidem redeunt, quem vinctum Thessalonicam deportari et ibi custodiri iubet; ipse cum uxore Helena in insula victitat. Porro Cantacuzenus imperator inique sustinens, in Thraciae urbibus sedes ac domicilia Persas habere, (occuparant enim munitum quoddam oppidum, Tzympen appellatum, ut docuimus,) vi quidem et armis eos pellere non est aggressus, quod se tantae multitudini barbarorum imparem sciret, Romanis civili bello consumptis. Alia autem quadam via Romana provincia eos exigere meditatus est, missaque ad Orchanem generum legatione, ro-

μαίων ἐξελαύνειν. καὶ πέμψας πρεσβείαν πρὸς Ὀρχάνην τὸν A.C. 1354 γαμβρὸν, ᾔτει τὸ φρούριον ἀποδοῦναί οἱ καὶ τῆς Θρᾴκης τοὺς βαρβάρους ἐκβαλεῖν. οὐ γὰρ δίκαια ποιεῖν αὐτὸν, οὐδὲ προσήκοντα τῇ εἰς αὐτὸν εὐνοίᾳ, ἐν μέσῃ τῇ Ῥωμαίων γῇ τὸ φρούριον κατέχοντα. τοῦ δὲ Σουλιμὰν τὸν υἱὸν προσβαλλομένου, ὡς ὑπ' αὐτοῦ τὸ φρούριον κατέχοιτο καὶ δέοιτό P. 861 τινος πρὸς τὴν ἀπόλειψιν ἀντιμισθίας, μυρίους χρυσοῦς ὁ βασιλεὺς ὑπέσχετο παρέξειν φιλοτίμως. μετὰ μικρὸν δὲ καὶ ἔπεμπε τοῖς βαρβάροις τὸν χρυσόν· κἀκεῖνοι ἔπεμψαν τοὺς παραδώσοντας βασιλεῖ τὸ φρούριον. ἐν τούτοις δὲ τῶν πραγμάτων ὄντων, οἷα τὰ τοῦ θεοῦ κρίματα, ἀθρόον ἐξαίσιος ἐπιγενόμενος σεισμὸς ἦρος ἀρχομένου, μάλιστα ἐν ἀρχαῖς τῆς νυκτὸς τὰς παραλίους τῆς Θρᾴκης πόλεις ὀλίγου δεῖν διέφθειρεν ἁπάσας. οὐ μόνον γὰρ οἰκίαι κατέπεσον ἐπὶ τοὺς κατοικοῦντας καὶ διέφθειραν πολλοὺς, ἀλλὰ καὶ τὰ τῶν πόλεων τείχη ἐξ αὐτῶν κρηπίδων κατεβλήθη. οἱ δῆμοι δὲ τῶν πόλεων, ὅσοι μὴ διεφθάρησαν ὑπὸ τῶν ἐρειπίων, συνιδόντες, ὡς οὔτ' ἀνορθοῦν δυνήσονται ῥᾷστα τὰ καταβεβλημένα τῶν B τειχῶν, οὔτ' ἀμύνεσθαι πρὸς τοὺς βαρβάρους, ἂν ἐπίωσιν, ἀξιόμαχοί εἰσι, καὶ δείσαντες, μὴ ὑπ' ἐκείνων ἀνδραποδισθῶσιν ἐπελθόντων, τέκνα καὶ γυναῖκας ἀναλαβόντες, ἀνεχώρουν τῆς νυκτὸς ἐπὶ τὰς ἄλλας πόλεις, ὅσας μὴ καταπεπτωκέναι τῷ σεισμῷ ἐνόμιζον. ὄμβρων δὲ ἐπικειμένων καὶ χιόνος καὶ ψύχους ἀμυθήτου, οἱ μὲν ὑπὸ τοῦ κρυμοῦ διεφθείροντο,

18. μεταβεβλημένα M.

gavit, uti castellum illud sibi redderet et barbaros e Thracia revocaret: praeter ius enim et amicitiam facere, dum in medio Romanorum solo oppidum possideret. Eo Sulimanum filium praetendente, qui id obtineret atque compensationem aliquam postularet, dena aureorum millia imperator libenter numeraturum se spopondit. Brevi aurum misit: Persae vicissim miserunt, qui ei oppidum proprium traderent. Rebus sic euntibus, (ut sunt iudicia Dei,) necopinato immanis superveniens terrae motus, vere ineunte, prima face, maritimas Thraciae urbes propemodum omnes evertit. Non solum quippe domus, supra habitatores corruentes, multos obtriverunt, sed etiam oppidorum moenia ab imis fundamentis prostrata sunt. Populi, quos ruinae non operuerant, videntes, se neque muros collapsos facile posse instaurare, neque incursantibus barbaris fore pares, metuentesque, ne in servitutem ab illis raperentur, assumptis liberis et uxoribus, nocte illa ad proximas urbes, quas terrae concussu non concidisse arbitrabantur, contendebant. Exsistentibus vero imbribus, nivibus et incredibili frigore, alii algore enecabantur, mulieres praesertim et infantes, reliqui, paucis exceptis, quotquot, frigore superato, ad urbes integras perfugiebant.

A. C. 1354 μάλιστα γυναῖκες καὶ βρέφη νήπια· οἱ λοιποὶ δὲ πλὴν ὀλίγων, ὅσοι τοῦ τε ψύχους ἠδυνήθησαν περιγενέσθαι καὶ πρὸς τὰς ἔτι σωζομένας πόλεις καταφυγεῖν, πάντες ὑπὸ τῶν βαρ- C βάρων ἠνδραποδίσθησαν ἐπελθόντων. ὡς γὰρ ᾔσθοντο ἐκεῖνοι τὰ τείχη τῶν πόλεων καθῃρημένα, ὑποπτεύσαντες, ὅπερ ἦν, ὡς ἢ κρατήσουσι φευγόντων, ἢ τῶν τειχῶν καθῃρημένων, ἂν μένωσι, περιγενήσονται, ἅμα ἕῳ ἐπεστράτευσαν καὶ τῶν τε ἀνθρώπων ἐκράτουν φευγόντων καὶ τὰς πόλεις ἁπάσας ἐποιήσαντο ὑπὸ φρουρᾷ. Καλλιούπολις δὲ τῶν ὑπὸ τοῖς βαρβάροις γενομένων παραλίων κατὰ τὴν Θρᾴκην πόλεων ἡ περιφανεστέρα, πέπτωκε μὲν καὶ αὐτὴ τῶν ἄλλων μᾶλλον, ὁ δῆμος δὲ ἅπας διεσώθη ἐν τοῖς πλοίοις, ἃ ἦσαν ἐκεῖ πολλά. συμβὰν δὲ οὕτω καὶ ἐκ Βυζαντίου ἐπὶ Πελοπόννησον πλέουσα τριήρης, ἣν ἔπεμψεν ὁ βασιλεὺς Μανουὴλ δεσπότῃ τῷ υἱῷ, ὡρμίζετο ἐκεῖ τὴν νύκτα. γενομένης δὲ ἐκείνης τῆς με- D γάλης συμφορᾶς, ὁρῶν ὁ ναύαρχος τοσούτους μέλλοντας ἀπόλλυσθαι, προσέσχε τε τῇ γῇ, καὶ ἀναλαμβάνων ὅσους ἦν ὑποδέχεσθαι ἡ τριήρης δυνατὴ, ἀνέστρεφεν εἰς Βυζάντιον, τῶν προκειμένων ἀμελήσας. Σουλιμὰν δὲ ὁ τοῦ Ὀρχάνη παῖς ἐπεὶ πύθετο τὰ κατὰ Θρᾴκην, ἐν Πηγαῖς τῇ κατὰ τὴν περαίαν τοῦ Ἑλλησπόντου πόλει διατρίβων, τὰς πρὸς βασιλέα συνθήκας παριδὼν, ἃς ἔθετο ἐπὶ τῷ Τζύμπην ἀποδιδόναι, σπουδῇ πολλῇ ἐπεραιοῦτο πρὸς τὴν Θρᾴκην, καὶ πολλοὺς τῶν ὁμοφύλων διαβιβάσας ἅμα γυναιξὶ καὶ τέκνοις, κατῴκιζε τὰς πόλεις, τὰ καταβεβλημένα ἀνορθῶν. τὴν πλείστην δὲ ἐπεδεί-

25. ἀπεδείξατο M.

omnes a barbaris occurrentibus intercepti sunt. Siquidem illi, cognito, urbium moenia corruisse, opinati rem ipsam, aut fugientium scilicet se potituros, aut, si manerent, muris prolapsis, eos devicturos, diluculo in eos ibant. Ita factum, ut et fugientes caperent, et in omnibus oppidis praesidia collocarent. Calliopolis autem, maritimarum Thraciae urbium a barbaris occupatarum illustrissima, ipsa quoque magis, quam ceterae, procubuit: populus omnis in navigiis, quae multa illic erant, servatus est. Forte Byzantio in Peloponnesum traiiciens triremis, quam imperator despotae filio mittebat, noctu ibi constitit. Cum autem calamitas tam miserabilis incidisset, cernens navarchus, adeo multos interituros, ad littus triremem advertit, susceptisque quotquot capiebat, propositi securus, Byzantium cursum reflexit. Sulimanus, Orchanis filius, Pegis urbe trans Hellespontum manens, ut accepit, quod in Thracia acciderat, spreto quod de Tzympe restituenda cum imperatore pactum fecerat, in Thraciam navigare properavit, multisque suorum civium cum uxoribus et liberis traiectis, colonias deduxit, eversa reaedificans. Sed Cal-

ξατο περὶ Καλλιούπολιν σπουδήν. τά τε γὰρ τείχη ἄνωθεν A. C. 1354 ἐπεσκεύασε καὶ προσεξειργάσατο βελτίω, ἤπερ ἦσαν, καὶ τῶν ἐπιφανῶν παρ' αὐτῷ πολλοὺς ἠνάγκασεν εἰς ἐκείνην μετοικί- P. 862 ζεσθαι, καὶ στρατιὰν ἐγκαθίδρυσε πολλήν· καὶ τοῖς κατὰ Μυσίαν λυπηρὸς ἦν, μεγάλοις στρατοπέδοις ἐπιὼν καὶ πό- V 687 λεις ἐξανδραποδιζόμενος καὶ τὴν χώραν ἅπασαν πορθῶν. βασιλεὺς δὲ ἠνιᾶτο μὲν οὐκ ὀλίγα πρὸς τὴν συμφοράν· ἀμύνεσθαι δὲ τοὺς ἀδικοῦντας ἀδυνάτως ἔχων, πρεσβείας συνεχεῖς ἐποιεῖτο πρὸς Ὀρχάνην τὸν γαμβρὸν καὶ τὰς ἡρπασμένας πόλεις ἠξίου τὸν υἱὸν ἀποδιδόναι. τῶν γὰρ ἀτοπωτάτων εἶναι, ἑνὸς μὲν αὐτοῖς φρουρίου μὴ παραχωρεῖν, ἀλλ' ἐπὶ χρήμασι ῥητοῖς συνθήκας θέσθαι πρὸς αὐτούς, ὥστε ἐκλιπεῖν, αὐτοὺς δὲ νυνὶ τοσαύτας πόλεις κατασχεῖν πρὸς τῷ μηδὲ Τζύμπην κατὰ τὰς συνθήκας ἀποδοῦναι, καὶ ταῦτα σπονδῶν B οὐσῶν καὶ βαθείας εἰρήνης πρὸς ἀλλήλους. Σουλιμὰν δὲ ἰσχυριζομένου μὴ πολέμῳ, μηδὲ βίᾳ τῶν πόλεων κεκρατηκέναι, ἀλλ' ἀοικήτους καὶ καταβεβλημένας κατασχεῖν, ἀδικεῖν αὐτοὺς τὰ ἔσχατα διετείνετο ὁ βασιλεὺς καὶ μηδὲν εἶναι τὴν σκῆψιν πρὸς τὸν τοῦ δικαίου λόγον. διενηνοχέναι γὰρ οὐδέν, εἰ διὰ τῶν πυλῶν εἰσῄει, ἢ ἄλλοθέν ποθεν. ἀλλὰ τοῦτο χρὴ σκοπεῖν, εἰ δικαίως ἐν σπονδαῖς κατασχόντες ἔχουσι. τοιαῦτα βασιλέως πρὸς τοὺς βαρβάρους διαπρεσβευομένου, Σουλιμὰν μὲν εἴχετο τῶν πόλεων καθάπαξ καὶ οὐδ' ἄχρις ἀκοῆς ὑπέμενεν ἀπολιπεῖν· Ὀρχάνης δὲ ὁ πατὴρ ἑαυτῷ τε συνειδὼς C

liopoli plurimum laboravit. Nam et muros de integro construxit et meliores ac validiores, quam tum erant, effecit, suorumque multos nobiles in illam commigrare coëgit, nec contemnendum ei praesidium addidit. Idem Moesis intolerabilis erat, dum numerosa manu impressionem faciens, captivos ex urbibus abduceret totamque regionem devastaret. Imperator hac calamitate tristissimus, cum ad coercendas iniurias satis virium non haberet, frequenti legatione Orchanem generum appellat, petens, uti Sulimanus raptas urbes restituat. Inconvenientissimum namque esse, uno castello non cessisse, nisi certam prius pecuniam pacti essent: nunc praeterquam quod Tzympen secundum conventa non reddant, etiam tot urbes in foedere ac prima pace sibi vindicare. Sulimano contra affirmante, non armis coëgisse, sed desolatas ac prostratas occupasse, imperator eos iniustissimos pronuntiare, et quod praetexerent, ad defensionem nihil illis prodesse: nihil enim referre, per portasne, an aliunde ingressi fuerint, sed hoc videndum, an iuse et secundum foedus eas obtineant. Imperatore sic cum barbaris per legatos agente, Sulimanus oppida pertinaciter retinens, de iis deserendis nec verbum audire poterat. Orchanes vero pater, iniuriae violatique foederis

A. C. 1354 ἀδικοῦντι καὶ παρασπονδοῦντι, καὶ ποιούμενος περὶ πλείστου τὸ βασιλέα θεραπεύειν, συνετίθετο μὲν αὐτίκα τὰς πόλεις ἀποδιδόναι βασιλεῖ. Σουλιμὰν δὲ τοῦ υἱοῦ δυσαπαλλάκτως ἔχοντος, ἐδεῖτο βασιλέως ὑπερθέσθαι τὴν ἀπόληψιν, ὡς πείσοντος αὐτοῦ τὸν υἱὸν μετὰ μικρὸν ἑκόντι τὰς πόλεις ἀποδοῦναι· ὃ καὶ ἔπραττεν ὀλίγῳ ὕστερον. πολλὰ γὰρ πολλάκις παραινέσας, ὡς χρὴ βασιλέα μὴ λυπεῖν, οὐ μόνον βεβαίως ἐμμένοντα ταῖς πρὸς αὐτοὺς σπονδαῖς καὶ μηδὲν ἠδικηκότα, ἀλλὰ καὶ τῆς συγγενείας ἕνεκα τῆς πρὸς αὐτοὺς, ἔπειτα καὶ
D χρήματα ἐπαγγειλάμενος παρέξειν, ἔπεισε τὰς πόλεις ἀποδοῦναι. οὐ μὴν ἀλλὰ καὶ βασιλεὺς τῶν πόλεων ἐκείνων ἕνεκα Σουλιμὰν ἐπηγγείλατο παρέξειν μυριάδας χρυσίου τέτταρας. δείσας δὲ Ὀρχάνης, μὴ ψευσάμενος ὁ παῖς οὐκ ἀποδῷ τὰς πόλεις βασιλεῖ, ἐσκέψατο συνελθόντας ἐν ταὐτῷ βασιλέα καὶ αὐτὸν, οὕτω Σουλιμὰν ὑποσχέσθαι ἐπ' αὐτῶν, ὡς ἀποδώσει πάντως γε τὰς πόλεις, αὐτίκα τε ἐδήλου βασιλεῖ πρὸς τὸν Ἀστακηνὸν γενέσθαι κόλπον, ὡς ἐνταυθοῖ τῆς συντυχίας ἐσομένης. δόξαν δὲ καὶ βασιλεῖ βελτίστην εἶναι τὴν βουλὴν, ἐκέλευε τριήρεις ἐφοπλίζεσθαι. ὑπὸ τοιούτων μὲν αἰτίων Ματθαῖον τὸν υἱὸν ἀποδεικνύειν βασιλέα ὥσπερ συνηλάθη Καν-
P. 863 τακουζηνὸς ὁ βασιλεύς. γνώμην δὲ εἶχε, καὶ μετὰ τὴν τοῦ υἱοῦ ἀνάῤῥησιν μέρος μὲν τῆς Ῥωμαίων ἀποτεμὼν ἡγεμονίας, ἐκείνῳ παρασχεῖν, ὥστ' ἐκείνου μόνου βασιλεύειν διὰ βίου· διάδοχον δὲ μὴ ἐξεῖναι καταλείπειν τελευτῶντα τῆς ἀρχῆς, ἀλλ' ὑπὸ τὸν ὄντα βασιλέα Ῥωμαίων αὖθις ἀναστρέ-

sibi conscius et vehementer imperatori gratificari cupiens, mox urbes redditum iri respondit. Cum Sulimanus aegerrime, quod tenebat, ex unguibus dimitteret, Orchanes dilationem aliquantam ab imperatore petivit; se filium adducturum, ut paulo post libens oppida restituat; quod et fecit. Nam saepe illum ac multum hortatus, ne imperatori moerorem afferret, non solum constanter in foedere manenti, quod cum ipsis percussisset, nihilque iniuriarum inferenti, sed et affinitatis ergo, qua cum ipso devincti essent; deinde et pecuniam ei pollicitus, eum tandem ad urbium restitutionem permovit. Quin et imperator earum causa quadraginta aureorum millia ei se daturum promisit. Metuens porro Orchanes, ne filius fidem falleret, faciundum cogitavit, ut, imperatore et se in eundem locum convenientibus, in praesentia amborum Sulimanus omnino urbes se redditurum promitteret; illicoque imperatorem ad sinum Astacenum, ut ibi congrederentur, invitavit. Qui, probato consilio, triremes instrui praecepit. Ob hasce causas Cantacuzenus filium Matthaeum imperatorem renuntiare quodammodo coactus est. Decreverat vero, eo renuntiato, partem a Romano imperio demptam illi, quoad vive-

φειν, ἄντε Ἰωάννης βασιλεὺς ὁ γαμβρὸς περιῇ, ἄντε Ἀν- A. C. 1354 δρόνικος ὁ υἱὸς αὐτῷ· βασιλέα δὲ τὸν γαμβρὸν ἀνακαλεῖσθαι αὖθις, τὸν πρὸς ἐκεῖνον καταλύσας πόλεμον καὶ τῆς Ῥωμαίων ἀρχῆς ἁπάσης αὐτῷ παραχωρεῖν, τῶν πραγμάτων ἀποστὰς αὐτὸς, καὶ πειρᾶσθαι διὰ τῆς κατὰ τὸν βίον φιλοσοφίας ἵλεων αὐτῷ ποιεῖν τὸ θεῖον. ταῦτα μὲν οὖν ἐν ὑστέρῳ πράττειν ἐβουλεύετο· τότε δὲ ἐπεὶ ἦσαν ὡπλισμέναι αἱ τριήρεις, ἐν Νικομηδείᾳ τε ἐγένετο καὶ πρέσβεις ἔπεμπε πρὸς B Ὀρχάνην τὸν γαμβρὸν, ὡς ἀφιξόμενον καὶ αὐτὸν ἐκεῖ τῶν προκειμένων ἕνεκα. ὁ δ' ἔφασκε νοσεῖν καὶ ἀδυνάτως ἔχειν τὸ νῦν εἶναι ἀπανίστασθαι τῆς κλίνης. ἀχθομένου δὲ βασιλέως καὶ σκῆψιν οἰομένου τὴν νόσον εἶναι, καὶ καταναγκάζοντος ἐλθεῖν εἰς τὴν Νικομήδους, ὥσπερ ἐπηγγείλατο, ὅρκοις V. 688 ἰσχυρίζετο νοσεῖν ὡς ἀληθῶς καὶ μηδεμίαν σκῆψιν εἶναι, μηδ' ὑπόκρισιν περὶ τὸ πρᾶγμα· ἐδεῖτό τε συγγνώμην παρασχέσθαι, καὶ ἐπηγγείλατο αὖθις, ὡς ἐν ῥηταῖς ἡμέραις ῥᾴσας ἐκτελέσει τὰ ὑπεσχημένα. ἐκεῖθεν μὲν οὖν ὁ βασιλεὺς ἄπρακτος αὖθις εἰς Βυζάντιον ἐπανῆλθε.

λθ'. Φιλόθεος δὲ ὁ πατριάρχης εἰδὼς, οἵαν γνώμην ἔχει C περὶ βασιλέων, τοῦ τε γαμβροῦ καὶ τοῦ υἱοῦ, εἰς Τένεδον αὐτοῦ ἐδεῖτο πρεσβευτὴς πρὸς βασιλέα τὸν νέον ἀφικέσθαι, D ὥστε τὸν πρὸς ἀλλήλους διαλῦσαι πόλεμον, πείσας βασιλέα τὸν νέον ἑλέσθαι, ἃ βουλεύοιτο βασιλεὺς ὁ κηδεστής. βασι-

16. ἐπηγγέλλετο M. 22. λῦσαι M. mg.

ret, subiicere, ita ut morienti nullum relinquere successorem liceret, sed tota ad imperatorem Romanorum, sive ad Ioannem generum, sive, eo mortuo, ad Andronicum, eius filium, postliminio rediret, ipsum autem Ioannem, bello posito, revocare totoque Romano imperio ei cedere seque a negotiorum turbis removere, et divinis rebus vacando, studere coeleste numen sibi placatum et amicum efficere. Haec igitur post filii creationem meditabatur. Tunc autem triremibus Nicomediam venit legatosque ad Orchanem generum, ut eodem ex condicto ob causam iam recitatam venturum, misit. Qui morbum excusavit, nec posse in praesenti de lectulo surgere. Cum id graviter ferret imperator et morbum hunc pro velamento obtendi putaret urgeretque, uti Nicomediam, quod promiserat, veniret, vere in morbo se esse nihilque simulare, iuratus confirmavit, rogans veniam et iterum promittens, post dies certos, ubi convaluerit, promissa confecturum. Imperator frustratus Byzantium revertit.

39. Philotheus autem patriarcha sciens, quid de imperatoribus genero ac filio secum animo agitaret, orabat, uti se legati loco Tenedum ad iuniorem imperatorem mitteret, pertracturum eum in sententiam soceri et bellum compositurum. Imperator, paratis triremi-

A. C. 1354 λεῖ δὲ ἐδόκει μᾶλλον, παρεσκευασμένων τῶν τριηρέων καὶ δαπάνης οὐδεμιᾶς διὰ τοῦτο δεομένων, αὐτὸν ἀφικέσθαι πρὸς τὴν νῆσον καὶ διαλύειν τὴν πρὸς βασιλέα τὸν γαμβρὸν διαφοράν. ᾤετο γὰρ, εἰ μόνον πείθοιτο αὐτὸν γενόμενον ἐγγὺς, αὐτίκα προσδραμεῖσθαι καὶ συγγνώμην ἐφ' οἷς προσκέκρουκεν αἰτήσειν· προπαρεσκευασμένον δὲ ὄντα καὶ αὐτὸν πρὸς τὴν διάλυσιν, ῥᾷστα πρὸς τὴν εἰρήνην αὖθις τὰ Ῥωμαίων καταστήσειν πράγματα. τοιαύτῃ μὲν ἐξέπλευσε γνώμῃ Βυζαντίου, ἔχων καὶ Ματθαῖον βασιλέα τὸν υἱὸν ἐν ταῖς τριή-
P. 864 ρεσιν ἅμα βασιλίδι τῇ συζύγῳ, ὡς ἂν ἐκεῖνοι μὲν ἐν Αἴνῳ ἀποβαῖεν, ὡς ἐκεῖθεν εἰς Διδυμότειχον ἀφιξόμενοι καὶ τὴν Ἀδριανοῦ, αὐτὸς δὲ ἐπὶ τὴν τοῦ γαμβροῦ τράποιτο διάλυσιν. οἷα δὲ οὐκ ἐπὶ μάχην καταπλέων, ἀλλ' εἰρήνης μᾶλλον ἕνεκα, οὐ προσέσχεν ἐπὶ Τένεδον αὐτίκα, ἀλλ' ἐπί τι νησίδιον ἀοίκητον ἐγγὺς Τενέδου, Μαυρία προσαγορευόμενον, καὶ διήγαγεν ἐκεῖ τὸ λεῖπον τῆς ἡμέρας καὶ τὴν ἐπιοῦσαν νύκτα. εἰς τὴν ὑστεραίαν δὲ ἄρας ἐκεῖθεν, ἐφ' ἕτερον ὡρμίζετο νησίδιον, ἅγιον Ἀνδρέαν προσαγορευόμενον, ἐλπίζων, ἀφίξεσθαι πρεσβείαν παρὰ βασιλέως τοῦ γαμβροῦ περὶ εἰρήνης. ὡς δὲ οὐδὲν ἀπήντα κατ' ἐλπίδας, (τῶν γὰρ συνόντων αὐτῷ τινες
B ναυάρχων δύσνως ἔχοντες, πέμψαντες πρὸς βασιλέα τὸν νέον, παρῄνουν μὴ δέχεσθαι τὴν εἰρήνην, ἀλλ' αἱρεῖσθαι τὸν πόλεμον μᾶλλον, ὡς αὐτῶν συγκατεργασομένων πάντα,) οὐδ' οὕτω μὲν ἐπὶ τὴν πόλιν ἧκε τὴν κατὰ τὴν νῆσον, ᾗ διέτρι-

1. τῶν om. M. 7. διαλύσειν P. τὴν ante εἰρήνην om. M.

bus ac nullo sumptu novo ob hoc egentibus, per se in insulam proficisci et cum genero resarcire concordiam malebat. Existimabat enim, simul ut audiret, ipsum appropinquare, statim occursurum veniamque pro commissis petiturum: cumque et ipse a pacificatione haud abhorreat, facillime rursus ad tranquillitatem rem publicam redacturum. Hoc consilio cum Matthaeo filio et uxore eius Byzantio solvit, ut illi quidem ad Aenum descenderent, inde Didymotichum et Adrianopolim abituri, ipse ad generum pacificandum porro navigaret. Perinde autem, atque si non belli, sed pacis causa susceptus esset hic cursus, non statim ad Tenedum, sed ad parvam insulam desertam iuxta Tenedum, Mauriam appellatam, appulit ac reliquum diei et noctem insequentem ibi mansit. Postridie ad alteram insulam, similiter parvam, sancti Andreae vocatam, delatus, a genero legatos de pace venturos exspectabat. Ubi nihil pro spe accidit, (etenim ex navarchis maligni quidam ad Palaeologum mittentes eumque a pace deterrentes, ad bellum instigabant atque in id opem suam omnes spondebant,) ne sic quidem in insulae urbem, in qua imperator iunior morabatur, sed in partem alteram, Borium

βεν ὁ βασιλεὺς, ἀλλ' ἐφ' ἕτερον μέρος πρὸς τὸν Βόριον ὠνο- A.C. 1354
μασμένον ἐγχωρίως ποταμὸν, ὡς ὑδρευσομένων δῆθεν τῶν
τριηριτῶν ἐκεῖθεν. οἱ τῷ νέῳ δὲ βασιλεῖ συνόντες ὁπλῖται
καὶ ἱππεῖς, τῶν τριηρέων καταγομένων, ἐλθόντες ἐπὶ τὸν πο-
ταμὸν ἔβαλον ἀπὸ τῆς γῆς καὶ κωλύειν ἐπειρῶντο τὴν ἀπό-
βασιν. οἱ δὲ βιασάμενοι ἀπέβησαν καὶ ὑδρεύσαντο ἐκεῖθεν.
ὁρῶν δὲ ὁ βασιλεὺς πρὸς οὐδὲν ὀνήσουσαν τὴν καρτερίαν,
(οὔτε γὰρ πολεμεῖν ᾑρεῖτο τῷ γαμβρῷ καὶ κακοῦν τὴν νῆσον, C
οὔτε περὶ τῆς εἰρήνης οὐδεμία ἔτι ὑπελείπετο ἐλπὶς, βασι- V. 689
λέως τοῦ νέου οὐ μόνον οὐ πρεσβευσαμένου, ὥσπερ ἤλπιζεν,
ἀλλὰ καὶ φανερῶς ἐξαγομένου πρὸς τὸ πολεμεῖν,) τάχιστα
ἐκεῖθεν ἀπεχώρει εἰς τὴν Αἶνον, ἔνθα Ματθαῖος ἀπέβαινεν
ὁ νέος βασιλεὺς μετὰ τῆς γυναικὸς, κἀκεῖθεν ἀπεχώρει ἐπὶ
Διδυμότειχον καὶ τὴν Ἀδριανοῦ· Καντακουζηνὸς δὲ ὁ βα-
σιλεὺς τέτταρας ἡμέρας πρὸς τῇ Αἴνῳ διατρίψας, εἰς Βυ-
ζάντιον ἀνέστρεφε. Παλαιολόγος δὲ ὁ βασιλεὺς αὖθις ὑπε-
λείπετο ἐν τῇ Τενέδῳ, καὶ ὅσα πράττειν ὑπὲρ τῆς ἀρχῆς
ἐξῆν, ἠμέλει οὐδενός· ἔφασκε δὲ ὕστερον ἐν τῆς εἰρήνης τοῖς
καιροῖς, ὡς, ἐπιπλέοντος αὐτῷ βασιλέως τοῦ κηδεστοῦ, δια- D
λεχθεῖεν μὲν κρύφα καὶ οἱ ναύαρχοι, μὴ δέχεσθαι τὴν εἰρή-
νην, μηδὲ πρεσβείαν τινὰ ποιεῖσθαι πρὸς αὐτόν. ἐκεῖνον μέν-
τοι μὴ τούτου ἕνεκα ἀποσχέσθαι τῆς εἰρήνης, (εἰδέναι γὰρ
ἐκείνους οὐ τὰ βελτίω καὶ κοινῇ λυσιτελοῦντα συμβουλεύον-
τας,) ἀλλ' ὅτι Ματθαῖος ὁ υἱὸς συνῆν, σφόδρα ἄχθεσθαι καὶ
δυσανασχετεῖν, εἰ δόξειεν αὐτὸς ἐκείνου δεῖσθαι καὶ αὐτο-

nominatam, ad aquationem illic e flumine faciendam perrexit. Triremibus eo provectis, pedites et equites Palaeologi ad flumen procedentes et e terra iaculantes, descensu advenas prohibere conabantur. Illi vi contra nitentes descendunt et aquantur. Videns porro Cantacuzenus, inutilem fore patientiam, (neque enim pugnare in generum et insulam depraedari volebat, neque pacis ulla spes dabatur, Palaeologo non modo legatum nullum mittente, contra quam sperabatur, sed apertum etiam bellum parturiente,) quam primum inde Aenum recessit, ubi Matthaeus novus imperator et uxor descendentes, inde Didymotichum et Adrianopolim abierant. Cantacuzenus quatriduum Aeni subsistens Byzantium rediit, Palaeologo in insula Tenedo manente, et quae pro imperio asserendo poterat, eorum nihil omittente. Confessus est postea, pace facta, ad se navigante socero, secum clam egisse navarchos eius, ne pacem faceret, neve quempiam legatum mitteret. Tamen non se idcirco pacem noluisse: vidisse enim illos non meliora et in commune utilia suadere: sed quia simul advenisset Matthaeus filius, id vehementer succensuisse aegreque tulisse, quod ipse eius indigere ac, velut bello

A. C. 1354 μολεῖν ἐπὶ τῷ δέχεσθαι τῆς βασιλείας κοινωνον, ὥσπερ ἀπαγορεύσαντα πρὸς τὸν πόλεμον καὶ τὴν γνώμην ἡττημένον. ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καὶ Σουλιμὰν ὁ τοῦ Ὀρχάνη ἐπεστράτευσε Γαλάταις μεγάλῳ στρατοπέδῳ ὑπὸ τῶν ἑῴων Σκυθῶν κατεχομένοις, καὶ ἐξεπολιόρκησε κατὰ τὸ θέρος ἐκεῖνο δύο πόλεις τὰς ἐπιφανεστέρας παρ' αὐτοῖς, Ἄγκυραν καὶ Κράτειαν. P. 865 ἐκεῖθεν δὲ ὑποστρέψας νικητὴς φθινοπώρου ἀρχομένου, πρεσβείαν ἔπεμψεν αὐτός τε καὶ ὁ πατὴρ πρὸς Καντακουζηνὸν τὸν βασιλέα, φάσκοντες ἐθέλειν αὐτῷ παραδιδόναι τὰς κατὰ τὴν Θρᾴκην πόλεις, ὥσπερ ἐπηγγείλαντο· ἐπ' αὐτῷ δὲ εἶναι παραλαμβάνειν, ἡνίκα ἂν ἐθέλοι. πολλὰς δὲ αὐτοῖς ὁμολογήσας χάριτας ὁ βασιλεὺς τῆς εἰς αὐτὸν εὐνοίας καὶ τοὺς πρέσβεις δώροις φιλοτίμως ἀμειψάμενος ἀπέπεμψε, προθεσμίαν θέμενός τινα, ἐν ᾗ αὐτόν τε ἔδει καὶ τοὺς παραδώσοντας τὰς πόλεις εἶναι πρὸς τὴν Θρᾴκην, ὥστε, τῶν βαρβάρων ἐξελαυνομένων, ἀντεισάγειν αὐτὸν φρουροὺς καὶ προνοεῖσθαι τῶν πόλεων, ὡς ἂν μάλιστα αὐτῷ δοκῇ. καὶ παB ρεσκευάζετο πρὸς τοῦτο. ἐν τούτῳ δὲ Παλαιολόγος ὁ βασιλεὺς τριήρη μίαν, ἥνπερ εἶχεν, ἐφοπλίσας καὶ μονήρεις τινὰς συμπορισάμενος ἐκ Τενέδου ἀθρόον, μηδενὸς εἰδότος, ἐπέπλευσε Βυζαντίῳ καὶ ἐγένετο νυκτὸς ἔνδον τοῦ ἐν Ἑπτασκάλῳ νεωρίου. τῆς φήμης δὲ διαδοθείσης πρὸς τὴν πόλιν, σύγχυσις δεινὴ καὶ ἀταξία τὸ πᾶν κατεῖχε, καὶ ὁ δῆμος ὥρμητο μὲν βασιλεῖ τῷ νέῳ συμμαχεῖν, τὴν δὲ Καντακουζη-

11. ἐθέλει P.

desperato, et sententia victus ad suscipiendum imperii collegam perfugere videretur. Sub idem tempus Sulimanus, Orchanis filius, in Galataeos in Scythia orientali magnas copias agens, per aestatem illam duas eorum urbes insigniores, Ancyram et Crateam, expugnavit. Inde victor ineunte autumno reversus, ipse et pater oratores ad Cantacuzenum mittunt, Thraciae urbes, sicut essent polliciti, velle restituere: eius arbitrii esse, quando libuerit, eas accipere. Imperator humanitatem istam liberali gratiarum actione et legatos donis magnificis prosecutus, diem praefinivit, quo ipse et qui eorum nomine urbes traditur essent, in Thracia comparerent, ut, barbaris exactis, ipse praesidia sua induceret et quam optime liceret, illis prospiceret: iamque ad hoc se accingebat. Interea Palaeologus, una, quam habebat, triremi instructa et aliquot conquisitis, Tenedo derepente, ignaris omnibus, Byzantium versus cursum instituit et noctu in navale Heptascali pervenit. Fama autem per urbem didita, omnia plena turbarum et magnae confusionis exstiterunt, populusque pro Palaeologo decertare gestiebat, sed Cantacuzeni potentiam reformidans, (putabat enim statim arma expediturum,) se cohibuit sensim-

νοῦ τοῦ βασιλέως δεδοικότες δύναμιν, (ἤλπιζον γὰρ αὐτὸν A.C. 1354 αὐτίκα χωρήσειν ἐπὶ μάχην,) συνεστέλλοντο καὶ ὑπεχώρουν. βασιλεὺς δὲ ὁ Καντακουζηνὸς ἐπεὶ πύθοιτο ἔνδον Βυζαντίου ὄντα βασιλέα τὸν γαμβρὸν, τὸ μὲν ἐπὶ μάχας χωρεῖν καὶ C φόνους ἀπηγόρευε παντάπασι, παρόντος δὲ καὶ Κυδώνη, ὃς ἔνδον βασιλείων διέτριβεν ἀεὶ, οὐ μόνον διὰ τὴν εὐμένειαν, ἣν πολλὴν παρὰ βασιλέως ἐκαρποῦτο, ἀλλ' ὅτι καὶ τοῖς πράγμασι μεσάζων ἀνάγκην εἶχεν ἀεὶ συνεῖναι βασιλεῖ νύκτωρ καὶ μεθ' ἡμέραν, πρὸς Εἰρήνην βασιλίδα τὴν γυναῖκα εἶπεν. „εἰ μὲν μὴ πρότερον ἐδέδοκτο ἡμῖν τῶν πραγμάτων ἀναχωρεῖν καὶ τῶν θορύβων, καὶ μοναχῶν ἐνδύντας σχῆμα, πρὸς τὴν μέλλουσαν ἐκείνην εὔκλειαν ἐπείγεσθαι καὶ εὐδοξίαν, οὐδὲν ἂν ἦν ἀναγκαιότερον, οὐδὲ μᾶλλον λυσιτελοῦν ἐν τῷ παρόντι ἢ τὴν στρατιὰν ἀναλαβόντα, χωρεῖν εὐθὺ τῶν πολεμίων, καὶ φείδεσθαι μηδενὸς, ἀλλὰ διὰ πάντων D ἰέναι, ἄχρις ἂν ἐξελάσαιμεν τῆς πόλεως· ὃ μάλιστα ῥᾷστα ἂν κατειργασάμεθα, ὅσον ἀπό τε τῆς ἐκείνων ἀδυναμίας καὶ τῆς ἡμετέρας δυνάμεως ἔστι στοχάζεσθαι. εἰ δὲ νικῶσί τε ὁμοίως καὶ ἡττωμένοις τὸ τῶν πραγμάτων ἀναγκαίως πρόκειται ἀποχωρεῖν, τί δεῖ φόνων καὶ πολέμων ἡμῖν, οὐδὲν πλέον ἕξουσιν ἐκ τούτων, ἢ τὰς ἐκ τῶν φόνων κηλῖδας καὶ τοὺς V. 690 διὰ βίου τοῦ συνειδότος δεινοὺς ἐλέγχους, (ἐῶ γὰρ τὰς ἐν τῷ μέλλοντι βίῳ τοῖς τοιαῦτα τολμῶσιν ἀποκειμένας τιμωρίας,) ἀλλὰ μὴ πρόφασιν τὴν βασιλέως θεμένους ἐπιδημίαν,

que subduxit. Cantacuzenus ubi generum Byzantii esse audivit, ad conflictum caedesque procedere prorsus noluit. Praesente autem Cydone, qui in regia erat assiduus, non solum quia imperatori carissimus, sed quia etiam privatarum rerum comes necesse habebat ab eo nec noctu, nec interdiu discedere, Irenen imperatricem his vocibus compellavit: „Siquidem antehac nobis non stetisset a negotiis ac tumultibus recedere et, monastica veste indutos, ad futuram illam gloriam claritatemque festinare, nihil erat in praesens tam necessarium tamque frugiferum, quam, coacto milite, protinus obviam ire hostibus ac parcere prorsus nemini, donec omnes urbe expulissemus: quod factu facillimum fuisset, quantum ex illorum infirmitate et nostris viribus coniectare licet. Verumtamen si nobis, seu vincamus, seu vincamur, his rebus valedicere necesse est, quid pugna ac caedibus opus? Et cum nihil inde emolumenti ad nos redeat, nisi labes animi ob effusum sanguinem et in omni vita acres conscientiarum stimuli, (ut taceam de suppliciis huiuscemodi patrantibus in futurum repositis,) cur non potius imperatoris adventum occasionem omnia deserendi facimus et saluti nostrae soli inservimus? Quodsi inter filium et generum restinguere bellum

A. C. 1354 πάντα καταλείπειν, καὶ μόνου γίνεσθαι τοῦ σώζεσθαι; εἰ δὲ μὴ διαλελυκέναι τὸν πόλεμον ἠδυνήθημεν τῷ τε υἱῷ καὶ τῷ P. 866 γαμβρῷ, ἀλλ' ὑπολέλειπται αὐτοῖς ἡ ἔρις περὶ τῆς ἀρχῆς, ἀλλ' ἐκεῖνο χρὴ σκοπεῖν, ὡς, εἰ μὲν αἱμάτων χωρὶς καὶ φόνων πράττειν τοῦτ' ἐξῆν, ὥσπερ ἐβουλόμεθα, ἦν ἂν ἔργον ἄξιον εὐχῆς. νυνὶ δὲ εἰς τοιαύτην ἀνάγκην περιέστηκεν ἡμῖν τὰ πράγματα, ὥστ' ἢ ἑκόντας ὑποχωρεῖν, ἢ μαχομένους κτείνειν τοὺς πολεμίους, ἢ αὐτοὺς ἀποθνήσκειν, ἂν συμβαίη. ὅτε τοίνυν τό,τε ἡττᾶσθαι τῶν αἰσχίστων καὶ δεινὸν, καὶ τὸ νικᾷν ὁμοίως οὐδεμιᾶς ἀπολείπεται κακοπραγίας, ὅτου ἕνεκα μὴ τὸ κοινῇ τε ὁμοίως καὶ ἡμῖν αἱρησόμεθα λυσιτελοῦν;" πρὸς ταῦτα οὐδ' ἡ βασιλὶς ἀνένευεν, ἀλλὰ ἐπείθετο τῷ βασιλεῖ βουλευομένῳ τὰ βελτίω. ἐν βασιλείοις δὲ τῶν B μάλιστα εὔνων βασιλεῖ τῷ Καντακουζηνῷ συνηθροισμένων, οὐ τῶν στρατιωτῶν μόνων, ἀλλὰ καὶ τῶν εὐγενεστέρων οὐκ ὀλίγων, θόρυβος ἦν καὶ ταραχὴ, καὶ πάντες ἐπιέναι δεῖν τοῖς πολεμίοις συνεβούλευον. μάλιστα δὲ ἐθορύβουν τὸ ἐκ Κατελάνων μισθοφορικὸν καὶ ἠξίουν βασιλέα τοῖς πολεμίοις ἐπάγειν σφᾶς, ὡς ῥαδίως ἐξελάσοντας τῆς πόλεως. ὁ δὲ τό,τε μάχεσθαι παντάπασιν ὡς ἀλυσιτελὲς ἀπειρηκὼς, τῇ τε στρατιᾷ τὴν γνώμην, ἥνπερ ἔχει περὶ τῶν πραγμάτων, φανερὰν ποιεῖν μὴ προσήκειν οἰηθεὶς, (ὑφαιρήσειν γὰρ ἂν αὐτῶν οὐκ ὀλίγον τῆς τόλμης καὶ τῆς περὶ αὐτὸν σπουδῆς καὶ C προθυμίας, ὥσπερ ἦν εἰκὸς, λογισαμένους, ὡς οὐδεὶς ἀμεί-

1. καταλιπεῖν M. 8. συμβαίνῃ M. 9. δείνων M. 22. αὐτοὺς fortasse. 23. ὀλίγων P. 24. ἦν om. P. λογισαμένης P.

nequivimus, sed adhuc super imperio contendunt, at certe illud videndum, si citra sanguinem ac caedem facere illud liceret, ut volebamus, quam esset opus egregium. Nunc in eam necessitatem delapsi sumus, ut aut sponte recedendum ab his rebus, aut pugna occidendi hostes, aut nobis ipsis fortasse moriendum sit. Quoniam igitur et vinci turpissimum atque calamitosissimum, et vincere similiter infelicissimum est, cur et communi et nobis ipsis nolimus consulere?" Huic imperatoris consilio tamquam salutari, haud repugnavit imperatrix. Congregatis porro in palatio, qui Cantacuzeno favebant impensissime, non militibus modo, sed et nobilioribus non paucis, turbatum est non mediocriter, cum omnes in hostes invadendum suaderent. Praecipue tamen Catalani mercenarii fremebant et se in hostes immitti flagitabant: nullo quippe negotio illos urbe depulsuros. At imperator cum pugnae copiam prorsus ut inutilem negaret consiliumque suum militibus minime manifestandum arbitraretur, (ne audaciam eorum et studium alacritatemque erga se non parum imminueret, ratiocinantium, ut esset verisimile, neminem eo-

ψεται αὐτοὺς τῆς ἀνδραγαθίας χάριν, ἂν βασιλεὺς τοῦ ἄρ- A. C. 1354 χειν ἀποστῇ,) λόγοις παράγειν ἐπειρᾶτο καὶ ἀμβλύνειν τὴν ὁρμήν. „εἰ μὲν γὰρ πρὸς ἀλλοφύλους" ἔφασκεν „ἦν ὁ πόλεμος ἡμῖν, οὓς ἄν τις ἀποκτείνας καθαρὰν σχοίη καὶ λύπης ἀμέτοχον τὴν ἐκ τῆς νίκης ἡδονὴν, οὐκ ἂν οὐδ' αὐτὸς μέλλειν ὑμῖν, οὐδ' ἀναδύεσθαι τὴν μάχην συνεβούλευσα, ἀλλ' αὐτίκα ἐπιέναι. νικῶντές τε γὰρ ἂν ἀνδρίας καὶ τόλμης εὔκλειαν ἠράμεθα, καὶ ἀποθνήσκουσι πάσης εὐδοξίας κατελείπετο μνημεῖον, ὥσπερ ἦν προσῆκον ἀνδράσιν ἀγαθοῖς ἠγωνισμένοις. νυνὶ δὲ τὸ συγγενεῖς τε μάλιστα καὶ ὁμοφύλους εἶναι τοὺς ἀντικαθισταμένους, πᾶσαν περιήρηκεν ἡμῶν φιλοτιμίαν. ὁμοίως γὰρ καὶ ἡττώμενοι καὶ νικῶντες πολλὴν D ἐν τοῖς εἰσέπειτα προστριψόμεθα τὴν ἀδοξίαν ἑαυτοῖς. ἀλλ' εἴ τι πείθεσθαί μοι δεῖ, πολλῶν πολέμων ἐμπείρῳ καὶ πραγμάτων διὰ βίου παντὸς γεγενημένῳ καὶ καλῶς εἰδότι πραγμάτων χρῆσθαι μεταβολαῖς καὶ δυσχερείαις, τούτους μὲν ἐᾶν προσῆκον εἰκῇ καὶ μάτην κοπτομένους καὶ ἀνήνυτα πονοῦντας, σαφῶς εἰδότας, ὡς οὐδὲν δυνήσονται πλέον ἀπώνασθαι τῆς μοχθηρίας· αὐτοὺς δὲ, σωφρόνων ἐχομένους λογισμῶν καὶ προσηκόντων ἀνδράσι ἀγαθοῖς, τὴν ἐκ τῶν ἄλλων πόλεων περιμένειν στρατιάν. ὅ,τε γὰρ υἱὸς ἀφίξεται τάχιστα μετὰ τῆς στρατιᾶς πεπυσμένος τὸ συμβὰν, καὶ Νικηφόρος δεσπότης ὁ γαμβρὸς, Ἀσάνης τε ὁ σεβαστοκράτωρ καὶ οἱ ἄλλοι ἡγεμόνες, οὓς αὐτὸς διὰ γραμμάτων μεταπέμψομαι. ἐκεί- P. 867

8. ἀπελίπετο M.

rum strenuitatem remuneraturum, si imperator imperio se abdicans, verba eis dare et eorum impetum retardare conetur,) „Si contra exteros," inquiebat, „nobis bellum esset, quibus quis interemptis pura frueretur et vacua omni moerore laetitia, nec ego quidem vobis suasissem differre pugnam, aut respuere, sed hostem potius statim aggredi: si enim vicissemus, fortitudinis et audentis animi gloriam retulissemus, occumbentium autem, tamquam virorum fortium, fuisset apud posteros inclyta memoria. Iam quia potissimum cognati et cives sunt adversarii, hoc ipsum laudi nostrae obstat maxime: aeque enim victi victoresque famam nostram ad posteritatem commaculabimus. Sed, si qua mihi, multa qua toga, qua militia, tot annis experto, rerumque vicissitudines et difficultates probe callenti, fides habenda est, hos quidem inaniter ac frustra fatigari nulloque effectu laborare sinamus; sane et certo sciant, nihil ex improbitate sua lucri facturos. Nos vero quae viros prudentes ac fortes decent, cogitantes, ex aliis urbibus milites exspectemus. Nam et filius, ubi, quod evenit, intelliget, celerrime cum agmine aderit, et Nicephorus despota gener et Asanes sebastocrator et alii duces,

A. C. 1354 νων δὲ ἁπάντων γενομένων ἐνταυθοῖ, οὐδὲ εἰς χεῖρας τολμήσουσιν ἰέναι οἱ πολέμιοι, ἀλλ' οἰχήσονται, τῇ ὄψει μόνῃ καταπλαγέντες, καὶ ἀναιμωτὶ τὴν νίκην παραδώσουσιν ἡμῖν." ταῦτα εἶπε, καὶ αὐτίκα πρός τε τὸν υἱὸν καὶ τοὺς ἄλλους εἰς Βυζάντιον ἰέναι τὴν ταχίστην γράμματα ἔπεμπεν ὑπὸ ταῖς ὄψεσιν ἁπάντων. ἔγραφε δὲ καὶ τοῖς κατὰ τὴν Θρᾴκην ἡγεμόσι τῶν βαρβάρων, κατὰ τάχος καὶ αὐτοὺς ἥκειν συμ-
V. 691 μαχήσοντας. πάντα δὲ ταῦτα τῶν συνόντων ἕνεκα ἐπλάττετο. αὐτὸς γὰρ ἤδη παρεσκεύαστο τῶν πραγμάτων ἀποχωρεῖν καὶ καταλείπειν τὴν ἀρχήν. καίτοι γε εἰ καὶ τὰ μάλιστα ὥρμητο
B ἀντιποιεῖσθαι τῆς ἀρχῆς καὶ τοῖς ἐπιοῦσιν ἀντικαθίστασθαι πρὸς μάχην, οὐδ' οὕτως ἂν ἐχρήσατο τῇ δυνάμει τῶν βαρβάρων. Φιλόθεος γὰρ ὁ πατριάρχης μετὰ τὸ τῶν ἱερῶν ἐπιβῆναι θρόνων προσελθὼν καὶ διαλεχθεὶς περὶ τοῦ πράγματος, ὡς οὐκ ἂν ἀρέσκοι θεῷ τοῖς ἀπὸ Χριστοῦ καλουμένοις τὴν βαρβαρικὴν ἐπάγειν δύναμιν καὶ διαφθείρειν τοὺς οὐδὲν ἠδικηκότας γεωργούς τινας ἢ καὶ στρατιώτας ἀγομένους ὑπὸ τῷ σφῶν δεσπότῃ καὶ πᾶσαν ἀνάγκην ἔχοντας τὰ κελευόμενα ποιεῖν, τῶν ἀδικούντων μάλιστα ἐν ἀσφαλείᾳ ὄντων. καὶ γὰρ καὶ κατὰ τὸν τοῦ ἐμφυλίου πολέμου χρόνον τῶν ἐλαυνόντων καὶ συκοφαντούντων οὐδενὸς ἢ ὀλίγων τῆς
C μοχθηρίας δίκας δόντων, τὰ μυρία πλήθη τῶν οὐδὲν εἰσενηνεγμένων εἰς τὸν πόλεμον ἀπώλετο· καὶ ὕστερον Κράλη ἀδικοῦντος καὶ ἐπιορκοῦντος καὶ τῆς ἀρχῆς οὐκ ὀλίγον μέ-

20. καὶ ante κατὰ om. P.

quos per litteras accersam. Qui ubi omnes affuerint, nec ad manus quidem venire audentes, sed attoniti, incruentam nobis victoriam dabunt." His dictis, litteras actutum ad filium et alios in conspectu omnium dat, quibus Byzantium evocantur. Scribit item ducibus barbarorum per Thraciam, ut et ipsi sine mora auxilio veniant. Ceterum haec omnia propter domesticos fingebantur: iam enim paratus erat, se imperio abdicare et nuntium caducis mittere. Quamquam si maxime id sibi voluisset asserere et vi hostem repellere, ne sic quidem usus esset barbarorum subsidiis. Philotheus enim patriarcha, ubi sedem sacram conscendit, cum eo super hoc negotio disserens affirmavit, non placere Deo, barbaros contra Christianos induci et agricolas quosdam, aut etiam milites innocentes interfici, quippe a domino suo adactos et penitus necesse habentes iussa facessere, cum qui laeserint, securissime vivant. Etenim et civilis belli tempore impellentium et calumniantium nullo aut paucis sui sceleris poenas persolventibus, innumerabilis eorum multitudo, qui ad bellum conflandum nihil contulerant, periit; et postea cum Crales iniurias daret ac peieraret et de imperio non parvam partem

ρος παραιρουμένου, στρατιὰν βαρβαρικὴν ἐπαγαγὼν, τὸν A. C. 1354 μὲν ἀδικοῦντα ἐλύπησεν ὀλίγα ἢ οὐδὲν, μυρίοις δὲ ἄλλοις αἴτιος ἐγένετο μεγάλων συμφορῶν ἐξανδραποδισθεῖσι καὶ ἀπολομένοις ὑπὸ τῶν βαρβάρων. ἐφ' οἷς καὶ αὐτὸν καταψηφιζόμενον εἰδέναι ἑαυτοῦ, ὡς τῶν μὲν ἀδικούντων ἕνεκα καὶ σφόδρα οἴεσθαι δίκαια ποιεῖν τοῖς τε ἀλλοφύλοις ἀμυνόμενον ἀδικοῦσι διὰ τῆς βαρβαρικῆς δυνάμεως, τῆς Ῥωμαίων πρὸς ἄμυναν οὐκ ἐξαρκούσης διὰ τὸ ὑπὸ τῶν ἐμφυλίων πολέμων διεφθάρθαι, καὶ τοῖς ὁμοφύλοις ἐπάγοντα, ὅτε ἐπο- D λέμουν, ἵνα μὴ αὐτοὶ χρησάμενοι αὐτόν τε καὶ τοὺς συνόντας διαφθείρωσι. πρὸς δὲ τοὺς ἀπολλυμένους οὐδεμίαν ἔχειν εὔλογον ἀπολογίαν, εἰ τῆς ἑτέρων ἕνεκα ἀγνωμοσύνης δίκας ἔδοσαν αὐτοί. καὶ δεηθεὶς, μηκέτι χρήσασθαι βαρβάροις κατὰ τῶν ἀπὸ Χριστοῦ καλουμένων, κἂν ἀλλόφυλοι ὦσι καὶ τὰ μέγιστα ἠδικηκότες, ἀλλ' ἐπιτρέπειν θεῷ τὴν κατ' ἐκείνων δίκην, ᾧ ῥᾴδιον τοὺς ἀδικοῦντας καταστέλλειν, κἂν τὰ μέγιστα φυσῶσι, καὶ ταύτην τὴν χάριν θεῷ καταθεῖναι πρῶτον καὶ αὐτῷ τὸ μὴ τοιαύταις κηλῖσι καταχραίνειν τὴν ψυχὴν, ἐπείθετό τε ὁ βασιλεὺς καὶ ὑπέσχετο μηκέτι κατὰ μηδενὸς χρήσεσθαι βαρβάροις, φάμενος οὐδὲν ἔχειν πρὸς οὕτως ἀληθῆ καὶ δικαίαν ἀντειπεῖν παραίνεσιν, ἀλλὰ καὶ πολ- P. 868 λὴν αὐτῷ εἰδέναι χάριν, ὅτι τοῦ μὴ ἁμαρτάνειν ἕνεκα πρόνοιαν αὐτοῦ ποιοῖτο, καὶ ὡς καὶ παρὰ θεῷ ἐψηφισμένα δέχεσθαι τὰ εἰρημένα· ἃ καὶ ὕστερον ἐφύλαττεν ἀκριβῶς καὶ

abstraheret, barbaris introductis, eum auctori detrimentorum leve aut nullum damnum rependisse, aliis autem infinitis malorum ingentium causam exstitisse, qui a barbaris in servitutem abrepti peremptique sint. Quam ob rem, quo modo a se reprehensus fuerit, meminisse, ut qui putaret, rectissime se facere, dum exteros nocumenta importantes barbaricis copiis, (Romanis, quia bello civili absumptae, ad ulciscendum non sufficientibus,) propulsaret et adversus homophylos adduceret, ne ipsi eorum usi opera, se suosque perderent. Quod vero ad eos, qui perierint, attinet, iusta defensione carere, si ipsi aliena peccata moriendo luerint. Cumque rogaret, ne in posterum uteretur barbaris adversum eos, qui a Christo Christiani nominarentur, tametsi exteros et iniuriosissimos, sed Deo illorum poenam reservaret, cui non difficile foret laedentes, quamvis turgidissimos, compescere et hoc Deo inprimis, deinde sibi gratificaretur, ne talibus maculis animam contaminaret, imperator obsecundavit et posthac adversus neminem barbarorum usurum subsidio recepit, affirmans, se, quod contra tam veram tamque iustam admonitionem diceret, non habere, imo gratias ei magnas agere, quod se a peccato absterruisset, quaeque dixisset, non secus, quam a Deo ipso dicta,

A.C. 1354 οὐδὲν διενοεῖτο τῶν ἐπηγγελμένων παραβαίνειν. τοῦ δὲ μὴ τοὺς περὶ αὐτὸν ἕνεκα θορυβεῖσθαι, ἀλλ' ἐλπίζοντάς τι δράσειν, ὧν ἐβούλοιτο, ἠρεμεῖν, ἄχρις ἂν αὐτὸς εὖ διάθηται τὰ κατ' αὐτὸν καὶ τῶν ἀπὸ τοῦ βίου θορύβων ἀπαλλαγῇ, ἐπλάττετο τοιαῦτα. βασιλεὺς δὲ ὁ νέος ἐν τῷ νέῳ νεωρίῳ περιμείνας ἄχρις ἐπιγένηται ἡμέρα, ἐπεὶ μηδεὶς ἀντεπῄει καὶ ὁ δῆμος ἤδη ἅπας ἐπὶ τὸν πρὸς Καντακουζηνὸν τὸν βασιλέα πόλεμον ἐτράπετο, καὶ ὁ μὲν τὰς οἰκίας τῶν ἐκείνῳ προσε- B χόντων διεπόρθει, μάλιστα Φακεωλάτου καὶ τῶν κατὰ γένος προσηκόντων, οἷα δὴ αἰτιωτάτων γενομένων τοῦ Βυζάντιον ἐκεῖνον ἐν τῷ τοῦ πολέμου χρόνῳ προδοσίᾳ κατασχεῖν, τῶν ἄλλων δὲ τὴν ἐν τῷ νεωρίῳ βασιλικὴν διαρπασάντων ὁπλοθήκην καὶ ὁπλισαμένων καὶ προκαλουμένων βασιλέα ἐπάγειν σφᾶς ἐπὶ τὸν κηδεστὴν, ἀναθαρσήσας ἤδη καὶ αὐτὸς, ἐπὶ τὰ βασίλεια ἐχώρει, καὶ ἐπὶ τὴν Πορφυρογεννήτου οἰκίαν ἐλθὼν, ηὐλίσατο ἐκεῖ.

V. 692 μ'. Εἰς τὴν ὑστεραίαν δὲ ὁ δῆμος αὖθις ἀλόγῳ φερό- C μενος ὁρμῇ τὰς διηρπασμένας τῇ προτεραίᾳ οἰκίας κατεστρέφετο, καὶ καθῄρουν τὰς ξυλώσεις. ἔπειτα εἰς τὰ βασίλεια ἐλθόντες, τὸ λεγόμενον Καστέλλιον διεπόρθησαν, ἀφύλακτον εὑρόντες, καὶ διήρπασαν τῶν ἐνοικούντων τὰς οἰκίας· καὶ ἐπὶ τὰ βασίλεια ἰόντες οὐχ ἅμα πάντες, ἀλλὰ σποράδην καὶ D ἀσύντακτοι, ἠκροβολίζοντο ἐκ διαλειμμάτων διὰ πάσης τῆς

5. νέῳ om. M. 10. Βυζαντίου M. mg. 16. τὴν νύκτα add. M. mg. post ἐκεῖ.

se accipere: quae et postmodum sollicite servabat ac nihil promissorum sibi omittendum statuebat. Ne autem sui perturbarentur, sed confidentes, facturum, quae volebant, quiescerent, donec, rebus suis bene compositis, ab huius vitae tumultibus discederet, idcirco haec fingebantur. Imperator iunior in navali lucem exspectans, cum nullus contra foras prodiret, ac populus iam totus ad arma in Cantacuzenum concurreret iamque domos studiosorum eius exinaniret, (Phaceolati et cognatorum ipsius praecipue, utpote qui tempore belli ad Byzantium proditione occupandum inprimis navassent operam,) alii armamentarium imperatorium in navali diriperent et Palaeologum exstimularent, ut in socerum eos educeret, sumptis animis, palatium petiit, veniensque ad Porphyrogeneti domum, illic pernoctavit.

40. Postero die plebs furioso impetu concitata, direptas pridie domos cum ipsis contignationibus disturbavit atque evertit. Postea ad palatium venientes, cum castellium, quod dicitur, custode vacans offenderent, illud, exspoliatis incolentium domibus, vastarunt: irrumpentesque in palatium non simul, sed sparsim et confuse, iaculis ex intervallo certabant toto die, cadebantque nonnulli, et alii vulnera-

ἡμέρας. καὶ ἔπιπτόν τινες αὐτῶν καὶ ἐπιτρώσκοντο βαλλό- A.C. 1354
μενοι ὑπὸ τῶν ἔνδον. οἵ τε Κατελάνοι ἐξελθόντες τούς τε
μαχομένους ἀπεώσαντο καὶ πῦρ ἐνίεσαν ταῖς πρὸ τῶν βασι-
λείων οἰκίαις καὶ ἐνέπρησάν τινας. εἰς τοῦτο δὲ στάσεως
καὶ ταραχῆς ἀφιγμένων τῶν πραγμάτων, καὶ ὁ πατριάρχης
Φιλόθεος δείσας τὴν ἔφοδον τοῦ δήμου, ἀπεχώρει τοῦ πατρι-
αρχείου καὶ κατεκρύπτετο. ὑπώπτευε γὰρ καὶ βασιλέα τὸν
νέον ἀηδῶς ἔχειν πρὸς αὐτὸν, οἷα δὴ Καλλίστου τοῦ πα-
τριάρχου ἐξωσθέντος ἀντεισαχθέντα, ὃς ἐδόκει πάντα πράτ-
τειν καὶ ὑφίστασθαι ὑπὲρ ἐκείνου. τρίτῃ δὲ ἡμέρᾳ βασι-
λεὺς ὁ νέος τὸν ἐπὶ τοῦ Κανικλείου Ἄγγελον πρὸς βασιλέα P. 869
πέμψας πρεσβευτὴν, πρός τε πρεσβείας ὄντα ἐπιτηδειότατον
διὰ σύνεσιν καὶ παιδείαν καὶ παρὰ βασιλεῖ τῷ Καντακου-
ζηνῷ πολλῆς τῆς εὐμενείας ἀπολαύοντα, διελέγετο περὶ συμ-
βάσεων, ὥστε ἀμφοτέρους μένειν ἐπὶ τῆς ἀρχῆς, ὅρκους θε-
μένους πρὸς ἀλλήλους ἀμνηστίας τῶν διαφορῶν. Καντακου-
ζηνός τε ὁ βασιλεὺς ἐδέχετο προθύμως τὴν πρεσβείαν. τοῦτο
γὰρ καὶ μάλιστα πάντων ἐσπουδάζετο αὐτῷ, ὥστε τοῦ πρὸς
ἀλλήλους τῶν Ῥωμαίων πολέμου παυσαμένου, τῶν πραγμά-
των αὐτὸν ἀναχωρεῖν. καὶ ἐγένοντο οἱ ὅρκοι ἐπὶ τούτοις,
ὥστε βασιλέα μὲν τὸν Καντακουζηνὸν καὶ Ἰωάννην τὸν νέον
βασιλέα ἄρχειν τῶν πραγμάτων, παραχωρεῖν δὲ τὸν νέον τῶν B
πρωτείων ἐν πᾶσι τῷ πρεσβυτέρῳ καὶ πᾶσαν αἰδῶ καὶ εὐ-
πείθειαν, ὥσπερ καὶ πρότερον, αὐτῷ παρέχεσθαι. τῶν δὲ
ἐκ τῶν δημοσίων φόρων εἰσπραττομένων χρημάτων ἐτησίως,

6. δεήσας P.

bantur ab his, qui intus latebant. Demum prorumpentes Catalani pugnantes abigunt, et in aedes ante palatium igne iniecto, quosdam concremant. Eo seditionis ac tumultus re progressa, etiam Philotheus patriarcha populi in se incursum metuens, e patriarchio fugit ac sese latebrose occultavit: nam Palaeologum sibi, ut pro Callisto, (qui ipsius causa fecisset ac passus esset omnia,) intruso, iratum esse coniiciebat. Tertio die Palaeologus praesidem Caniclei Angelum legatum mittit, huic muneri qua prudentia, qua doctrina valde idoneum et apud imperatorem Cantacuzenum vehementer gratiosum, quicum de pactis egit, nempe ut ambo imperarent, alterque alteri oblivionem huius dissidii iuraret. Cantacuzenus cum voluptate legationem excepit, quippe qui hoc studeret ante omnia, ut, sopito inter Romanos bello, ipse a rebus istis labentibus ac terrenis se omnimodis auferret: iuratumque his conditionibus, ut Cantacuzenus et Ioannes Palaeologus imperio praeessent: iunior primas cederet seniori in omnibus omnique eundem veneratione et obedientia, vel-

A. C. 1354 ὅσων μὲν ἂν δέοιντο πρός τε τὸ μισθοφορικὸν τῆς στρατιᾶς καὶ τῶν τριηρέων παρασκευὴν καὶ τὰς δεούσας ἑτέρας δημοσίας διοικήσεις, ὑπὸ τῶν πρυτάνεων, ὥσπερ ἔθος, ταῦτα ἀναλίσκεσθαι· ἃ δ' ἂν ὑπολίποιτο ἐπέκεινα τῆς χρείας, ταῦτα συμμερίζεσθαι τοὺς βασιλέας τῶν πρὸς τὰς οἰκίας ἕνεκα ἀναλωμάτων ἐπίσης ἑκατέρους. τούτων δὲ οὐ δεόμενος βασιλεὺς ὁ Καντακουζηνὸς ἀπῄτει τοὺς ὅρκους, (ᾔδει
C γὰρ ἀναχωρήσων τῶν πραγμάτων τάχιστα,) τιμῆς δὲ μόνης ἕνεκα τοῦ μὴ νομίζεσθαι ἔλαττον τοῦ νέου βασιλέως ἐσχηκέναι. τοῖς τε πεπολεμηκόσι πρὸς αὐτοὺς ὑπὲρ ἀλλήλων μηδεμίαν εἰσπράττειν δίκην, μήτε Καντακουζηνὸν τὸν βασιλέα, μήτε τὸν γαμβρὸν, ἀμυνομένους τῆς εἰς αὐτοὺς ἀγνωμοσύνης, μήτε ζώντων ἀμφοτέρων βασιλέων, μήτ' εἰ συμβαίη τὸν ἕτερον γενέσθαι ἐξ ἀνθρώπων, ἀλλὰ πᾶσαν ἀμνηστίαν παρέχειν τῶν τετολμημένων καὶ μήτε προσόδων, μήτε τῶν τιμῶν ἀποστερεῖν, ἃς ἔχουσι. Ματθαῖον δὲ βασιλέα τὸν Καντακουζηνὸν μένοντα ἐπὶ τοῦ σχήματος, τὴν Ἀδριανοῦ κατέ-
V. 693 χειν καὶ τὰς κατὰ τὴν Ῥοδόπην τοῖς Ῥωμαίοις ὑπηκόους πό-
D λεις, διὰ βίου αὐτόνομον ὄντα καὶ ἀνεύθυνον κεκτημένον τὴν ἀρχὴν, καὶ βασιλέα τὸν νέον Ἰωάννην πόλεμον μηδέποτε πρὸς ἐκεῖνον περὶ τῶν ἐνδεδομένων πόλεων κινεῖν. ἐπὶ τούτοις δὲ ἀποδοῦναι Καντακουζηνὸν τὸν βασιλέα τῷ νέῳ καὶ τὸ κατὰ τὴν Χρυσῆν καλουμένην πύλην φρούριον, ὃ κατεῖχεν αὐτὸς φρουρᾷ Λατινικῇ, καρτερώτατον ὂν καὶ ἀνάλωτον σχεδὸν ἐκ τῆς

ut antea, coleret. De pecunia annuorum vectigalium, quantum et ad stipendia militaria et ad triremium apparatum et ad reliquam imperii administrationem sufficeret, a quaestoribus numeraretur. Quod restaret, id imperatores ad domesticos sumptus ex aequo partirentur. Cantacuzenus quamquam his non egeret, (cogitabat enim se propediem monachorum ordini adscribere,) tamen solius honoris gratia, ne iuniore imperatore inferior putaretur, iuramentum postulabat: ut neuter ab iis, qui contra se pro altero pugnassent, iniuriae ulciscendae poenas reposceret, neque ambobus viventibus, neque defuncto altero, sed delictorum immemores funditus, nec reditibus eos, nec dignitatibus, quas gererent, privatum irent: ut Matthaeus Cantacuzenus cultum imperatorium et Adrianopolim cum urbibus Rhodopes, quoad viveret, retineret, liber plane et in ratione reddenda subiectus nemini: utque Ioannes imperator propter oppida tradita nunquam ei bellum faceret: ut Cantacuzenus imperator iuniori propugnaculum portae Aureae restitueret, quod praesidio Latino tenebat, firmissimum sane et ob structuram propemodum inexpugnabile: cui turres erant binae ex iis, quae sunt in ambitu seu ad moenia Byzantii, in quarum medio per portam illam aditus in

κατασκευῆς· ᾧ πύργοι μὲν ἦσαν δύο τῶν ἐκ τοῦ περιβόλου A. C. 1354 Βυζαντίου, ὧν μεταξὺ ἡ πρὸς τὴν πόλιν εἰσάγουσα πύλη ἦν. οἱ πύργοι δὲ μέγιστοι μεγέθει ὄντες, οὐ κατὰ τοὺς ἄλλους ἦσαν ᾠκοδομημένοι, ἀλλ' εὐθὺς ἐπὶ μήκιστον ὕψους ἐξαρχῆς μαρμάροις μεγάλοις ὑπὸ λιθουργῶν εἰς τοῦτο κατεσκευασμένοις ἦσαν συντεθειμένοι, ὑπ' ἄκρας συμφυΐας πρὸς ἀλλήλους οὐδεμιᾶς ἑτέρας δεόμενοι ὕλης συνδεούσης, ἀλλ' P. 870 ἥλοις μόνοις σιδηροῖς, ὡς λέγεται, καθὸ ἀλλήλων ἐπιψαύουσι κεχρημένοι πρὸς συνάφειαν, ὥστε ἔξωθεν δοκεῖν οὐκ ἐκ μερῶν συντεθειμένους, ἀλλ' αὐτολιθίνους εἰς τοῦτο ἀπεξεσμένους εἶναι. ὅθεν οὐδὲ ἐπιχείρησιν δοκοῦσιν οὐδεμίαν ἔχειν, μήτε διορυχθῆναι ὄντες δυνατοί, μήτε ἐκ μηχανῆς τινος ἢ τέχνης ἑτέραν μηδεμίαν ὑποστῆναι βλάβην. οὓς ἅμα βασιλεὺς ὁ Καντακουζηνὸς τῷ τῆς Ῥωμαίων ἀρχῆς ἐγκρατὴς γενέσθαι ἄνωθεν ἐπισκευάσας, ὅσα ἔδει, ἀτημελήτους ὑπὸ χρόνου ὄντας, εἰς τὸ διηνεκὲς φρουρᾷ κατεῖχεν, ὥσπερ ἀκρόπολίν τινα. τούτων δὴ τῶν ὅρκων ὑφ' ἑκατέρων ὀμωμοσμένων βασιλέων, ὅ,τε στασιασμὸς διελέλυτο αὐτίκα, καὶ βασιλεὺς ὁ νέος πᾶσαν ὑποψίαν ἀποθέμενος, ἧκεν εἰς βασίλεια πρὸς B βασιλέα τὸν κηδεστήν. κἀκεῖνος ὑπεδέχετο ἡδέως ἐς τὰ μάλιστα καὶ πολλὴν ἐπεδείκνυτο φιλοφροσύνην. συγγενομένων δὲ ἀλλήλοις ἐφ' ἱκανόν, καὶ περὶ ὅσων ἐδέοντο διαλεχθέντων, αὖθις ὁ νέος βασιλεὺς τῶν βασιλείων ἐξελθών, ἐν ᾗ καὶ πρότερον ηὐλίζετο οἰκίᾳ ἦν. μετὰ τὰς συμβάσεις δὲ ἧκεν ἐκ Βιζύης Ἀνδρόνικος Ἀσάνης ὁ σεβαστοκράτωρ μετὰ στρατιᾶς

13. ἑτέρων M.

urbem patebat. Turres porro summae magnitudinis, praeter aliarum formam et modum aedificatae, ad perpendiculum ab initio ad coelum minabantur, marmoribus ingentibus opera marmorariorum ad hoc praeparatis ita compositae, ut ob arctissimam coniunctionem non arenato aliove glutinamento egerent, sed mutuis dumtaxat ferramentis, ut fertur, qua se contingebant, copularentur, forisque non ex pluribus, sed ex uno lapide ad hoc polito constare viderentur. Quare nec apparet, qua aggrediendae ac perrumpendae sint, nec ulla machina aut artificio instar aliarum laedi possunt. Has imperator Cantacuzenus simulac imperii potens evasit, vetustate neglectas, de integro, quantum necesse fuit, refecit perpetuamque custodiam, velut arci cuidam, imposuit. His iuramentis ab imperatore utroque editis, seditio statim compressa est, et iunior, omni suspicione deposita, ad socerum in palatium accessit ab eoque omni cum humanitate et hilaritudine acceptus, longiore deinceps super rebus necessariis habito colloquio, ad prius domicilium se recepit. Post pacta Andronicus Asanes sebastocrator Bizya cum copiis Byzantii af-

A. C. 1354 ἐπικουρήσων βασιλεῖ τῷ Καντακουζηνῷ· ὃν ἐπὶ τρισὶν ἡμέραις ἔνδον βασιλείων διατρίψαντα μετὰ τῆς στρατιᾶς, αὖθις ἐξέπεμπεν ὁ βασιλεὺς εἰς τὴν οἰκίαν, τῆς μὲν προθυμίας C ἕνεκα καὶ τῆς εὐνοίας ἐπαινέσας τῆς εἰς αὐτὸν, μὴ δεῖσθαι δὲ αὐτοῦ, συμβάσεις θέμενος πρὸς βασιλέα τὸν γαμβρὸν, εἰπών. ἔγραφε δὲ καὶ τῷ υἱῷ καὶ Νικηφόρῳ δεσπότῃ τῷ γαμβρῷ καὶ τοῖς ἄλλοις ἡγεμόσιν ἀναστρέφειν, τοῦ πολέμου ἤδη καταλελυμένου καὶ εἰρήνης ἐν τοῖς πράγμασι γεγενημένης. τὰ ἴσα δὲ καὶ τοῖς βαρβάροις ἔγραφε τοῖς κατὰ Θρᾴκην· καὶ γὰρ κἀκεῖνοι ᾔεσαν ἐπὶ Βυζάντιον μετακεκλημένοι ὑπὸ βασιλέως, ὥσπερ ἔφημεν· καὶ ἀνέστρεφον ἐκ μέσης τῆς ὁδοῦ. ἐκ δὲ τοῦ κατὰ τὴν Προποντίδα πρὸς τὴν ἕω Ἱεροῦ ἕτεροι βάρβαροι αὐτόκλητοι ἧκον οὐκ ὀλίγοι νυκτὸς ἄχρι βασιλείων, οἰόμενοι σφῶν δεήσεσθαι Καντακουζηνὸν τὸν βασιλέα, καὶ ἐδέοντο ἐπάγειν τοῖς πολεμίοις εἰσδεξάμενον. βα- D σιλεὺς δὲ τῆς μὲν προθυμίας ἕνεκα καὶ τῆς εὐνοίας τῆς εἰς αὐτὸν χάριτας ὡμολόγει οὐκ ὀλίγας· συμβάσεις μέντοι ἔφασκε πρὸς βασιλέα τὸν γαμβρὸν καὶ ὅρκους θέμενος, αὐτῶν μὴ δεῖσθαι· καὶ ἐκέλευεν ἀναχωρεῖν πρὸς τὴν οἰκίαν. ταῦτα δὲ οὐ διὰ πρέσβεων μόνον ἐδήλου τοῖς βαρβάροις, ἀλλὰ καὶ δι' ἑαυτοῦ αὐτὸς, ἐκ βασιλείων ἔξω τειχῶν οὖσιν ἐκεῖνος διειλεγμένος νυκτὸς ὑπὸ λαμπάσι, τοῦτο παρέχοντος τοῦ τόπου, ὥστε δύνασθαι καὶ ὁρᾶσθαι καὶ ἀκούεσθαι διαλεγόμενον. ἐξιὼν μέντοι καὶ αὐτὸς τῶν βασιλείων πρὸς τὴν οἰκίαν, ἐν ᾗ βασιλεὺς ὁ γαμβρὸς διέτριβεν, ἀπῄει καὶ περὶ

fuit Cantacuzeno succursurus. Quem triduo in palatio cum agmine suo retentum deque alacri voluntate ac studio erga se laudatum remisit, quod diceret, se iam, foedere cum genero facto, illius opera non indigere. Insuper filio et Nicephoro despotae, genero, ceterisque duobus scripsit, uti redirent; pacem enim conciliatam esse. Eadem barbaris in Thracia scripsit: nam et illi Byzantium, ab imperatore, ut diximus, accersiti, pergebant; qui e medio itinere redierunt. Ex Hiero autem Propontidis ad orientem alia barbarorum non parva multitudo ad palatium adveniens, quod Cantacuzenum auxilio opus habere putaret, orabat, ut acciperetur et in hostem immitteretur. Imperator, pro animo tam prompto ac benevolo gratiis actis, foedus cum genero intercedere coeptum, respondit: proinde patriam repeterent, se in praesentia ipsorum ope non usurum. Atque haec non solum illis per internuntios, sed et per se ipsum significavit, e palatio extra muros exspectantes ad lucernarum lumen allocutus, eo loco, ubi videri et audiri posset. Egressus autem et ipse e palatio, ad aedes, in quibus gener habitabat, se contulit et cum eo de re publica deliberationem habuit. Ceterum cum et de

τῆς διοικήσεως τῶν κοινῶν συνδιεσκέπτετο αὐτῷ. δεῆσαν δὲ A.C. 1354
καὶ περὶ τῶν ἐν Θρᾴκῃ βουλεύσασθαι βαρβάρων, εἰ πολε-
μητέα εἴη πρὸς αὐτοὺς ἢ μή, ἐν τῇ μεγάλου λογοθέτου οἰκίᾳ τοῦ
Μετοχίτου μετὰ πάντων τῶν συγκλητικῶν καὶ τῶν ἐπ᾽ εὐγενείᾳ
λαμπρυνομένων γενόμενοι οἱ βασιλεῖς, κατέστησαν εἰς λόγους.
οἱ μὲν οὖν ἄλλοι ἀτάκτως ἐθορύβουν καὶ γνώμην ἕκαστος P. 871
εἰσφέρειν ἐπεχείρουν, ἣ μάλιστα ἂν λυσιτελεῖν δοκοίη ὡς ἐν V. 694
τοῖς παροῦσι. βασιλεὺς δὲ ὁ νέος καὶ τῶν συνόντων οἱ μά-
λιστα ἐν λόγῳ Καντακουζηνῷ τῷ βασιλεῖ προσεῖχον καὶ ἀπε-
σκόπουν, ὁποίαν τινὰ περὶ τῶν προκειμένων γνώμην εἰσε-
νέγκαι. καταστὰς δὲ καὶ αὐτὸς εἰς λόγους, εἶπε τοιάδε· „τὴν
μὲν γνώμην ὑμῶν ὡς μᾶλλον ἐπὶ τὸ πολεμεῖν ἐπῆρται τοῖς
βαρβάροις, οἰομένων ῥᾷστα περιέσεσθαι αὐτῶν, καὶ ἐν ὀλίγῳ
χρόνῳ ἐκ πολλῶν ἐστι στοχάζεσθαι. ταῦτα μὲν οὖν ἐπί τι
τέλος ἀγάγοι τὸ κρεῖττον δεξιόν, ὥσπερ βούλεσθε αὐτοί. ἃ
δὲ οἴομαι καὶ αὐτὸς ἐν τῷ παρόντι λυσιτελεῖν ἡμῖν, ταῦτα B
σημανῶ. οὐ σωφρόνων οἴομαι ἀνθρώπων, οὐδ᾽ ἄλλως ἐμ-
πείρων εἶναι, ὡρμημένους ἐπὶ πόλεμον μὴ πρότερον τήν τε
ἑαυτῶν καὶ τὴν πολεμίων ἐπισκεψαμένους δύναμιν, τύχης
θαῤῥοῦντας ἀπιστίᾳ, ἑαυτοὺς πρὸς τοὺς κινδύνους εἰσωθεῖν.
τὸ μὲν γὰρ καὶ ὅπλοις καὶ χρήμασι καὶ πλήθει στρατιᾶς
ἐῤῥωμένους εἶναι βέβαιον πρὸς σωτηρίαν· τύχη δὲ τὰ πλείω
σφάλλεται. πρὸς οὓς δὲ ἡμῖν ὁ πόλεμός ἐστι βαρβάρους
νῦν, οὐχ ὅσον ἀγνοεῖσθαι διαφέρουσιν. ἐμπειρίᾳ γὰρ τῇ
πρὸς τὰς μάχας οὐδαμῶς ἀπολειπόμενοι ἡμῶν, πολλαπλα-

barbaris in Thracia deliberare oporteret, ecquid armis appetendi, nec ne, in magni logothetae Metochitae domo cum proceribus universis et nobilitate congregati imperatores verba fecerunt. Ac reliquis quidem immodeste tumultuantibus, et unoquoque conante utilissimam pro tempore proferre sententiam, iunior imperator et ii, quorum in eius comitatu praecipua erat auctoritas, ad Cantacuzenum inclinabant, ad eius sententiam intenti ora tenentes; cuius haec fuit oratio: „Vobis magis ad bellum contra barbaros incitatis et facillimam sperantibus victoriam, velim equidem consilia vestra Deus fortunet et ad finem perducat. Quae autem et ipse hoc tempore nobis conductura sentio, non tacebo. Equidem mihi nec prudentium, nec aliquo usu peritorum hominum videtur, non ante suis hostiumque viribus ponderatis, sed fortunae mobilitate confisos, bellum capessere et semet in discrimen praecipitare. Nam ab armis et pecunia et militibus bene instructum esse, exploratam habet salutis fiduciam: fortuna lubrica est, saepius fallit. Barbari autem, contra quos nunc bellum meditamur, non est ignotum, quantopere a nobis discrepent. Exercitatione enim militari nequaquam impares, numero

A. C. 1354 σίους εἰσὶ τῷ πλήθει καὶ τῇ παρασκευῇ ἐῤῥωμενέστεροι καὶ C πρὸς τὰς στρατείας ἑτοιμότεροι, ἀμισθὶ καὶ προῖκα στρατευόμενοι τῷ σφῶν δυνάστῃ. πρὸς δὲ τούτοις γῆν ἔχοντες πολλὴν καὶ πόλεις ἡμετέρας οὐ κατὰ τὴν Ἀσίαν μόνον, ἀλλὰ καὶ κατὰ τὴν Εὐρώπην, νῦν προθύμως ὑπὲρ τῶν λοιπῶν μαχοῦνται, εὐέλπιδες ὄντες, ὥσπερ ἐκ παραδειγμάτων, καὶ πρὸς τὰ λοιπά. ἡμῖν δὲ ἦν μέν ποτε δύναμις ἀξιόχρεως, οὐ πρὸς τοσούτους μόνον, ἀλλὰ καὶ πολλαπλασίους, οὐχ ὥστε ἐκ τῆς ἡμετέρας ἐξελαύνειν, ἀλλὰ καὶ περὶ τῆς οἰκείας ἐν κινδύνῳ D καθιστᾶν. ἡ δὲ ἀξυνεσία καὶ ἀβουλία καὶ τὸ μὴ περὶ τῶν κοινῇ λυσιτελούντων ἄριστα βουλεύεσθαι, ἀλλ' ἕκαστον τὰ ἴδια εὖ τίθεσθαι σκοπεῖν, εἰς τοῦτο ἤγαγεν ἡμᾶς ἀδυναμίας νῦν, ὥστ' ἀγαπητὸν, ἂν μὴ καὶ τὰ ὄντα ἀπολέσωμεν, ἡγεῖσθαι. ἥ τε γὰρ στρατιὰ διέφθαρται ἡμῖν, ἐκ λαμπρᾶς καὶ περιφανοῦς ὀλίγη καὶ ἄπορος καθεστηκυῖα· καὶ τῶν κοινῶν προσόδων αἱ συντάξεις ἐκλελοίπασι παντάπασι. καὶ ὑμῶν τοὺς πλείους ἢ σύμπαντας σχεδὸν, εἰ μή τις χρήματα παράσχοι πρὸς τὸν πόλεμον, οὐκ ἂν οἴομαι ἀντισχήσειν ἐπιπλεῖστον ἀναλοῦντας ἐκ τῶν ὄντων. ἅπερ ἅπαντας ἐνθυμουμένους, οὐ τοῦτο μόνον χρὴ σκοπεῖν, ὅπως ἐκ τῆς εἰρήνης καταστῶμεν πρὸς τὸ πολεμεῖν, ἀλλ' ὅπως καὶ περιεσόμεθα τῶν πολεμίων P. 872 ἢ μηδὲν ἐκ τούτου δυσχερὲς ὑπομενοῦμεν. ἐγὼ δὲ οὔτε ἀτολμίᾳ τοῦ πρὸς τοὺς βαρβάρους ὑμᾶς πολέμου ἀποσχέσθαι συμ-

5. κατὰ om. P. 8. μόνους M. mg.

longe superant, et apparatu confirmatiores atque ad expeditionem promptiores, nulla mercede et omnino gratis domino suo militant. Ad haec cum latam regionem et urbes nostras non in Asia modo, sed etiam in Europa occuparint, nunc bona spe et praeteriti successus exemplo pro ceteris subigendis prompte depugnabunt. Nobis porro quondam contra multo etiam plures potentia non defuit, ut non solum nostra eos provincia expellere, sed ipsorum quoque terras invadere possemus. Verum insipientia et temeritas, nec communium, sed privatarum cuiusque rerum quam consultissime instituendarum diligentia eo iam imbecillitatis nos adegerunt, ut boni consulamus, si non etiam quod superest, amittamus. Nam et exercitus noster, splendidus antea et conspicuus, ad paucitatem et paupertatem devenit: et communium pensionum collationes penitus evanuerunt: ac plures vestrum, aut omnes ferme, nisi aliunde pecunia in bellum impendatur, non opinor diutissime de suo impendentes, hostium vim toleraturos. Quae omnes cum animis reputare, nec tantum hoc considerare debent, quomodo ex pace ad bellum aggrediamur, sed praeterea, quomodo hostes debellemus, aut certe nulla cum clade inde discedamus. Ego vero nec ob ignaviam meam bello-

βουλεύω, οὔτε πρὸς ἀπέχθειαν αὐτῶν οὐδενὸς ἀπολείπομαι A. C. 1354
ὑμῶν, ἀλλ' αὐτός τε ἂν ἐξέτριψα ἡδέως ὁμοῦ τοι σύμπαν-
τας βαρβάρους, εἴπερ οἷόντε, καὶ μεγίστην εὔκλειαν καὶ εὐ-
δοξίαν τὸν ἐκείνων ὄλεθρον φέρειν ἂν ἐνόμισα ἐμοί· καὶ παρ'
ἑτέρου πάσχοντάς τινος τὰ ἴσα εἶδον. οὐ μὴν ἀλλ' εἰ μὲν
τούτων μὲν οὐδὲν ἐξῆν, ἔδει δὲ ἐμὲ παρ' ὁτουοῦν ἀποσφα-
γέντα, αὐτῷ τούτῳ τῷ ἀποθανεῖν ἐξώλεις γενέσθαι τοὺς βαρ-
βάρους, ῥᾷστα ἂν καὶ τὴν φίλην προὔδωκα ζωὴν σὺν ἡδονῇ·
τοσοῦτον ἀπεχθείας πρὸς αὐτοὺς περίεστιν ἐμοὶ, οὐ μόνον
διὰ τὴν περὶ τὴν θρησκείαν ἄκραν ἐναντίωσιν, ἀλλ' ὅτι ἐκ B
πολλῶν ἐτῶν μεγάλα ἠδικήκασι Ῥωμαίους, πᾶσι λυμηνάμε-
νοι σχεδὸν καὶ οὐδέπω μέχρι νῦν κόρον ἐσχήκασι τῆς ἀδι-
κίας· ἀλλὰ καὶ ἐπὶ Θρᾴκην διαβάντες, πόλεις ἔχουσι πολ-
λὰς καὶ πάντα τὰ ἡμῶν ἄγουσι καὶ φέρουσι. τίνος οὖν ἕνεκα V. 695
οὕτως ἔχων πρὸς ἐκείνους ἀπεχθείας, οὔτε πρότερον αὐτὸς
ὡρμήθην πολεμεῖν καὶ ὑμᾶς κωλύω νῦν προθυμουμένους;
ὅτι τὴν ἐνοῦσαν ἐξετάζων δύναμιν, οὔτε πρότερον, οὔτε νῦν
ἀξιόμαχον εὑρίσκω πρὸς τὸν πρὸς ἐκείνους πόλεμον. τί οὖν,
ἄν τις φαίη, κελεύῃς ἡμᾶς καθάπαξ ἐγκαλυψαμένους καὶ τὴν C
οἰκείαν σωτηρίαν ἀπογνόντας, ἡσυχῇ φέρειν τὰς πληγὰς καὶ
πάντα ὥσπερ ἐξ ἐπιτάγματος ὑπείκειν τοῖς βαρβάροις; οὐ
τοῦτο ἔγωγε, φαίην ἄν, ἀλλὰ πολεμητέον μᾶλλον καὶ πρὸς τοῦ-

6. τούτων μὲν om. P. 19. κελεύεις V.

adversus barbaros vobis abstinendum suadeo, neque odio in illos a quoquam vestrum vinci me patior, quin ipse una omnes, si fieri potuisset, contrivissem et id mihi ad gloriae celebritatem illustrissimum fore putavissem. Neque istuc solum, sed si hoc ita licuisset, ut me a quocunque iugulari et ipsa nece mea perniciem atque exitium creari illis oportuisset, libentissime ac promptissime dulcem alioquin vitam abiecissem: usque adeo mihi superat eorum odium, tum quia religionibus ac caerimoniis diversissimi sunt, tum quia iam pridem et multis annis Romanos infandis detrimentis cumularunt, nec ulli ferme non nocuerunt: nec usque ad hunc diem iniuriae faciendae eos cepit satietas, sed in Thraciam quoque infusi, urbes complures occupant, depopulanturque nostra omnia. Quid igitur est, quaerat aliquis, cum sic eos detester, quod nec prius oppugnare eos concupierim, et vos nunc ad id tam erectos absterream? quid, quod praesentes vires nostras expendens, nec hactenus fuisse, nec modo esse pares illis invenio? Ergo tu, occurret quispiam, prae pudore obvelata facie et salute prorsus desperata, silentio nobis ferendas plagas et in omnibus, tanquam heris praecipientibus, obediendum barbaris existimas? Minime gentium, sed belligerandum potius et in hoc incumbendum, si in quidquam aliud. Non tamen

A. C. 1354 το, εἴ τι ἕτερον, σπουδαστέον, οὐ μὴν ἀμαθῶς τοσοῦτον καὶ θρασέως, ὡς μηδὲν ἕτερον ἀπόνασθαι τῆς εὐτολμίας, ἢ καὶ τὰ ὄντα προσαπολεῖν πρὸς τῷ μηδὲ τῶν ἀφῃρημένων ἀνασώσασθαι μηδέν. τί οὖν ἐστιν, ὃ λέγω; ὅτι χρήματα πρότερον ποριστέον καὶ δύναμίν ποθεν ξενικὴν ἀξιόμαχον πρὸς τὴν τῶν πολεμίων. ὡς ἥ γε ἡμῖν οἰκεία, κἂν τὰ μάλιστα ἔχῃ περιττῶς πρὸς τὴν παρασκευὴν, κἂν εἰς ἄκρον ἀνδρίας
D ἀφίκηται καὶ τόλμης, οὐδ' οὕτω πρὸς τοὺς πολεμίους ἔσται ἀξιόχρεως, ἕως ἂν τοσαύτη μένῃ, ὅση νῦν ἐστι. πρὸς τούτοις δὲ καὶ δύναμιν ναυτικὴν προπαρασκευάσασθαι χρεὼν, ὥστε κωλύειν τοὺς ἐπιβοηθοῦντας. ἂν γὰρ αὐτοὶ θαλασσοκρατῶσιν, οὐ μικρᾶς, οὐδ' εὐκαταφρονήτου δεησόμεθα δυνάμεως. οὐ γὰρ Ὀρχάνῃ μόνον ἀναγκασθησόμεθα ἐν Θρᾴκῃ πολεμεῖν, ἀλλὰ καὶ τοῖς κατὰ τὴν Ἀσίαν ἅπασι βαρβάροις, οἳ ἂν ὑφ' ἡμῶν βιάζωνται, προθυμότατα ἐπιμαχήσουσιν αὐτοῖς. τῶν γὰρ ἀθανάτων γερῶν, ἃ αὐτοῖς ὑπείληπται τοὺς ἐνταῦθα καλῶς βεβιωκότας ἀπολαμβάνειν, ἐκεῖνον ἐν ἀπολαύσει ἔσεσθαι ὃ πρὸς τὴν πλάνην καθηγησάμενος μάλιστα πέπεικεν αὐτοὺς,
P. 873 ὅστις ἂν πρὸς ἡμᾶς πολεμῶν ἢ πίπτοι μαχόμενος, ἢ ὡς πλείστους ἀποκτείνοι. ὧν δὴ ἕνεκα οὐ νῦν ἅπτεσθαι ὑμᾶς τοῦ πρὸς αὐτοὺς πολέμου συμβουλεύω, ἀλλὰ πρότερον ἐκπορίζειν τά τε χρήματα καὶ τοὺς συμμάχους. τὸ νῦν δὲ ἔχον πρεσβείαν πέμπειν πρὸς αὐτοὺς καὶ τὴν οὖσαν εἰρήνην ἐπικυροῦν καὶ πειρᾶσθαι προνοίᾳ μᾶλλον καὶ εὐβουλίᾳ τὰς

adeo imperite et confidenter, ut ad nihil aliud profutura sit audacia, nisi ut praeter ea, quae nobis erepta nondum recuperavimus, etiam illa, quae restant, amittamus. Quae est igitur mea sententia? pecuniam prius et alicunde peregrinos milites conquirendos, qui hostium copiis possint opponi. Nam copiae domesticae, etiamsi apparatus affuerit maximus, et ipsum fortitudinis atque audaciae apicem attigerint, ne sic quidem hostibus pares ad pugnam erunt, quamdiu tantae, quantae nunc sunt (et exiguae sunt) permanserint. Ad haec et classis comparanda, qua eorum auxilia intercludamus. Nam si ipsi mare obtinebunt, non parva, nec contemnenda potentia egebimus, siquidem non cum Orchane tantum in Thracia cogemur bellum gerere, sed et in Asia cum barbaris omnibus, qui vim nostram sentientes, illis aliis expeditissime succurrent. Immortalibus enim praemiis, quae iis reposita sunt, qui hic aetatem caste egerunt suam, illum fruiturum, magister et dux erroris, Mahometus, plane ipsis persuasit, quicunque contra nos pugnans aut occubuerit, aut quam plurimos interfecerit. Quas ob res non hoc tempore armis adoriundos, sed de pecunia prius et sociis providendum consulo. In praesens pacem per legatos cum iis confirmandam enitendumque, ut providentia

κατὰ τὴν Θρᾴκην πόλεις ἀνασώζεσθαι καὶ ἀπολαμβάνειν A. C. 1354 ὁμολογίᾳ, ὥσπερ παρεσκεύακα αὐτὸς, πολλὴν εἰς τοῦτο πρόνοιαν πεποιημένος. δυνατὸν γὰρ ἔτι καὶ νῦν, ἐὰν ἐθέλητε ὑμεῖς. ἐξεληλαμένων δὲ τῶν ἡμετέρων ὅρων τῶν βαρβάρων, ὅ,τε πρὸς αὐτοὺς πόλεμος, ἂν ἐθέλωμεν ἀναλαμβάνειν, ῥᾴων ἔσται, ναυτικῆς δυνάμεως δεησομένοις μόνον, καὶ Μυσοὺς B καὶ Τριβαλοὺς, οὐδ' αὐτοὺς φαυλότερα ἀδικοῦντας, ἢ πείσομεν ἐπιτηδείους εἶναι καὶ ἀποδιδόναι τὰ ἡρπασμένα δεδιττόμενοι τοῖς βαρβάροις, ἢ καὶ ἀναγκάσομεν, ἂν βουλώμεθα, ἐπάγειν. ἃ μὲν οὖν λυσιτελεῖν ὑμῖν ἐγὼ νενόμικα ἐν τῷ παρόντι, τοσαῦτά ἐστιν. εἰ δ' ὑμῖν βουλευομένοις τἀναντία δόξειεν, εἰπεῖν μὲν, ὡς ἀσύμφορα αἱρήσεσθε, οὐκ ἀποκνήσω, εὔχομαι δὲ ἐμὲ τῶν λογισμῶν διαμαρτάνειν μᾶλλον, ἢ ὑμᾶς ψευσθῆναι τῶν ἐλπίδων." τοιαῦτα μὲν ἐπ' ἐκκλησίας βασιλεὺς ὁ Καντακουζηνὸς περὶ τοῦ πρὸς τοὺς βαρβάρους πολέμου διειλέχθη, αἰνιξάμενός πως ἀμυδρῶς, ὡς C αὐτὸς μετὰ μικρὸν ἀναχωρήσει τῶν πραγμάτων. οἱ δὲ συνεκκλησιάζοντες, ὅσοι μὲν μάλιστα ἐν λόγῳ ἦσαν, οὐδὲν ἀντεῖπον, οἱ δὲ νεώτεροι καὶ ἀφρονέστεροι πολλὰ τοὺς περὶ τῆς εἰρήνης λόγους καταμεμψάμενοι βασιλέως, αἰνιξάμενοί τε, ὡς καὶ πρότερον δυνάμενος μεγάλα βλάπτειν, εἰ πολεμεῖν ᾑρεῖτο τοῖς βαρβάροις, ἑκὼν ἠμέλει τοῦ κοινῇ λυσιτελοῦντος διὰ τὴν Ὀρχάνῃ συνοικοῦσαν θυγατέρα, καὶ νῦν ἑκὼν εἶναι τἀναντία, ὧν οἴεται λυσιτελεῖν, τῆς αὐτῆς ἕνεκα αἰτίας

quadam et sapienti consilio Thraciae urbes recuperemus et per deditionem illarum potiamur: quomodo a me singulari cura factum est et hodie, si modo volueritis, licebit fieri. Barbaris autem e vestris finibus profligatis, bellum, si adversus eos suscipere velimus, minus laboriosum erit, nautica tantum copia opus habituris. Moesos vero ac Triballos aeque male de nobis meritos eo adducemus, ut amicitiam nostram complexi, abrepta restituant, barbarorum armis illos territantes: aut etiam, si lubebit, infesto exercitu eos compellemus. Quae hoc tempore expedire iudicavi, haec sunt. Quodsi vobis consultantibus contraria placuerint, utilibus inutilia vos praelaturos, dicere non verebor. Utinam autem falsus vates sim potius, quam ut spes vestrae deludantur." Haec in concilio Cantacuzenus imperator de bello contra barbaros disseruit, obscurius quodam modo insinuans, se propediem hasce res relicturum. Qui convenerant, quotquot erant alicuius existimationis et nominis, nihil adversabantur. At iuniores, quique intelligentia parum valebant, orationem eius de pace multum cavillabantur et subindicabant, si barbaris bello incommodare voluisset, magnopere potuisse: sed propter filiam Orchani nuptam communem fructum scientem ac volentem ne-

A. C. 1354 συμβουλεύει. ἔπειτα τὸν πόλεμον αὐτοὶ αἱρεῖσθαι μᾶλλον
V. 696 εἶπον καὶ δεῖσθαι καὶ τῶν ἄλλων ἐπιψηφίζεσθαι τὰ ἴσα.
D οὐ γὰρ φαυλοτέροις σφῶν οἱ βάρβαροι ἐντεύξονται αὐτοῖς ἐπὶ τῶν ἔργων, ἀλλ' εἴσονται σαφῶς, ὡς οὐ γυναιξὶ μαχοῦνται, ἀλλ' ἀνδράσι. βασιλέως δὲ τοῦ νέου, ὁποτέραν ἔχει τὴν γνώμην περὶ τῶν πραγμάτων οὐδὲν ὅλως φθεγξαμένου, ἀλλ' ἐξετάζοντος ἐφ' ἑαυτὸν, ὁποτέροις πρόσθοιτο, Καντακουζηνὸς ὁ βασιλεὺς διέλυε τὸν σύλλογον ἀναστὰς, τὸ μὲν μεταπείθειν οὐ ῥᾴδιον αὐτοὺς ὁρῶν, ἀκρισίᾳ πολλῇ καὶ παραβόλῳ θράσει φερομένους, τὸ δὲ βιάζεσθαι δοκεῖν ἐθέλειν παραιτούμενος, παρεσκευασμένος ἤδη μετὰ μικρὸν παντάπασι τῆς ἀρχῆς ἐξίστασθαι τῷ νέῳ βασιλεῖ. ἐξῆν γὰρ αὐτῷ, εἴγε μάλιστα ἠβούλετο, κυροῦν τὴν περὶ τῆς εἰρήνης ψῆφον, ὀλίγα φροντίσαντι τῶν ἐπὶ τὸν πόλεμον παρακαλούντων ὡς ἀλυσιτελῆ
P. 874 παντάπασι τῷ κοινῷ βουλευομένων. ὁ μὲν οὖν πρὸς τοὺς βαρβάρους πόλεμος οὐκ ἐπ' ἀγαθῷ Ῥωμαίοις ἐτελεύτησεν, ὑπὸ τῶν τότε θορυβούντων ἐξαφθεὶς μετὰ μικρόν.
B μα'. Βασιλεὺς δὲ ὁ Καντακουζηνὸς εἰς τρίτην ἡμέραν ἐξ ἐκείνου ἅμα βασιλεῖ τῷ νέῳ ἐπὶ τὸ εἰς τὴν Χρυσῆν πύλην ᾔει φρούριον, ὡς παραδώσων κατὰ τὰς συνθήκας. γενομένοις δὲ πρὸς τῷ τῆς θεομήτορος τεμένει, ὃ πηγή τέ ἐστι παντοίων ἰαμάτων καὶ καλεῖται, βασιλεὺς μὲν ὁ νέος κατελείπετο ἐκεῖ, Καντακουζηνὸς δὲ ὁ βασιλεὺς ὀλίγους ἔχων, ἐγένετο ἐν τῷ φρουρίῳ, ὡς πείσων τοὺς

glexisse, et nunc sua sponte his, quae conducere putaret, propter eandem causam adversantia suadere. Deinde profitebantur, se bellum malle, et rogabant alios, ut in eandem sententiam pedibus irent: non enim barbaros ignaviores eos, quam ipsimet essent, inventuros, sed sensuros utique, sibi rem cum viris esse, non cum feminis. Palaeologo, quid animi haberet, prorsus tacente et quaerente secum, utris assentiretur, Cantacuzenus surgens, conventum dimisit: videbat enim, illos in diversum flectere, qui non iudicio, sed temeritate et confidentia regerentur, futurum difficile: et eos velle cogere, existimari nolebat, paratus iam eis paucos dies Palaeologo toto imperio cedere. Licebat enim illi, si collibuisset, pacis sententiam ratam facere et illos belli flagitatores, ut rei publicae prorsus infructuosa consulentes, contemnere. Bellum igitur contra barbaros non cum utilitate Romanorum finitum, sed a seditiosis istis paulo post accensum est.

41. Imperator Cantacuzenus tertio post die una cum Palaeologo ad portam Auream concessit, ut castellum illud seu propugnaculum ex conventis ei traderet. Ubi ad Deiparae templum venerunt, re et nomine fontem omnis sanitatis, Palaeologus illic substitit, Cantacuzenus cum paucis in propugnaculum perrexit, persua-

φρουροὺς παραδιδόναι ἀμαχεί. καὶ εἰσεδέχοντο ἀσμένως οἱ A. C. 1354 Λατῖνοι μόνον. οἰόμενοι δὲ αὐτὸν πρότερόν τε ἀδυνάτως ἔχειν ἥκειν παρ' αὐτοὺς καὶ τότε καιροῦ τυχόντα καὶ παραγενόμενον, συγκαθέξειν αὐτοῖς τὸ φρούριον προθύμως, ἄχρις C ἂν ἀφίκηται ἡ στρατιὰ, (ᾔδεσαν γὰρ τόν τε υἱὸν μετακεκλημένον καὶ τοὺς ἄλλους ἡγεμόνας,) συνήδοντό τε καὶ παρεκελεύοντο θαῤῥεῖν, ὡς αὐτῶν αὐτοῦ τε ἕνεκα καὶ σφῶν αὐτῶν ἐῤῥωμένως πᾶσι μαχουμένων, ὅσοι ἂν ἐπίωσι, καὶ περιεσομένων ῥᾷον, οὐ μόνον διὰ τὴν σφετέραν εὐτολμίαν καὶ τὴν ὀχυρότητα τοῦ φρουρίου, σφόδρα ὄντος δυσαλώτου διὰ τὴν κατασκευὴν, ἀλλ' ὅτι καὶ σῖτον ἦσαν ἐντεθειμένοι καὶ τὰ ἄλλα ἐπιτήδεια, ἀφθόνως παρασχομένου βασιλέως, ὡς τρυφῶντας καὶ κωμάζοντας εἰς τρίτον ἔτος ἐξ ἐκείνου διαρκέσειν πολιορκουμένους. τοῦ βασιλέως δὲ αὐτοῖς εἰπόντος, ὁποίας θοῖτο πρὸς βασιλέα τὸν γαμβρὸν συνθήκας ἐπὶ τῇ εἰρήνῃ, καὶ ὡς εἰς τοῦτο ἥκει, ὥστ' ἐκείνῳ τὸ φρούριον πα- D ραδιδόναι, ἠνιῶντό τε καὶ ἐδυσχέραινον οὐκ ἀνεκτῶς, καὶ ἱκέτευον προσκυνοῦντες, μὴ τοιαῦτα πράττειν, ὡς ῥᾴδιον ὂν ἐκεῖθεν, ἐπειδὰν ἀφίκοιτο ἡ στρατιὰ, βασιλέα τὸν νέον Βυζαντίου ἐξελαύνειν. μάλιστα δὲ Ντζιουὰν Περάλτα ὁ τούτων ἡγεμὼν αὐτός τε ἐδεῖτο βασιλέως καὶ τοὺς ἄλλους ἔπειθεν, οἷα δὴ χρόνον τινὰ συχνὸν ἤδη συγγενόμενος τῷ βασιλεῖ καὶ πολλοὺς ὑπὲρ αὐτοῦ κινδύνους ὑποστάς. τῶν γὰρ ἐκείνῳ συστρατευομένων ἦν, ἡνίκα διέτριβεν ἐν Τριβαλοῖς V. 697 κατὰ τὸν τοῦ πολέμου χρόνον, καὶ πλείστας ἀποδείξεις πα-

5. ἀφίκοιτο M. 18. προσκυνοῦντος P.

tium imperator versaretur, ipsi parati in custodes palatii derepente irruerent: quibus et aliis omnibus expulsis, aeque custodes agerent adversantesque repellerent, imperatoris tantum filios et uxorem intus retinentes. Si imperator eos aggrederetur et deditionem postularet, tum iuramentum ab eo peterent, facinoris huius poenas non exacturum et pecuniam insuper numeraturum Matthaeumque, uxoris suae germanum, carcere levaturum et Adrianopolis finitimorumque oppidulorum principatum ei concessurum. Si imperator de postulatis recusaret aliquid, neque obsequeretur, ut minarentur, liberos eius et uxorem interfecturos: ipsum, quoniam armis nihil poterit, saluti liberorum, necessitate cogente, omnia postpositurum. Haec Zianus coniuratis suggerebat. Paulo post insidiis compertis, imperator eum comprehendit, de sceleris sui sociis examinat. Ille et alios et Cantacuzenam imperatricem nominat autumatque, magnis ab ea pollicitationibus huc inductum: nec enim per se tantum facinus ausurum fuisse, hominem infimum et egentem, sine insignis alicuius opera et impulsu. Imperatori mox utrinque res dura et atrox apparere. In tali quippe causa calumniis appetitam impera-

ἐπιβουλὴν, οὐκ ἀγαθόν· καὶ τὸ συνειδέναι καὶ συμπράττειν A. C. 1355 σφόδρα χαλεπὸν, εἰ ἐκείνῃ μὲν αὐτὸς τοσοῦτον εὐνοοίη, ὥστε βούλεσθαι καὶ τὸν υἱὸν ἀπολύειν τῶν δεσμῶν, οὐδενὸς ἂν ἑτέρου προσδοκήσαντος, αὐτὴ δ' ἐπὶ τοσοῦτον δυσμεναίνοι, ὥστ' ἐπιβουλὰς τοιαύτας συσκευάζειν κατ' αὐτοῦ· μᾶλλον δὲ ὑπώπτευεν εἶναι τοὺς λόγους συκοφαντίας, καὶ πᾶσι ποιεῖν ἐβούλετο καταφανὲς, ὡς εἴη διαβολαὶ τὰ εἰρημένα. διὸ αὐτός τε ἀνέκρινεν ἐπιμελῶς τὸν Ζειανὸν, ἐπαγγελλόμενος αὐτῷ τὴν ἐπὶ τῇ ἐπιβουλῇ ἀφήσειν δίκην, εἰ τὰ περὶ βασιλίδος εἰρημένα συνομολογοίη ὡς εἴη συκοφαντίαι, καὶ τῶν ἐν τέλει τοῖς ἐπιφανεστέροις τὴν ἐξέτασιν ἐπέτρεπεν. ὁ P. 899 δ' ὁμοίως ἐπὶ πάντων ἰσχυρίζετο ἀληθῆ τὰ εἰρημένα εἶναι, καὶ πάντων ἐκείνην αἰτίαν εἶναι πρὸς ἅπαντα ἐξηγουμένην καὶ τρόπους ἐξευρίσκουσαν καὶ ἐπινοίας, ἐξ ὧν ἂν κατορθωθείη τὰ βεβουλευμένα. καὶ λόγους προσετίθει πιθανοὺς, ἐξ ὧν ὀλίγου δεῖν τοὺς πλείους ἔπειθε φαῦλα ἤδη περὶ βασιλίδος ὑποπτεύειν. οὕτω δὲ συμβὰν, καὶ Καλλίστου τοῦ πατριάρχου ἐν τοῖς βασιλείοις ἀφιγμένου, ἐπεὶ ὁ Ζειανὸς ἐξεταζόμενος ἐπύθετο παρεῖναι, ἀφορισμὸν ἀπὸ θεοῦ παρὰ τοῦ πατριάρχου προὐκαλεῖτο, ὡς οὕτως ὑπ' ἀνάγκης ἅπαν λέξων τἀληθές. δόξαν δὲ καὶ βασιλεῖ λυσιτελεῖν, (οὐδὲ γὰρ ἂν ἀφειδήσειν ἑαυτοῦ τοσοῦτον Ζειανὸς, ὡς ἐπ' ἀπωλείᾳ ψυχῆς οὕτω καταψεύσεσθαι βασιλίδος ἐπ' ἐλπίδι κέρδους B

3. τῶν om. P. 5. ἐπιβολὰς P. 6. ὑπόπτευεν P. 9. ἀφέσεως P.

tricem, si insidiarum minime conscia esset, haud bonum: esse autem consciam et facti participem, valde immane iudicabat, quando ipse adeo bene cuperet, ut filium eius e vinculis emittere cogitaret, quod nemo exspectasset, ipsa vero tantas in se insidias tam maligne compararet. Verumtamen eo potius propendebat, ut sermonem illum pro obtrectatione haberet, et id constare volebat omnibus. Idcirco curiosius Zianum excutiens, se illi propter insidias supplicium condonaturum affirmabat, si de imperatrice detraxisse confiteretur: et procerum nobilioribus quaestionem dabat. Zianus perinde in omnibus vera se locutum asseverabat culpamque omnem in illam reiiciebat: illam ad omnia praeivisse, illam modos et astum invenisse, quibus mente concepta feliciter patrarentur: et probabilibus utebatur argumentis, quibus pluribus malam de imperatrice suspicionem ferme iniiciebat. Forte et Callistus patriarcha in palatium venit, quem ut Zianus, qui tum a iudicibus interrogabatur, adesse audivit, eam ad anathematismum in se dictandum provocabat: sic enim coactum, quod res esset, enuntiaturum. Cum idem imperatori placeret, (neque enim tantopere parsu-

A. C. 1355 οὐδενὸς,) ἐπέτρεπε πραχθῆναι. εἰρημένου δὲ καὶ τοῦ ἀφορισμοῦ, ἔτι βεβαιότερον τὰ πρότερον εἰρημένα ἰσχυρίζετο. ὃ μάλιστα τὴν βασιλέως γνώμην ἔσεισε καὶ δυσμεναίνειν αὐτῷ τὴν βασιλίδα Εὐγενίαν ἔπεισε πρότερον οὐδαμῶς φαύλας ἔχειν περὶ ἐκείνης ὑπονοίας ἀνεχόμενον. ἀχθεσθεὶς δὲ οὐ μετρίως καὶ λύπης ἔμπλεως γενόμενος ἐπὶ τοῖς συμβᾶσι, Ζειανὸν μὲν ἐκέλευεν ἐν δεσμωτηρίῳ φρουρεῖσθαι καθειρχθέντα, αὐτὸς δὲ ἀπέσχετο τοῦ περὶ τὴν ἐλευθερίαν τοῦ γυναικὸς ἀδελφοῦ τι πράττειν ἢ βουλεύεσθαι, ἄτοπον εἶναι λογισάμενος καὶ σχέτλιον κομιδῇ τὴν μὲν ἐκείνου μητέρα τὴν βασι-
C λίδα τοσαύτην πρὸς αὐτὸν πικρίαν καὶ δυσμένειαν ἐνδείκνυσθαι, ὡς πάντα πράττειν, ἐξ ὧν ἂν αὐτὸς διαφθαρείη, ἢ ὡς μάλιστα πρὸς πολλῶν ἀφίκοιτο πεῖραν δυσχερῶν, αὐτὸν δὲ ὥσπερ ἀπεστερημένον τὸ λογίζεσθαι, καὶ τὸν υἱὸν ἐκείνης ἀφιέναι τοῦ δεσμωτηρίου, πολέμιον ἐσόμενον κἀκεῖνον σὺν αὐτῇ. χρόνου δὲ οὕτω βραχέος παραῤῥυέντος, Ζειανὸς ἐν τῷ δεσμωτηρίῳ ὥσπερ εἰς συναίσθησιν, οἷα εἴργαστο, ἐλθὼν καὶ δείσας, μὴ καὶ μετὰ τελευτὴν τοῖς ἐν ᾅδου καταδίκοις συνεῖναι καταψηφισθῇ, οἷα δὴ πρὸς τῷ σεσυκοφαντηκέναι βασιλίδα καὶ ἀφορισμὸν ἀπὸ θεοῦ δεξάμενος καὶ δαίμοσιν ἑλόμενος συνεῖναι τοῖς ἀπὸ θεοῦ κεχωρισμένοις, γράμματα ἔ-
D πεμπε τῷ πατριάρχῃ διά τινος τῶν πάνυ φίλων. τὰ δὲ ἐδήλου, ὡς συκοφαντοῖτο μὲν ὑπ' αὐτοῦ ἡ βασιλὶς ἐπὶ τοῖς εἰρημένοις καὶ μηδὲν αὐτῷ συνειδείη καὶ τοῖς συνομόταις

rum sibi Zianum, ut cum exitio animae ita contra imperatricem nullius exspectatione lucri mentiretur,) indulsit. Lata anathematis sententia, etiam pertinacius, quae prius dixerat, affirmabat. Unde imperator vehementissime perturbatus, Eugeniam, de qua nihil sinistrum sustinebat suspicari, sibi male velle credidit, dolensque non mediocriter et moestitudinis ob hoc plenus, Zianum in custodiam dari iussit et ipse de Matthaei liberatione agere aut cogitare destitit, absurdum et nefarium inprimis ratus, eius matrem tantum sui odium et malevolentiam concepisse, ut ad pestem sibi aut aerumnas maximas creandas moliretur omnia, se vero, tanquam mentis inopem, etiam filium eius, hostem sibi una cum illa futurum, e carcere dimittere. In his brevi temporo elapso, Zianus in carcere, ut conscientia sceleris sui exagitatus et timens, ne post mortem etiam ad inferos mitteretur, velut qui praeter calumnias in imperatricem a Deo quoque diro carmine separatus esset et cum daemonibus a numinis societate in omnem aeternitatem seiunctis versari elegisset, per amicissimum quendam patriarchae litteras mittit, quibus significat, se adversus imperatricem, ignaram, quae ipse cum coniuratis machinatus esset, falsa locutum, et quo mendacio suo fidem impe-

τῶν βεβουλευμένων· τοῦ πιστευθῆναι δὲ τὰ πεπλασμένα ἕνεκα A. C. 1355 καὶ τὸν ἀφορισμὸν κακῶς καὶ ἀνοήτως δέξασθαι. νυνὶ V. 716 δὲ εἰς οἷον βάραθρον ὑπ' ἀναισθησίας κατώλισθε συνιδόντα, τυχεῖν συγγνώμης δεῖσθαι τἀληθὲς ἅπαν ἐξαγγέλλοντα, καὶ τῶν ἐκ τοῦ ἀφορισμοῦ δεσμῶν λυθῆναι. ὁ μὲν οὖν Ζειανὸς τοιαῦτα ἔγραφεν· ἀγχίνους δὲ ὢν ὁ τὰ γράμματα κομίζων καὶ χρήσασθαι καιροῖς ὀξὺς καὶ συνιδών, ὡς, ἂν μὲν πρὸς πατριάρχην τὰ γράμματα ἀγάγοι, Ζειανῷ τὴν ὠφέλειαν παρεσχημένος ἔσται μόνῳ, βασιλεῦσι δὲ κατάδηλα ποιήσας, πρὸς οἷς ὠφελήσει Ζειανόν, καὶ βασιλίδα τὴν Εὐγενίαν ἀπαλλάξει τῆς P. 900 συκοφαντίας καὶ τοῦ δεσμωτηρίου τὸν υἱόν, ἀφῖκτο πρὸς Εὐγενίαν τὴν βασιλίδα, φέρων καὶ τὰ γράμματα. ἣ δ' ἔπεμπεν αὐτίκα βασιλεῖ τῷ Καντακουζηνῷ, καὶ ὃς οὐδὲν μελλήσας, τῷ νέῳ βασιλεῖ τὰ γράμματα ἐδείκνυ. οὕτω δὲ σαφέστατα ἐληλεγμένης τῆς συκοφαντίας, ὁ νέος βασιλεὺς ἔνθους τε ἦν ὑφ' ἡδονῆς, ὅτι ἡ πρὸς τοὺς οἰκειοτάτους διελύετο δυσμένεια, ὅπερ μάλιστα ἐβούλετο, καὶ Ζειανοῦ πολλὴν μοχθηρίαν καταγνοὺς εἰκῇ καὶ μάτην ἑλομένου τὴν τοσαύτην συκοφαντίαν, ἔπραττεν αὖθις, ὅπως τὸν γυναικὸς ἀδελφὸν ἀφήσει τοῦ δεσμωτηρίου. τῶν πραγμάτων δὲ καλούντων ἐπὶ Θεσσαλονίκην ἀναγκαίως καὶ δεομένων τῆς ἐκείνου B παρουσίας, ἐξεστράτευσε τριήρεσι. μετὰ δὲ τὴν ἐπάνοδον πέμψας ἐκ Τενέδου, ἤγαγεν εἰς Ἐπιβάτας, φρούριόν τι περὶ Σηλυμβρίαν, τὸν γυναικὸς ἀδελφόν, ὅπως ἐγγὺς ἀλλήλων

4. τἀληθῆ M. mg. 8. ἀγάγῃ M.

traret, improbe ac stolide anathematismum suscepisse. Nunc autem in quale barathrum prae stupore deciderit cognoscentem totamque veritatem enuntiantem, veniam et absolutionem ab excommunicatione flagitare. Haec Zianus scripsit. Verum qui litteras portabat, solers et ad occasionem arripiendam promptus, intelligens, si eas ad patriarcham deferret, Ziano soli profuturum: at si imperatoribus reddidisset, praeter hoc, quod Ziano prodesset, etiam Eugeniam imperatricem calumnia et filium carcere liberaturum, cum litteris ad illam abiit. Quas illa statim ad Cantacuzenum misit, et is Palaeologo sine mora legendas exhibuit. Sic manifestissime deprehensa criminatione, nimio gaudio paene desipuit imperator, quoniam scilicet malignitas illa contra coniunctissimos ad nihilum recidebat, quod mirifice optaverat: et Ziani scelus exsecratus, qui sine causa ac temere tam odiosam calumniam confinxisset, subito ad uxoris fratrem e custodia educendum incubuit. Sed cum Thessalonicae negotia praesentiam eius plane requirerent, eo triremibus profectus est. Post reditum Tenedum mittens, Matthaeum Epibatas, castellum quoddam prope Selybriam, duxit, ut, cum essent vicini, colloqui possent. Po-

A. C. 1355 ὄντων γίγνοιντο οἱ λόγοι. ἠξίου τε τὴν βασιλείαν ἀποθέμενον παντάπασι, τὴν ἰδιώτου τύχην στέργειν, τιμὰς καρπούμενον τὰς μετὰ βασιλέα πρώτας καὶ τῶν βασιλέως παίδων πάντων ἐν ἅπασι προέχειν, πλὴν Ἀνδρονίκου βασιλέως. ἐξεῖναι δὲ αὐτῷ καινοτομεῖν ἑτέραν στολὴν, ὁποίαν ἂν ἐπινοοίη, καὶ ταύτῃ χρῆσθαι, πράττειν δὲ βασιλικῶς μηδὲν, μήτε φθέγ-
C γεσθαι. ἢν δέ τις οἷα βασιλεῖ προσφέροιτο ἢ προσαγορεύοι, τοῦτον ἀπελαύνειν πρὸς ὀργήν. τοιαύτη μὲν ἡ Παλαιολόγου τοῦ βασιλέως ἦν ἀξίωσις. Ματθαῖος δὲ ὁ βασιλεὺς μᾶλλον εἵλετο φρουρεῖσθαι διὰ βίου, ἢ τοιαῦτα ὑπομένειν. πρῶτον μὲν γὰρ ἔφασκεν, οὐ ῥᾷον εἶναι ἐνεγκεῖν τὸν χθὲς καὶ πρώην προσκυνούμενον ὡς βασιλέα νῦν ἐν ἰδιώτου σχήματι τελεῖν καὶ τῶν ἄλλων ὀλίγον διαφέρειν ἢ οὐδέν· ἔπειτα οὐδ' ἡ πρόφασις αὐτὴ τοῦ δεσμωτηρίου φαύλη τις καὶ ἀγεννής. ἀλλ' ὑπὲρ τῆς τῶν ὁμοφύλων ἐλευθερίας βαρβάροις τοῖς δουλωσαμένοις πολεμῶν, ἡλίσκετο κατὰ τὴν μάχην ἀτυχήσας, ὃ πολλοῖς συμβέβηκε καὶ πρότερον Ῥωμαίων βασιλεῦσι· καὶ
D νῦν ὑπὲρ εὐδοξίας καὶ τιμῆς μᾶλλον αἱρεῖται τὰ δεινά· ὑπὲρ ὧν οὐκ ἄν τις μέμφοιτο δικαίως εὖ φρονῶν. ἂν δὲ πρὸς τὴν δοκοῦσαν δυσπραγίαν ὑποπτήξας, καταπροδῷ τὴν εὐδοξίαν ἑκοντὶ, πᾶς ὁστισοῦν ἂν δικαίως μικροψυχίας καὶ ἀνελευθερίας γράφοιτο. δι' ἃ ῥᾷον ἂν ἐνέγκοι τὸ δεσμεῖσθαι διὰ βίου, ἢ καταπροΐεσθαι τὴν δόξαν διὰ τὴν ἐν τῷ παρόντι τῶν δεινῶν ἀπαλλαγήν· ἠξίου τε βασιλέα τὸν γαμβρὸν, εἰ βού-

stulabat autem, ut imperio penitus renuntiaret, privati statu contentus, et honoribus post imperatores primis, liberos eius in omnibus (excepto Andronico imperatore) antecederet. Licere autem illi novum genus vestitus excogitare, eoque uti sed facere aut loqui ut imperatorem nihil. Quodsi quis erga eum tanquam imperatorem se gereret, aut eum hoc nomine appellaret, hunc iratus reiiceret. Talis erat Palaeologi postulatio. Matthaeus tota vita carcerem habitare, quam talem conditionem malle. Primum enim intolerabile aiebat, qui heri et nudiustertius adoratus fuisset ut imperator, nunc subesse privati habitu et ab aliis parum aut nihil differre. Deinde neque ipsam occasionem carceris pudendam et contemnendam esse, sed ob libertatem homophylorum, quam barbari ereptum iverint, se infelici Marte pugnantem captum esse, quod et antea multis Romanorum imperatoribus acciderit; et nunc gloriae et honoris causa velle adversa perpeti: id quod nemo prudens vitio daturus sit. Quodsi ista miseria, quae videtur, fractus, sponte se submittat suamque gloriam libens prodat, ab omnibus pusilli animi iure accusatum iri. Quamobrem facilius tota vita in custodia mansurum, quam propter liberationem malorum praesentium decora sua ultro

λοιτο τὰ δέοντα ποιεῖν, μηδενὸς ἀποστερεῖν τῶν ὄντων, ἀλλὰ A. C. 1355 πρὸς τῷ ἀφεῖναι τοῦ δεσμωτηρίου καὶ τὸ βασιλέα εἶναι συγχωρεῖν. ἢ εἰ μηδὲ ταῦτα συγχωροίη, μᾶλλον αὐτὸν αἱρήσεσθαι τὸ εἶναι διὰ βίου ἐν δεσμοῖς.

μη'. Καντακουζηνὸς δὲ ὁ βασιλεὺς γενόμενος ἐν Ἐπι- P. 901 βάταις, ἐπεὶ πύθοιτο τοιαῦτα περὶ τοῦ υἱοῦ, πείθειν ἐπε- V. 717 χείρει, ὡς οὐ προσήκοντα αἱρεῖται. πρῶτον μὲν γὰρ εἶναι μηδὲν τῶν πάντων, ἔφασκεν, ὃ μὴ τῇ θεοῦ προνοίᾳ διοικεῖ- B ται, μάλιστα δὲ εἰ τὰ κατ' αὐτὸν ἕκαστα σκοποίη, πάνθ' εὑρήσει τῇ τοῦ θεοῦ σοφῇ προνοίᾳ εἰργασμένα εὐθὺς ἐξαρχῆς σκοπῶν. τὸ γὰρ τοὺς ἐκ Φωκαίας πειρατὰς Βιθυνίαν παραπλέοντας ἐφ' ἁρπαγῇ καὶ μέγιστον κέρδος ἡγουμένους καὶ τῶν φαυλοτάτων τινὰς ἐξανδραποδίζειν, ἀθρόον οὕτω καὶ πέρα προσδοκίας εὐτυχηκέναι, ὥστε τὸν μυρίων μὲν ἀνθρώπων ἄρχοντα καὶ δύναμιν μεγάλην περιβεβλημένον, μεγάλοις δὲ στρατοπέδοις δυνάμενον ἀντικαθίστασθαι, συλλαβεῖν ἀπονητὶ, Ὀρχάνην δὲ τὸν πατέρα τῇ πρὸς τὸν παῖδα συμπαθείᾳ πολλὰ δεηθῆναι βασιλέως, ὥστε τὸν υἱὸν ἀπαλλάττειν τῆς αἰχμαλωσίας, καὶ μεγάλας τῆς εὐεργεσίας ταύτης ὑποσχέ- C σθαι ἀμοιβὰς, (ἑτέρως γὰρ ἑώρα οὐκ ἐνὸν τὸν υἱὸν ἀπαλλάττειν τῶν δεσμῶν,) βασιλέα δὲ συνιδόντα καὶ αὐτὸν, ὡς τοῦτον τὸν τρόπον μάλιστα δυνήσεται Ὀρχάνην πείθειν αὐτῷ προσέχειν καὶ τοῦ σοὶ κατ' ἐκείνου συμμαχεῖν ἀναγκάζειν ἀποσχέ-

22. τὸν om. P.

proiecturum: orabatque imperatorem affinem, si vellet recte facere, ne se ullo ornamento spoliaret, sed cum se carcere absolveret, tum imperatorem esse pateretur. Hoc si sibi negaret, quoad viveret, in vinculis haberi malle.

48. Cantacuzenus cum Epibatis esset et haec de filio audiisset, docere studuit, ipsum a scopo aberrare. „Primum enim nihil ex omnibus rebus est," inquit, „quod non divina providentia administretur, praecipueque si singula ab initio consideres, quae tibi contigerunt, omnia sapienti numinis consilio gubernata invenies. Nam quod piratae Phocaeenses, Bithyniae oram praedandi causa legentes et immensum lucrum ducentes, si vilissimos quosdam in servitutem possent abripere, tam secunda fortuna repente et praeter exspectationem usi fuerint, ut innumerabilium mortalium principem potentissimum ac numerosis valentem resistere exercitibus sine labore ceperint, Orchanes vero pater sympathia erga filium enixe imperatorem oraverit, ut filio libertatem conciliaret, magnasque huius beneficii compensationes promiserit, (aliter enim e custodia liberari posse non videbat,) imperator autem ipse perspexerit, hoc maxime modo Orchanem se ad suas partes adiuncturum, et ut abs te iuvando abstineret effecturum, et hac spe triremes armaverit semperque mari

A. C. 1355 σθαι, καὶ ταύτης τῆς ἐλπίδος ἕνεκα τριήρεις ἐφοπλίσαντα προσέχειν ἀεὶ θαλάσσῃ καὶ πειρᾶσθαι τὸν Ὀρχάνη παῖδα ἀνασώζειν, ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καὶ σὲ ὑπὸ Τριβαλῶν προσκεκλημένον, μόνους ἔχοντα βαρβάρους, ἐξεστρατευκέναι πρὸς Μακεδονίαν, οὕτως ὑπ' ἀνάγκης περισχεθέντα, ὥστε τὴν οὖσαν ἐκ Ῥωμαίων στρατιὰν ἀπολιπεῖν, Τριβαλοὺς δὲ τοὺς D πρότερον οὐδ' ἀντιβλέπειν πρὸς τοὺς Πέρσας πώποτε τετολμηκότας ὀλίγους παρὰ δόξαν πρὸς πολλαπλασίους ἀντικαταστῆναι, τοὺς Πέρσας δὲ, καίτοι κρείττους τῶν πολεμίων γενομένους, αὐτοὺς ὑφ' ἑαυτῶν διαφθαρῆναι τραπομένους πρὸς φυγὴν, σὲ δὲ ὑπολειφθέντα μόνον, ἁλῶναί τε ὑπὸ τῶν πολεμίων καὶ δεσμώτην ἀπαχθῆναι πρὸς βασιλέα τὸν γαμβρὸν, ἐπιστρατεύσαντα αὐτίκα ταῖς πόλεσι ταῖς ὑπὸ σὲ καὶ σὺν ῥᾳστώνῃ πάσῃ χειρωσάμενον καὶ γυναῖκα καὶ παῖδας τοὺς σοὺς ὑφ' ἑαυτὸν πεποιημένον, καὶ πάντα ὥσπερ ἐκ συνθήματος συνδραμεῖν, οὐδένα οἴομαι τῶν πάντων, εἰ μὴ φρενῶν ἀπεστέρηται παντάπασι καὶ λογισμῶν ὀρθῶν, μὴ κατὰ θείαν πρόνοιαν οἰήσεσθαι συμβεβηκέναι. ἃ καὶ σὲ πεπεισμένον, οὐχ P. 902 ἑτέρως ἐσχηκέναι δέον τοῖς ἐψηφισμένοις στέργειν τῷ θεῷ καὶ μὴ μετὰ τὴν φιλάνθρωπον παιδείαν ταύτην, (πεπαίδευκε γάρ σε φιλανθρώπως τῷ θανάτῳ μὴ παραδοὺς,) ἀναίνεσθαι τὴν ἀνάκλησιν, εἰ μὴ καὶ τῆς βασιλικῆς ἔξεστιν εὐδοξίας ἀπολαύειν, ὥσπερ πρότερον. καίτοι καὶ τὸ πρὸς πᾶσαν ἑτέραν δόξαν τὴν παρὰ τόνδε τὸν βίον ἐπίκηρον οὖσαν καὶ διαῤῥέου-

12. ἀχθῆναι M. mg.

incubuerit et Orchani filium recuperare contenderit, sub idem vero tempus et tu a Triballis accersitus, cum solis barbaris in Macedoniam iveris, ea necessitate, ut Romanum exercitum relinqueres, Triballi vero, qui prius contra Persas nec oculos audebant attollere, pauci adversum multo plures pugnaverint, Persaeque, quamquam hostibus longe potentiores, per se ipsi in fugam se coniecerint, ipseque relictus solus, ab hostibus captus et vinctus ad imperatorem affinem adductus sis, qui statim in urbes tuas copias duxerit, iisque levi negotio subactis, uxorem et liberos tuos in arbitrium suum redegerit, et sic omnia de industria percurrendo, neminem ego repertum iri puto, si modo particula mentis utatur, qui non omnia coelesti providentia acta esse iudicet. Quod et tu credens non aliter se habere, in divinis decretis acquiescere debes, nec post mitem hanc castigationem (castigavit enim te benigne, nec morti tradidit,) revocationem ab exilio recusare, tametsi, qua nuper fulgebas, imperatoria gloria privatus sis. Quamquam nec ad alios huius vitae honores caducos et fluentes obstupescere prudentium incorrupteque iudicantium est. Quae autem ex imperio isto gloria percipitur, haud

σαν ἐπτοῆσθαι, οὐκ ἀνδρῶν ἐχόντων νοῦν καὶ προσεχόντων A. C. 1355
ἀληθέσι λογισμοῖς. ἡ δὲ ἐκ τῆς βασιλείας ταύτης καὶ κίνδυνον οὐ τὸν τυχόντα τῷ μὴ καλῶς τοῖς πράγμασι χρωμένῳ καὶ προσηκόντως ἂν ἐνέγκοι. οὐ γὰρ ὥσπερ ἐν τοῖς ἄλλοις, ἂν ῥαθύμως, οὕτω δὴ καὶ βασιλεῦσιν ἐφ' ἑαυτοὺς ἡ βλάβη περιγίνεται, βιοτεύωσιν· ἀλλὰ τά τε ἀγαθὰ ὁμοίως B
κοινὰ τοῖς ὑπηκόοις καὶ τὰ φαῦλα, καὶ δέον ἀγαθοῦ παντὸς ἀρχέτυπον τὴν βασιλέως καθεστάναι ψυχήν· εἰ δὲ μὴ, οὐ τῆς σφετέρας μόνον ῥαθυμίας ὀφλήσει δίκας, ἀλλὰ καὶ τῆς τῶν πολλῶν. ἃ τίς ἂν νοῦν ἔχων ἐννοήσας, οὐκ ἂν ἕλοιτο μᾶλλον ἀφανείᾳ πολλῇ συζῆν, τῆς ζημίας οὐκ εἴς τι τῶν φαυλοτέρων, ἀλλ' εἰς αὐτὴν τὴν ψυχὴν διαβαινούσης, ᾗ τά τε ἀγαθὰ ὁμοίως καὶ τὰ φαῦλα ἀθάνατα συνέσται; ἐπὶ τούτοις δὲ καὶ κατὰ τὸν τῇδε βίον πολλῶν ἀγώνων καὶ πόνων καὶ κινδύνων τῷ βασιλεύοντι δεήσει, εἰ μέλλοι μὴ παρέργως, ἀλλὰ κατὰ τὸν λόγον χρῆσθαι τῇ ἀρχῇ. προκινC
δυνεύειν γὰρ τῶν ὑπηκόων δίκαιον ἀεὶ καὶ μὴ ἐν τῷ ἰδίῳ V. 718
ἀσφαλεῖ προΐεσθαι τὴν ἐκείνων σωτηρίαν· καὶ πάντα πόνον ὑπομένειν καὶ πρὸς τὴν διοίκησιν τῶν κοινῶν καὶ πρὸς τῶν πολεμίων τὴν ἀντίστασιν, τῶν τε ἔξωθεν ἐπιόντων καὶ τῶν ἔνδοθεν ὁμοίως ἐπιβουλευόντων. ἂν δέ τις ἔροιτο, ὅτου χάριν πολλὴν τῷ πράγματι δυσχέρειαν συνειδὼς καὶ τοσούτων πόνων καὶ ἀγώνων τὴν βασιλέως δεομένην ψυχὴν, αὐτὸς, ἐνὸν ἐν ἰδιώτου μοίρᾳ πάντων ἀπηλλάχθαι, τοσαῦτα ὑπὲρ τοῦ τυ-

12. τὴν om. P. 16. τὸν om. P.

vulgare periculum non bene atque ut decet rem publicam administranti attulerit. Non enim, quemadmodum aliis, si vitam solute transegerint, sic etiam imperatoribus usu venit, ut damnum ad ipsos modo pertineat, sed et bona et mala ipsorum subditis communia sunt, et imperatoris animam omnis virtutis speculum atque archetypum esse oportet: alioqui non solum suae, sed et aliorum segnitiei poenas persolvet. Quae quis tandem non stultus secum reputans non vel obscurissimus vivere malit, cum detrimentum non in despicabile quippiam, sed in ipsam animam derivetur, cui et bona et mala in sempiternum inerunt? Praeterea et multis contentionibus, laboribus et discriminibus in hac vita perfungendum est imperatori, si nolit quasi aliud agens, verum ut ratio praescribit, imperio praeesse. Etenim pro subiectis adire periculum semper aequum est, nec, dum ipse modo securus sit, alienam salutem parvi pendere: et cum in moderanda re publica, tum in coërcendis hostibus, et foris invadentibus et intus insidiantibus, laborem quemvis capessere. Interroget quispiam, cum scirem, quantis ista functio impedita esset difficultatibus, quotque contentionibus ac laboribus imperatoris animus volentis, nolentis exerceretur, possemque privati

A. C. 1355 χεῖν εἱλόμην ὑπομένειν καὶ κινδύνοις φοβεροῖς καὶ περιστάσεσι ποικίλαις προηκάμην ἐμαυτὸν, ἐκεῖνο ἂν ἀποκριναίμην φιλαληθῶς, ὅτι μὴ βασιλικῆς ἀρχῆς ἐρῶν, μηδὲ πρὸς τὴν
D ἐκ ταύτης δόξαν κεχηνὼς, ἑκὼν εἶναι καθῆκα ἐμαυτὸν εἰς τοὺς ἀγῶνας, ἀλλ' ὑπὸ τῶν ὁμοφύλων ἐπιβουλευθεὶς, πολλὰς συκοφαντίας καὶ διαβολὰς συσκευασάντων, καὶ εἰς αὐτὸν τὸν κολοφῶνα τῶν κακῶν συνελαθεὶς, (οὐδεμία γὰρ ἐλπὶς ὑπελείπετο πονηροτέρα,) καὶ συνιδὼν, ὡς οὐχ ἀγαπήσουσιν, ἂν αὐτοῖς παραχωρήσω τῶν πραγμάτων τῆς ἀρχῆς, ἀλλ' ὑπὲρ τοῦ δοκεῖν δικαίως πεπολεμηκέναι ὠμῶς ἀποκτενοῦσιν, ὡς τὰ ἔσχατα ἠδικηκότα, καὶ παῖδας διαφθεροῦσι καὶ οἰκείους καὶ τοὺς ἄλλους, ὅσοι πρότερον ἔτεσι πολλοῖς εὔ-
P. 903 νως ἔχειν ἐδόκουν πρὸς ἐμὲ, ὄντες οὐκ ὀλίγοι τινὲς, οὐδὲ εὐκαταφρόνητοι, ἀλλ' οἱ πλείους καὶ περιφανέστεροι Ῥωμαίων, ὑπὲρ τῆς σφετέρας τε καὶ τῶν συνόντων σωτηρίας εἱλόμην τὴν βασιλέως προσηγορίαν, καίτοι πρὸ πολλοῦ τοῦ χρόνου τῶν πραγμάτων ἄρχων καθεστὼς, οὐ δόξης ἕνεκα τῆς ἐκ τῆς βασιλείας ἐσομένης· οὐδὲ τοῦ τοῖς παισὶν ὥσπερ τινὰ πατρῷον κλῆρον καταλείπειν τὴν ἀρχήν. καὶ τούτου δείγματα παρεσχόμην ἐναργέστατα διὰ παντὸς τοῦ χρόνου οὐ μόνον πρὶν ἁπάσης ἐγκρατὴς γενέσθαι τῆς ἡγεμονίας, (δεομένων γὰρ ἁπάντων τῶν συνόντων καὶ σὲ αἱρεῖσθαι βασιλέα, οὐκ ἠθέλησα,) ἀλλὰ καὶ μετὰ τὸ πᾶσαν

18. τῆς P. pro τοῖς.

conditione et loco contentus, vacare istis omnibus, cur tandem adeo multa pro imperio adipiscendo sustinuerim et periculis formidandis variisque casibus me immiserim. Ego vero illud, ut veritatis amans, respondebo, me non imperatorii principatus avidum, neque eius maiestati inhiantem, sed homophylorum insidiis, qui tot obtrectationibus et falsis criminationibus per dolum ac fraudem consutis ad ipsum me malorum Colophonem compulerunt, ad hos agones descendisse: deterius enim sperare nihil poteram. Et quia praevidebam, cessione imperii contentos haud futuros, sed, ut bellum gessisse iustum viderentur, atrociter me, ut hostem nocentissimum, occisuros liberosque meos, propinquos et alios, quotquot antea multis annis mihi studuissent, (quorum nec exigua est multitudo, nec contemnenda auctoritas, cum maior pars illustriores Romani sint,) interempturos ob ipsorum et eorum, qui mecum erant, salutem imperatoris appellationem assumpsi, quamvis multo ante penes me esset rerum arbitrium, non profecto ob claritatem ex imperio orituram, neque ut id filiis meis patrimonii loco relinquerem. Cuius meae voluntatis, et priusquam totius imperii compos fierem et per omne tempus apertissimas significationes dedi. Nam cum totus ro-

ποιήσασθαι ὑπ' ἐμαυτόν· δεηθέντων γὰρ πολλῶν, καὶ μά- A. C. 1355
λιστα τῶν ἐπιφανεστάτων, τὰ ἴσα αὖθις περὶ σοῦ, τοσοῦτον B
τοῦ πεισθήσεσθαί ποτε ἀπέσχον, οἷς αὐτοὶ ἠξίουν, ὥσθ' ἅμα τῷ πᾶσαν ἔχειν καὶ τῆς μοχθηρίας τῶν συκοφαντῶν ἐναργεστάτας παρασχέσθαι ἀποδείξεις, πᾶσαν ἐπενόουν μηχανὴν καὶ πάντα ἔπραττον, ὥστε τῶν ἐκ τῆς ἀρχῆς θορύβων ἀπαλλάξας, ἀπραγμοσύνῃ τὸν ἐπίλοιπον συνεῖναι βίον καὶ πρὸς τὴν ἄλυτον ἐκείνην καὶ μὴ διαῤῥέουσαν ζωὴν πᾶσαν μεταθέσθαι καὶ φροντίδα καὶ σπουδήν. οὐ μὴν ἀλλ' εἰ καὶ μάλιστά τις φαίη τῆς δόξης ἕνεκα καὶ τῆς τρυφῆς καὶ τῶν ἄλλων τῶν δοκούντων ἐκ τῆς βασιλείας ἀγαθῶν τοὺς πόνους ἐμὲ καὶ τοὺς κινδύνους τοὺς τοσούτους ὑποστῆναι, μάλιστ' ἂν ἔγωγε φαίην ἀξιόχρεως καὶ διὰ τοῦτο τοῖς ἀλ- C
λοις εἶναι παιδευτής. σαφέστατα γὰρ ἐκ τῶν πραγμάτων συνιδὼν, ὡς τὸ τηλικαύτην ἀρχὴν διέπειν καλῶς καὶ προσηκόντως καὶ κατὰ μίμησιν τοῦ πάντων βασιλεύοντος θεοῦ, οὐκ ἂν εἴη παντὸς τοῦ βουλομένου, ἀλλ' ὅσοι πνεύματι θεοῦ ἀγόμενοι, πάντα πράττουσιν, ὅπως ἂν τῷ ἄγοντι δοκοίη· οἷος ἦν Δαυὶδ καὶ Κωνσταντῖνος ὁ μέγας ἐν βασιλεῦσι καὶ ὅσοι κατ' ἐκείνους τὴν ἀρετὴν, ἀσφαλέστατ' ἂν συμβουλεύσαιμι τοῖς μὴ τοιούτοις καὶ τῆς πρώτης πείρας ἀποσχέσθαι, μέλλουσιν οὐκ ἐλάττω βλάπτεσθαι ἐκ τῆς ἀρ-

8. ἄλυπον V. 13. μάλιστα ἂν P.

garet exercitus, ut te imperatorem deligerem, nolui. Quin cum iam omnia subegissem, eademque multi et illustrissimi flagitarent, tantum abest, ut illorum precibus unquam annuerim, ut, cum iam rerum dominus essem possemque sycophantas improbitatis evidentissime convincere, omnes vias quaesierim, egerim et molitus sim omnia, ut procul strepitu ac tumultu imperii, quod superesset vitae, in tranquilla negotiorum vacuitate consumerem et ad illam nunquam praeterlabentem immortalemque vitam omnem sollicitudinem studiumque transferrem. Verum enim vero si quis etiam dixerit, me nominis propagandi et deliciarum aliorumque commodorum gratia, quae ex imperio putantur provenire, labores et pericula tanta sustinuisse, ob id ipsum ego me aliis inprimis accommodatum fore magistrum et institutorem assero. Quia enim ab ipsa experientia eruditus clarissime perspexi, tantum imperium bene et convenienter cum omnium imperatoris Dei imitatione procurare, non esse in cuiusque volentis manu situm, sed eorum, qui spiritu Dei acti, omnia ex placito agentis agunt, (quales erant David et Constantinus ille magnus imperator et quicumque ad illorum praestantiam proxime accesserunt,) tutissimum consilium dederim iis, qui tales non sunt, ut etiam primo conatu abstineant, quandoquidem non minus nocumenti e principatu reportaturi sunt, quam se emolumenti reportaturos confide-

A. C. 1355 χῆς, ἢ ὅσα νομίζουσιν ὠφελεῖσθαι, σφᾶς αὐτοὺς ἐξαπα- D τῶντες, τὴν τρυφὴν καὶ τὴν βλακείαν καὶ τὴν ἄλλην πρὸς τὸν βίον ῥαθυμίαν νομίζοντες τῶν ἀγαθῶν. ταῦτα μὲν οὖν ἄν τις φαίη καὶ τὰ πλείω τούτων παραπλησια, πειρώμενος ἀποτρέπειν τοῦ μὴ σφόδρα κεχηνέναι πρὸς την δόξαν ταύ- V. 719 την τὴν κάτω καὶ πατουμένην, ἣν καὶ χρόνος διαλύειν δύναιτ' ἂν καὶ μεταβολὴ πραγμάτων καὶ μοχθηρία πονηρῶν ἀνθρώπων καὶ μυρία ἕτερά τινα· ἂν μέντοι πρὸς τούτοις καὶ θεὸς ἄνωθεν ἐπιψηφίζηται καὶ κελεύῃ φανερῶς ἐξίστασθαι τῆς ἀρχῆς, οὐ πάντα πράξομεν τὰ θεῷ δοκοῦντα μετ' εὐγνω- P. 904 μοσύνης, ἀλλὰ φιλονεικήσομεν, ἢ διὰ βίου βασιλεύειν, ἢ εἰ μὴ παρείη μηδὲ ζῆν, μηδὲ τὸν ἥλιον ὁρᾷν τουτονὶ, ἀλλ' ὑπὸ ζόφον βιοῦν αἱρεῖσθαι; καίτοι εἰ μὲν ἔκ τινων λογισμῶν ἀναμφιβόλων σαφέστατα ἐξῆν εἰδέναι, ὅτι τοὺς ἁπανταχοῦ βαρβάρους γῆς διαφθερεῖς καὶ τρόπαια λαμπρά τινα καὶ περιφανῆ στήσεις ἀπὸ πάντων πολεμίων καὶ τὴν ἀρχαίαν εὐδαιμονίαν τοῖς Ῥωμαίων ἀνασώσεις πράγμασι καὶ κυρίους γῆς καὶ θαλάσσης ὑποδείξεις, ὥσπερ ἦσαν ἐν τοῖς ἄνω χρόνοις, ὅτε ἤκμαζεν αὐτῶν ἡ δύναμις, λόγον ἄν τινα ἐδόκει ἔχειν ἡ πρὸς τὴν παραίτησιν τῆς βασιλείας ἔν-στασις. εἰ δὲ τὰ τοιαῦτα εὐτυχήματα ὀνειρώττειν, ἢ καὶ νήφοντα ἀναλογίζεσθαι διενήνοχεν οὐδὲν, τί δεῖ τοσαῦτα B ὑπὲρ τῶν ἐσομένων μηδέποτε φιλονεικεῖν; ἐγὼ δὲ ὑπορῶ

2. βλαβείαν M. 4. τὰ om. P.

bant, semet ipsos ludificantes, damna, delicias et vitam desidiosam in bonis numerantes. Haec itaque et plura huius generis si quispiam in medium adducat, studens alium revocare ab ardenti appetitione huius terrenae et conculcandae gloriae, quam et tempus et rerum vicissitudo et perversorum hominum nequitia et alia innumerabilia possint dissolvere: si praeterea Deus desuper decernat et manifeste iubeat se imperio abdicare, non omnia Deo placentia cum aequanimitate faciemus, sed adhuc contendemus, aut tota vita imperare, aut, si id non detur, neque hunc coeli spiritum haurire amplius, neque solem hunc intueri et vitam nostram tenebris caliginique mandabimus? Enimvero si minime dubiis ratiocinationibus certissime scire liceret, te, qui ubique terrarum sunt, barbaros deleturum illustriaque et conspicua trophaea de omnibus hostibus erecturum et antiquam illam Romanae rei publicae felicitatem restituturum et dominos terrae marisque, ut erant superioribus aetatibus, cum floreret eorum potentia, effecturum, non prorsus a ratione alienum videretur, negato imperio instare obfirmatius. Si autem nihil interest, utrum felicitates huiusmodi vigilans cogites, an dormiens somnies, quid, quaeso, attinet pro iis, quae nunquam

παντάπασιν ὁποίοις ἄν τισι χρησάμενος σώφροσι λογισμοῖς, A. C. 1355 μᾶλλον αἱρήσῃ διὰ βίου δεσμωτήριον οἰκεῖν, ἢ τὴν βασιλικὴν ἀξίαν ἀποθέσθαι. εἰ γὰρ μὴ νῦν ὑπείκειν ἐθελήσεις πρὸς τὴν βασιλέως τοῦ γαμβροῦ ἀξίωσιν, δυοῖν θάτερον ἀνάγκη, ἢ δεσμοῖς ἐναποθνήσκειν, ἢ πειρᾶσθαι τρόπῳ δή τινι τὸ δεσμωτήριον ἀποδράντα, τὴν ἀρχὴν ἀνακαλεῖσθαι. τούτων μὲν οὖν ἑκάτερον εἴ ποτε ἐξέσται, ἐν ἀδήλῳ κεῖται· ὅτι δὲ, εἰ κατασταίης αὖθις πρὸς τὸν πόλεμον, πολλῶν δεήσῃ πόνων καὶ κινδύνων καὶ πολλοῖς τῶν ὁμοφύλων αἵμασι τὴν ψυχὴν καταχρανεῖς καὶ μυρίων κακῶν καὶ ἀνδραποδισμῶν Ῥωμαίοις αἴτιος ὀφθήσῃ, δῆλον μάλιστα αὐτόθεν καὶ C οὐδὲ ὀλίγου λόγου πρὸς ἀπόδειξιν δεόμενον. τὸ γὰρ ἐκεῖνον συμπάντων ὄντα πραγμάτων κύριον πειρᾶσθαι παραλύειν τῆς ἀρχῆς οὐδαμῶς τις ἑτέρως ἂν ἐξεῖναι οἰηθείη, ἢ διαστήσαντα τοὺς ὑπηκόους καὶ πόλεμον ἐμφύλιον κεκινηκότα, ἢ δύναμίν ποθεν ἐπαγαγόντα ἢ Ἑλλήνων ἢ βαρβάρων, οἳ τὰς πόλεις ἐκπολιορκήσουσιν ἀνθισταμένας καὶ τοὺς μὲν ἀποκτενοῦσι τῶν ἁλισκομένων, τοὺς δὲ καταδουλώσονται καὶ ἀναγκάσουσι πρὸς βίαν σοι προσέχειν· ὧν ἑκάτερον οὐδενὸς τῶν ἀτοπωτάτων ἀποδεῖ πρὸς ἀδοξίας λόγον. ὁπότε οὖν τὸ μὲν εὐδοκιμεῖν, εἴ ποτε καὶ κατὰ γνώμην τὰ πραττόμενα ἀποβαίη, πολλὴν τὴν ἀδηλίαν ἔχει, ἡ ἀδοξία δὲ ἐξαρχῆς καὶ D τῶν χειρίστων ἀναφαίνεται ἡ ἐπιχείρησις, οὐ τὰ πρὸς εὐ-

erunt, tantum defatigari? Porro plane nescio, ubi mens tua fuerit, cum magis perpetuum carcerem, quam imperatoriae dignitatis abdicationem elegisti. Si enim postulationi affinis tui imperatoris cedere iam detrectaveris, alterum e duobus necessarium erit, ut vel in vinculis moriare, vel ut, cum techna aliqua evaseris, imperium labores recipere. Horum alterutriusne potestatem nacturus sis, dubito. Quod autem, si bellum denuo suscites, multi te labores ac discrimina maneant multoque homophylorum sanguine animam polluturus et innumerabilia mala servitutesque Romanis importaturus sis, inde potissimum liquet, neque vel paucis verbis demonstrare opus est. Nam cum ille sit rerum omnium princeps, ausus eiusdem ab imperio depellendi alia ratione non procedet, quam si, discordia inter populos concitata, bellum civile moveatur, aut alicunde seu Graecorum seu barbarorum copiae inducantur, quae urbes resistentes facile expugnent et captivorum alios occidant, alios subigant et ad sibi obtemperandum compellant: quorum utrumque dedecore et ignominia plenissimum est. Quando igitur famae tuae celebritas, si quando videlicet ex sententia res iret, admodum incerta est, infamia autem et improbissimus conatus statim a principio patent, nonne ad indubitatum decus et gloriam magis prove-

A.C. 1355 δοξίαν μᾶλλον ἄγοντα καὶ βέβαια τῶν ἀδήλων ἀνθαιρήσῃ;
οὐ μὴν ἀλλ' εἰ καὶ βασιλεὺς αὐτὸς πολλῇ χρησάμενος ἐπι-
εικείᾳ καὶ μεγαλοψυχίᾳ, τὴν μὲν τιμὴν σοι συγχωρήσει τὴν
βασιλικὴν, ὅσην ἐν ἐνδύμασι καὶ λόγοις, οὐκέτι δὲ προσήσε-
ται κοινωνὸν καὶ τῆς ἀρχῆς, οὐδέ τινας παρέξεται τῶν ὑπη-
κόων πόλεων, ἐφ' αἷς βασιλεύσεις καὶ αὐτὸς, (οὐδεὶς γὰρ ἂν
βιάσαιτο πρὸς ταῦτα, εἰ μὴ βούλοιτο ἑκὼν,) οὐδὲν ἄλλο
λείπεται, ἢ γῆν ζητεῖν ἑτέραν καὶ πόλεις, ὧν προστήσῃ·
P. 905 οὗ καὶ μόνον ἐννοῆσαι πᾶς τις ἂν ἀπόσχοιτο, εἰ σωφρονοίη·
ἢ μένοντα ἐνταῦθα, ὄνομα κεκτῆσθαι μόνον ἔρημον πραγμά-
των, καὶ τὴν δοκοῦσαν τιμὴν ἀδοξίας ἔχειν ἀφορμήν. οὐ
γὰρ ὥσπερ ἡ ἀπὸ τῶν ἔργων εὐδοξία εὖ τε φερομένοις καὶ
δυσπραγοῦσι τοῖς ἀνθρώποις περισώζεται, (ψυχῆς γάρ ἐστιν
ἀρεταῖς κεκοσμημένης,) οὕτω δὴ καὶ ἡ ἀπὸ συνθήματος γινο-
μένη τῶν ἀνθρώπων βέβαιον ἔχει τι, μὴ καὶ τῶν πραγμά-
των συναιρομένων, ἀλλ' ὥσπερ συνέστη τὴν ἀρχὴν, οὕτω δὴ
καὶ διαλύεται ἀπὸ συνθήματος· περὶ ἣν οὐ μάλιστα σπου-
V. 720 δάζειν χρὴ, οὐδ' ἂν τὸ διάδημά τις ἔχῃ, ἢ οὐδὲν διοίσει
λίθων, ὧν τοὺς μὲν ἐν τοῖς τιμιωτάτοις ἄγουσιν οἱ ἄνθρω-
B ποι, τοὺς δὲ ἐν τοῖς ἀτιμοτάτοις, οὕτω δόξαν· αὐτοὶ δὲ
κατὰ τὴν φύσιν οὐδὲν μᾶλλον ἕτερός ἐστιν ἑτέρου τιμιώτε-
ρος, ἀνδρία δὲ καὶ φρόνησις καὶ σωφροσύνη καὶ δικαιοσύνη
οὐ τῶν ἀλόγων μόνων τοὺς ἀνθρώπους ὑπερέχειν ἀποφαί-
νουσιν, ἀλλὰ καὶ αὐτοὺς ἀλλήλων, καὶ τοσοῦτον τούτων ἑκα-

15. τιμὴ M.

hentia incertis antepones? Sed etsi imperator ipse ex multa moderatione et animi quadam magnitudine honorem quidem imperatorium, qua ornatu, qua appellatione tibi concederet, non tamen etiam in imperii consortium admitteret, neque aliquas suarum civitatum tibi addiceret, (quod quidem nisi sponte faceret, nemo eum cogeret,) superesset aliud nihil, quam ut alias regiones et urbes quaereres, quibus imperares: quod vel cogitare horreat, cuicumque mens sana est: aut hic manens nomen sine re et honorem umbratilem, materiam dedecoris, possideres. Non enim quomodo factorum gloria beatis iuxta et calamitosis manet, (est enim ab anima virtutibus exornata,) sic qui ex consensu hominum defertur honor, certus est et constans, quamvis ei opes opitulentur, sed qua conspiratione cuipiam ab initio constitutus est, eadem eripitur: cui minime studendum, etiamsi quis diadema gestet, cum nihil lapillis differat, quorum cum quidam pretiosissimi reputentur, natura tamen non est alius alio pretiosior. Fortitudo autem, prudentia, temperantia, iustitia non solum homines a brutis animantibus, sed et ipsos inter se distare ostendunt, et tantum inter utrosque discrimen apparet, ut illi quidem

τέρων ἀποδείκνυται τὸ μέσον, ὡς τοὺς μὲν θαυμάζεσθαι, A.C. 1355 εἰ τύχοι καὶ παρ' αὐτῶν τῶν πολεμιωτάτων, τοὺς ἑτέρους δὲ ὁμοίως παρὰ πάντων ἀτιμάζεσθαι καὶ καταφρονεῖσθαι καὶ ὀλίγα ἢ οὐδὲν νομίζεσθαι ἀλόγων διαφέρειν. περὶ ἣν οἴομαι δίκαιον καὶ σὲ καὶ πάντα ὁντινοῦν ἡττᾶσθαι. τὸ γὰρ μὴ ἡττᾶσθαι τοῦ ἡττᾶσθαι αἴσχιον ὄν, οὐ μᾶλλον νικᾶν, ἢ ἐν ἅπασιν ἡττᾶσθαι πείθει τοῖς αἰσχροῖς. εἰ δέ τις καὶ τὴν C μείζω καὶ θαυμασιωτέραν τιμὴν ἐπιζητοίη καὶ τὴν μάλιστα προσήκουσαν ἀνθρώπῳ, ἣ καὶ τοῦ παρόντος βίου λυομένου παραμένει καὶ πολλήν τινα καὶ θαυμαστὴν ὠφέλειαν παρέχεται τοῖς ἔχουσι, ἐκείνην εἶναι ἴστω, ἣν θεὸς παρέξεται τοῖς ἀγαπήσασιν αὐτὸν καὶ διὰ βίου πᾶσαν πρὸς ἐκεῖνον ἐπιδεδειγμένοις ἐπιείκειαν καὶ τήρησιν τῶν προσταγμάτων. ὥστε τοίνυν τῶν μὲν πάνυ βελτιόνων ἔξεστί σοι τιμῶν μετέχειν, καὶ οὐδεὶς ἂν ἀποστερήσειεν ἐθέλοντα οὔτε βασιλεὺς, οὔτε ἰδιώτης, τῆς δ' ἀτιμοτέρας ταύτης καὶ οὐ πολλοῦ τινος ἀξίας λόγου παρ' εὐφρονοῦσιν αὐτὰ τὰ πράγματα καταναγκάζουσι καταφρονεῖν, θεῷ τε πειστέον, πρῶτον οὕτω τὰ ἡμέτερα D ἐψηφισμένῳ, καὶ ἐμοὶ τῷ συμβουλεύοντι. οἴομαι δὲ οὐδένα ἕτερον μήτε οἰκειότερον, μήτε λυσιτελέστερον παραινέσαι, μήτε σὲ μᾶλλον ἑτέρῳ ἢ ἐμοὶ πεισθῆναι ὄντα δίκαιον." τοσαῦτα μὲν Καντακουζηνὸς ὁ βασιλεὺς διειλέχθη πρὸς τὸν υἱὸν, πείθων μὴ πάνυ τῆς βασιλικῆς τιμῆς ἀντιποιεῖσθαι, ἀλλ'

20. μήτε οἰκειότερον om. P.

interdum ipsis quoque hostibus admirationi sint, hi vero apud omnes aeque negligantur ac despiciantur parumque a belluarum natura discrepare existimentur. In quo honore, inquam, consectando arbitror iustum esse et te et quemlibet vinci. Etenim cum turpius sit non vinci, non magis vincere, quam nos in omnibus turpibus vinci sinere persuadet. Quodsi quis maiorem et admirabiliorem et homine dignissimum honorem desiderat, qui et post funera perseveret et multam ac singularem se fruentibus utilitatem suppeditet, illum esse norit, quem Deus his, qui se dilexerint et toto vitae spatio eius mandatis cum animi modestia paruerint, impertiet. Quando igitur praestantiorum longe honorum participem fieri tibi licet, quibus te nemo, nec imperator, nec privatus spoliare velit, istum autem honorem inhonorum et prudentium iudicio parvi faciendum ipsae res cogunt vili pendere, Deo inprimis, qui in nos ita consuluit, tum mihi etiam suadenti obtemperandum est. Ac mea quidem opinione nemo te tam familiariter tamque utiliter hortatus est, neque te cuipiam hominum, quam mihi, iustius est morem gerere." Haec Cantacuzenus ad filium, ne dignitatem imperatoriam

A.C. 1355 ἀποστάντα ταύτης ἑκοντὶ, τοῦ δεσμωτηρίου ἀπαλλάττεσθαι
καὶ τῶν παρόντων δυσχερῶν.
P. 906 μθ΄. Ματθαῖος δὲ ὁ βασιλεὺς „δυσχερὲς μὲν" εἶπε „καὶ
οὐ πάνυ ῥᾴδιον τὸν χθὲς καὶ πρώην προσκυνούμενον ὡς
B βασιλέα ὑπὸ πάντων νῦν ἐν ἰδιώτου σχήματι τελεῖν καὶ
τῶν πολλῶν ὀλίγα διαφέρειν ἢ οὐδὲν, καὶ μᾶλλον ἂν αὐτὸς
εἱλόμην διὰ βίου δεσμωτήριον οἰκεῖν, ἢ τοιαύτην παροινίαν
ὑπομένειν. εἰ δὲ σοὶ τοιαῦτα ἔδοξε καὶ πείθεσθαι προστάτ-
τεις, οὐδὲ αὐτὸς οὕτω πόῤῥω καθέστηκα φρενῶν, ὥστε ἢ
λυσιτελέστερόν τι μᾶλλον αὐτὸς νομίζειν ἐξευρήσειν, ἢ μᾶλ-
λον ἐμαυτὸν αὐτὸς, ἢ ὅσον οἴομαι φιλεῖσθαι ὑπὸ σοῦ. ἀλλ'
ἐν ἀμφοτέροις σαφέστατα εἰδὼς οὐκ ὀλίγῳ τινὶ τῷ μέσῳ σοῦ
ἡττώμενος, ἅ τε ἔδοξε θεῷ πρῶτον, ἔπειτα συμβεβούλευκας
καὶ αὐτὸς, ὢν πατὴρ, ποιήσω. βέλτιον γὰρ ὑμῖν πειθόμενος
ὑπομένειν, ἄν τι συμβαίνῃ καὶ τῶν δυσχερῶν, ἢ τοῖς ἰδίοις
C λογισμοῖς, εἰ καὶ τὰ μάλιστα δοκοῖεν ἔχειν τι περίεργον ἀκο-
V. 721 λουθεῖν." Καντακουζηνὸς δὲ ὁ βασιλεὺς εἰς Βυζάντιον ἐπα-
νελθὼν, ἐπεὶ τὸν υἱὸν ἀπήγγελλε τῷ νέῳ βασιλεῖ τὴν βασιλεί-
αν ἀπειπάμενον, τῶν ἄλλων πάντων καὶ αὐτὸς ὑπεριδὼν, ἐκέ-
λευε τοὺς ὅρκους γίνεσθαι· καὶ ἐγένοντο ἐπὶ τούτοις, ὥστε
Ματθαῖον τὸν γυναικὸς ἀδελφὸν, παντάπασιν ἀποθέμενον τὸ
βασιλεύειν, ὥσπερ ἐν πράξεσι καὶ στολαῖς, οὕτω δὴ κἀν
ταῖς προσρήσεσι, τὰς μετὰ βασιλέα τιμὰς καρποῦσθαι πρώ-

6. εἰ P. pro ἤ.

adeo sitiret, sed ab ea cupiditate sponte discedens, carcere ac praesentibus incommodis sese liberaret.

49. At enim Matthaeus perdifficile esse respondit, eum, quem nuperrime pro imperatore omnes coluissent, nunc ad privati habitum atque in ordinem redigi, seque carcerem perennem, quam indignitatem huiusmodi sufferre malle. „Quod autem ita tibi videtur," inquit, „et iubes obsequi, nec ipse tam aversus sum a ratione, ut aut conducibilius quidquam me excogitaturum, aut magis memet a me ipso, quam abs te amari putem. Sed cum exploratissime sciam, me in utroque abs te non parvo intervallo superari, quae Deo visa sunt primum, deinde, quae et tu, ut pater, consuluisti, faciam: praestat enim, me tibi obedientem perpeti, etiamsi quid tristius evenerit, quam meas ratiocinationes, quantumvis curiosas et exquisitas, sequi." Cantacuzenus Byzantium reversus, postquam Palaeologo nuntiavit, filium se imperio abdicare, reliquis omnibus condonatis, iurare iussit, factumque his conditionibus: ut Matthaeus, uxoris frater, imperio qua gubernatione, qua vestitu, qua appellatione omnimodis deposito, proximos imperatori honores occuparet et filios eius, Andronico iuniore imperatore excepto, praecederet, et

τας καὶ τῶν ἄλλων παίδων βασιλέως προέχειν, πλὴν Ἀν- A. C. 1355 δρονίκου τοῦ νέου βασιλέως, καὶ πᾶσαν εὔνοιαν τηρήσειν πρὸς αὐτούς· ὅπλα δὲ μηδέποτε κινήσειν περὶ τῆς ἡγεμονίας πρὸς αὐτοὺς, μηδ' ἀμνήμονα φανεῖσθαι τῆς εὐεργεσίας. ἔπειτα ἐν Ἐπιβάταις βασιλέων τε ὁμοῦ καὶ βασιλίδων ἐν ταὐτῷ γεγενημένων, Καλλίστου τε τοῦ πατριάρχου καὶ Λαζάρου D τοῦ τῶν Ἱεροσολύμων καὶ τῶν ἄλλων ἀρχιερέων, ὅσοι τότε παρόντες ἔτυχον ἐν Βυζαντίῳ, καὶ συγκλητικῶν ὁμοῦ τοι πάντων, τὰς ἱερὰς στολὰς ἐνδεδυμένων τῶν ἀρχιερέων, Ματθαῖος ὁ τοῦ βασιλέως ὤμνυεν υἱὸς τοὺς ὅρκους, συνούσης A. C. 1356 καὶ τῆς γυναικὸς, ἦ μὴν τηρήσειν βεβαίους διὰ βίου καὶ μηδέποτε μηδένα παραβήσεσθαι ἑκόντα εἶναι. ἐπὶ τούτοις δὲ καὶ Κάλλιστος ὁ πατριάρχης ἐπεῖπεν ἀφορισμὸν, εἰ μὴ τοῖς ὀμωμοσμένοις ἀκριβῶς ἐμμείνειε. διελύετό τε τῶν ἀρχιερέων ὁ σύλλογος αὐτίκα. Παλαιολόγος δὲ ὁ βασιλεὺς οὐκ ὀλίγας ἡμέρας Ματθαίῳ τῷ γυναικὸς ἀδελφῷ συνδιατρίψας καὶ πολλὴν ἐπιδειξάμενος φιλοφροσύνην, λόγοις τε πολλοῖς P. 907 παρακαλέσας, ἐν οἷς ἐπεδείκνυεν αὐτὸν ἐκ διαφόρου πρότερον καὶ πολεμίου φίλον ἐς τὰ μάλιστα γεγενημένον νῦν, καὶ περὶ τῆς βασιλικῆς σκευῆς ὅτι ἀποδέδυτο, μὴ πάνυ παραινέσας ἄχθεσθαι, ὡς, ἡνίκα ἂν αὐτῷ δοκοίη προσῆκον εἶναι χρῆσθαι, αὖθις ἐπιτρέψαντος. παρ' αὐτῷ γὰρ εἶναι λύειν τε τοὺς ὅρκους καὶ τηρεῖν ἀλύτους, εἰ μὴ βούλοιτο. ἔπειτα τὸ νῦν ἔχον πλὴν τῶν ἐρυθρῶν, ὁποίας ἂν αὐτῷ δοκοίη και-

4. φανῆναι M. mg. 12. ἑκόντα ὄντα male V.

omni eos benevolentia coleret, arma ob imperium nunquam illis inferret, neque beneficii memoriam oblitterari apud se paterctur. Deinde in Epibatis imperatoribus et imperatricibus, Callisto item patriarcha et Lazaro, Hierosolymorum, aliisque episcopis, quotquot per id tempus Byzantii degebant, sacras stolas indutis, ac toto ordine senatorio praesentibus, Matthaeus, Cantacuzeni filius, adstante etiam uxore, iuravit, se illa, dum viveret, servaturum, nec aliquid aliquando scientem ac volentem transgressurum. Super haec et Callistus eum sacra exsecratione percussit, ni iurata diligenter praestaret. Mox episcoporum conventus solutus est. Palaeologus autem imperator compluscululis diebus familiarissime cum Matthaeo versatus et multis sermonibus eum consolatus est, quibus declarabat, ex adversario et hoste nunc sibi intimum evasisse. Hortabatur item, ne de imperatoriis insignibus depositis contristaretur: se, cum opportunum videretur, eorum resumendorum potestatem largiturum: penes se enim esse iuramenti religione solvere, aut obstrictum tenere. Ad haec, quales illi placerent, purpureis exceptis, crepidas confici et ab eo indui permisit, dictaque salute, Byzantium se recepit, et Io-

A. C. 1356 νουργήσαντι κρηπῖδας ἐπιτρέψας ὑποδύεσθαι, συνταξάμενος εἰς Βυζάντιον ἐπανῆκε· καὶ Ἰωάννην καὶ Δημήτριον τοὺς υἱοὺς Ματθαίου τοῦ τῆς γυναικὸς ἀδελφοῦ τιμῶν ἠξίωκε B τῶν ἐπιφανεστάτων παρὰ Ῥωμαίοις, δεσπότην μὲν τὸν Ἰωάννην ἀποδείξας, τὸν δὲ Δημήτριον σεβαστοκράτορα, καὶ κοινωνήσας αὐτοῖς τραπέζης. ἔπειτα ἐξέπεμπε πρὸς τὸν πατέρα, πολλὰς ὁμολογοῦντας τῆς εὐεργεσίας χάριτας. Ματθαῖος δὲ οὐδὲν εἵλετο περὶ τὴν σκευὴν καινοτομεῖν, ἀλλὰ λευκαῖς κρηπῖσιν, ὥσπερ ἡνίκα ἦν ἐν τῷ δεσμωτηρίῳ, χρῆσθαι εἵλετο. Κανταχουζηνὸς δὲ ὁ βασιλεὺς πανοικεσίᾳ τὸν υἱὸν παραλαβὼν, ἀπέπλευσεν εἰς Πελοπόννησον τριήρεσι μακραῖς πρὸς Μανουὴλ δεσπότην, τῶν υἱῶν τὸν ἕτερον. οὐ μὴν οὐδὲ ἐκεῖ ἠμέλουν οἱ πονηροὶ καὶ μοχθηροὶ τοὺς τρόπους μηχανήν C τινα ἐξευρίσκειν, ἐξ ἧς λυπήσουσιν ὡς μάλιστα, ἀλλὰ πρὶν γενέσθαι ἐν Πελοποννήσῳ γράμμασι πρὸς δεσπότην διαβάλλουσι τὸν υἱὸν, ὡς βούλοιτο τῆς μὲν ἀρχῆς αὐτὸν αποστερεῖν, ἄρχοντα δὲ Πελοποννήσου Ματθαῖον ἀντικαθιστᾷν τὸν ἀδελφόν· καὶ τοῦτο οὐχ εἷς καὶ δύο, ἀλλὰ καὶ πλείους καὶ πολλάκις ἐπεστάλκασιν. ὃ οὐχ ἥκιστα τοὺς λογισμοὺς δεσπότου κατασεῖσαι ἠδυνήθη. ὅτε μὲν γὰρ πρὸς τὴν ἐπιείκειαν καὶ σύνεσιν καὶ εὐβουλίαν ἀπίδοι τοῦ πατρὸς καὶ τὴν εἰς τοὺς παῖδας φιλοστοργίαν, πάντα πλάσματα ἡγεῖτο καὶ διαβολὰς, ὅτε δὲ εἰς τὸ πλῆθος καὶ τὴν πιθανότητα τῶν γεγραμμένων, οὐκ εἶχεν, ὅπως ἅπασι καθάπαξ ἀπιστεῖν. ὅD θεν καὶ μετὰ τὴν βασιλέως τοῦ πατρὸς ἐπιδημίαν, τὴν ἔν-

annem ac Demetrium, eius filios, honoribus apud Romanos illustrissimis est dignatus, cum Ioannem quidem despotam, Demetrium sebastocratorem designaret et ad mensam suam ambos adhiberet. Post eos ad patrem multas eidem gratias acturos misit. Matthaeus vero circa cultum novare nihil voluit, sed albis crepidis, ut in carcere, usus est. Cantacuzenus porro filium cum tota domo accipiens, longis triremibus in Peloponnesum ad Manuelem despotam, filiorum alterum, navigavit. Nec ibi homines improbi machinam aliquam fabricare cunctati, unde eum vehementer affligerent, priusquam in insulam veniret, litteris apud filium calumniati sunt, quasi eum insulae praefectura privare et Matthaeum fratrem praefectum vellet instituere; idque non unus et alter, sed multi et saepe scribebant: quod animum despotae maximopere exulcerare potuit. Cum enim ad bonitatem, sapientiam, prudentiam patris et amorem singularem, quo is esset erga liberos, respiciebat, omnia calumnias interpretabatur: cum vero ad multitudinem scribentium probabilitatemque dictorum, quomodo omnia prorsus pro commentitiis duceret, non videbat. Quare et post adventum patris intestinum dolorem suum

δον ταραχὴν ἐν τοῖς ἤθεσιν ὑπέφαινε. βασιλεύς τε ὁ πατὴρ A.C. 1356
τὸν θόρυβον οὐκ ἀγνοήσας, ἐπυνθάνετο τὰς αἰτίας, ὅθεν εἴεν· ὁ δὲ πᾶν ἐξεκάλυπτεν αὐτίκα τὸ ἀπόρρητον. βασιλεὺς δὲ ὁ πατὴρ τῶν μὲν συκοφαντῶν πολλὴν κατεγίνωσκε σκαιότητα καὶ πονηρίαν τρόπων, τὸν δὲ υἱὸν παρῄνει μὴ ῥᾴδιον εἶναι προσέχειν ταῖς διαβολαῖς, καὶ μάλιστα κατὰ φιλτάτων συνεσκευασμέναις, πατρὸς καὶ ἀδελφοῦ, αὐτὸν δὲ οὐχ ὅπως V. 722
αὐτὸν ἀφέλοιτο τὴν ἀρχὴν, τὸν ἀδελφὸν ἐκεῖσε ἀγαγεῖν, ἀλλ' ἵν' ὡς μάλιστα βελτίω καὶ ἀσφαλεστέραν ἀπεργάσηται. τί γὰρ ἂν καὶ εἴη βέλτιον εἰς λόγον ἡδονῆς καὶ ἀσφαλείας, ἢ τὸ συνεῖναι ἀδελφοὺς ἀλλήλοις, ὁμοίως τῇ κατὰ φύσιν συναφείᾳ καὶ τὰς ψυχὰς συγκεκραμένους; τοῦ δὲ εἰς Πελοπόννη- P. 908
σον ἐκεῖνον ἀγαγεῖν αἰτίαν οὐδεμίαν ἄλλην εἶναι, ἢ τὰς τῶν φαύλων καὶ πονηροτάτων ψυχὰς ἀνθρώπων, οἳ μάλιστα πολλοὶ νυνὶ τῷ βίῳ ἀνεφύησαν, ἀληθείας μὲν οὐδένα καὶ δικαιοσύνης λόγον πεποιημένοι, μικροῦ δὲ κέρδους ἕνεκα καὶ τὰ δεινότατα τολμῶντες, ἔστι δ' ὅτε μηδὲ ταύτης εὐποροῦντες τῆς αἰσχρᾶς καὶ ἀγεννοῦς προφάσεως, ἀλλ' ὥσπερ εἰς τοῦτο παρελθόντες εἰς τὸν βίον ἐπὶ τῷ διαφθείρειν τοὺς ἀγαθοὺς καὶ προῖκα τὴν μοχθηρίαν προῃρημένοι, ὧν τὴν ἀτοπίαν δείσας καὶ τὴν πονηρίαν, μὴ συκοφαντίας καὶ διαβολὰς πλασάμενοι, βασιλέα τε καὶ ἀδελφὸν τὸν σὸν ἐκπολεμώσουσιν ἀλλήλοις, ἐνθάδε ἀγαγεῖν, νομίσας ὅπερ ἐστὶν, ὡς ἀληθὲς, οὐ Πελο- B
πόννησον τοσαύτην οὖσαν, ἀλλὰ τὴν αὐτὴν οἰκίαν ὑμᾶς συν-

11. ἀλλήλους P.

habitu corporis subindicabat. Imperator parens, turbatum esse non ignorans, de causis percunctabatur. Ille statim, quod latebat, aperit. Cantacuzenus sycophantas magnae dementiae ac pravitatis arguit filiumque monet, ne facile aures calumniis, maxime contra carissimos, patrem scilicet et fratrem, structis commodet: se non ut ipsi praefecturam auferret, sed ut longe meliorem ac tutiorem efficeret, eo fratrem Matthaeum adduxisse. Quid enim ad iucunditatem et securitatem melius, quam una esse fratres, ut natura, sic animis consociatissimos? Quod autem in Peloponnesum potissimum deduxerit, solam esse causam homines perversissimos, quorum nunc liceat messem metere maximam, qui veritatem et iustitiam nec hili faciant et lucelli gratia teterrima audeant, neque tamen hic tam turpem et illiberalem occasionem habuerint, sed quasi ad perdendos bonos in vitam introierint, gratuito scelerati sint. Quorum insolentiam et nequitiam formidans, ne ementitis criminibus imperatorem Palaeologum et fratrem mutuis odiis incenderent, eo illum adducere voluisse, putasseque, quod res est, re vera non Peloponnesum, licet tam amplam, sed unum idemque domicilium per omnes

A. C. 1356 οἰκήσειν ἀλύπως διὰ βίου, καὶ μηδεμίαν ἔσεσθαι πρόφασιν ἰσχυρὰν διαφορᾶς, ἣ διαστῆσαι δυνήσεται ὑμᾶς ἀλλήλων. οὐ χρὴ δὲ θαυμάζειν, εἰ τοιαῦτα πεπεισμένος περὶ τῶν συκοφαντῶν, ἐνθάδε ἤγαγον τὸν ἀδελφόν. ὅπου γὰρ καὶ σοὶ ἐμέ τε κἀκεῖνον ἤλπισαν ταῖς διαβολαῖς ἐκπολεμώσειν, σχολῇ γ' ἂν ἀπέσχοντο βασιλέως προφάσεων μεγάλων εὐποροῦντες ἐκ τῶν πρὶν διαφορῶν. „ἐκεῖνοι μὲν οὖν" εἶπεν „ἀπολέσθωσαν κακοὶ κακῶς αὐταῖς συκοφαντίαις· σὺ δὲ πᾶσαν ἀποθέμενος μικροψυχίαν, ἡδέως δέχου τὸν ἀδελφὸν, μετ' ἐπιεικείας ἁπά- C σης καὶ εὐγνωμοσύνης συνδιάξοντα." τοιαῦτα μὲν Καντακουζηνὸς ὁ βασιλεὺς πρὸς δεσπότην εἶπε τὸν υἱόν. ἐκεῖνός τε αὐτίκα τῷ πατρὶ πειθόμενος ἐδέχετο τὸν ἀδελφὸν ἡδέως, πολλὰ καταμεμφόμενος τοὺς συκοφάντας, καὶ πρὸς βασιλέα τὸν πατέρα ἰσχυρίζετο, ὡς, εἰ βέλτιον αὐτῷ δοκοίη καὶ λυσιτελέστερον, ἀποστάντα παντάπασιν αὐτὸν Πελοποννήσου πᾶσαν ἔχειν τὴν ἀρχὴν τὸν ἀδελφὸν, οὐδὲν αὐτὸν φιλονεικήσειν, ἀλλὰ πάντα πράξειν ἑτοιμότατα, ἅττα ἂν αὐτὸς κελεύοι. βασιλεὺς δὲ ἐν Πελοποννήσῳ ὑπὲρ ἐνιαυτὸν συνδιατρίψας τοῖς υἱέσι, καὶ ὧν ἕνεκα ἀφῖκτο δεξιὸν τέλος ἐπιθεὶς, εἰς Βυζάντιον ἐπανῆκεν.

D ν'. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους καὶ Κάλλιστος ὁ πατριάρχης παρὰ βασιλέως ἐπέμφθη πρέσβυς πρὸς Ἐλισάβετ τὴν Κράλη γαμετὴν, Φέραις ἐνδιατρίβουσαν μετὰ τὴν ἐκεί-

7. νῦν M. pro πρὶν. 17. ἅττα om. P. 22. πρέσβις M.

annos, nulla intercedente offensione, simul habitaturos, nec ullam satis idoneam dissensionis occasionem suborituram, quae illorum coniunctionem dirimeret. Nec mirandum, si talia de sycophantis credens, huc fratrem adduxerit. Quando enim illi ipsum se fratremque calumniis suis exosum reddituros speraverint, vix ab imperatore circumveniendo temperaturos fuisse, cum ex recenti dissidio tantam eius rei facultatem haberent. „Illi igitur," aiebat, „male mali cum suis sycophantiis pereant. Tu autem, abiecta omni diffidentia, fratrem placidissime et candidissime tecum victurum suscipe." His verbis Cantacuzenus filium despotam compellavit. Qui mox patri obediens, fratrem hilariter accepit et multum in obtrectatores invectus confirmavit, si consultius arbitraretur, ut omnino tota Peloponnesi praefectura fratri cederet, se id libenter facturum praecipientique promptissime auscultaturum. Cantacuzenus cum filiis in Peloponneso plus annum commoratus, omnibus, quorum gratia venerat, ex sententia absolutis, Byzantium rediit.

50. Per idem tempus et Callistus patriarcha legatus ab imperatore ad Elisabetham, Cralis coniugem, Pheris post illius obitum habitantem, missus est; adhuc enim eo superstite inimicitias exerce-

νου τελευτήν. ἐκπεπολέμωντο γὰρ ἀλλήλοις καὶ ἔτι Κράλη A.C. 1356 περιόντος. ἡ πρεσβεία δὲ ἦν, ὥστε τὸν πρὸς ἀλλήλους πόλεμον P. 909 καταθεμένους καὶ συμφρονήσαντας, τοῖς ἐν Θρᾴκῃ βαρβάροις ἐπιθέσθαι, κακῶς καὶ τὴν Ῥωμαίων καὶ Τριβαλῶν ποιοῦσι καὶ ληϊζομένοις ὁσημέραι. ἡ μὲν οὖν Κράλη V. 723 γαμετὴ τὴν πρεσβείαν ἐδέξατο προθύμως, οὐ μὴν ἀλλὰ καὶ οἱ ἐν τέλει πάντες Τριβαλῶν· καὶ πᾶσιν ἔδοξεν ὁμοίως πολεμητέα εἶναι πρὸς τοὺς βαρβάρους, καὶ τὸν πατριάρχην ἦγον δι' εὐφημίας καὶ αἰδοῦς πολλῆς. Ἐλισάβετ δὲ μάλιστα πολλὴν ἐπεδείκνυτο φιλοφροσύνην καὶ τῶν κρειττόνων ᾤετό τινα ὑποδεδέχθαι ξενισθέντα παρ' αὐτῇ. οὕτω δὲ συμβὰν, B αὐτός τε ὁ πατριάρχης ἐνεπεπτώκει νόσῳ χαλεπῇ, ὑφ' ἧς καὶ ἐτελεύτησε, καὶ οἱ ἄλλοι οἱ συνόντες, πλὴν ὀλίγων. ἦν A.C. 1362 δὲ ἄγων τοὺς μάλιστα ἐν λόγῳ τῶν ἐν τῷ κλήρῳ τῆς ἐκκλησίας κατειλεγμένων· ὅθεν καὶ φήμη διεδόθη παρὰ τοῖς πολλοῖς φαρμάκῳ αὐτοὺς ἀποθανεῖν ἐπιβουλευθέντας ὑπὸ Τριβαλῶν. ἦν δὲ ἄρα ψεῦδος καὶ συκοφαντία ἐναργῶς. οὐ γὰρ τὸ τῆς Κράλη γαμετῆς ἐπιεικὲς μόνον καὶ ἡ πρὸς τὸν πατριάρχην αἰδὼς καὶ φιλοτιμία καὶ σπουδὴ, καὶ περιόντος καὶ μετὰ τελευτὴν, ἀλλὰ καὶ ἡ νόσος, ὑφ' ἧς ἕκαστος ἐτελεύτησε κατεργασθεὶς, οὐδαμῶς τοιαῦτα δίδωσιν ὑπονοεῖν περὶ αὐτῆς. διαφόροις γὰρ ἔτυχον νοσήμασι κατασχεθέντες, καὶ C οὐδὲ δύο τοὐλάχιστον τοῖς ἴσοις. ἀποθανόντα δὲ τὸν πατριάρχην ἔθαψέ τε μεγαλοπρεπῶς ἡ Ἐλισάβετ ἐν τῇ μητροπό-

14. ἐν prius om. M.

bant. Summa legationis erat, ut, omisso bello inter se, barbaros, qui essent in Thracia, Romanorum Triballorumque provincias infestantes et assidue depopulantes, coniunctis copiis invaderent. Cralaena et omnes proceres Triballi legationem placide audierunt, et aeque visum, armis appetendos esse barbaros; patriarchamque laudibus ac veneratione non parva afficiebant, et Elisabetha praecipue mira illum benevolentia tractabat, seseque Deum quemdam hospitio accepisse putabat. Evenit autem, ut et ipse patriarcha et comites eius praeter paucos saevo correpti morbo omnes interirent. Ducebat is secum de clero ecclesiae primarios: unde fama per multos dissipata est, veneno sublatos a Triballis, sane manifesto mendacio atque calumnia. Non enim solum Cralaenae aequitas et reverentia, honor ac studium erga patriarcham vivum atque mortuum, sed et morbi genus, quo quisque confectus obiit, talem de ea suspicionem penitus prohibebant. Diversis namque morbis et nec duo saltem eodem exstincti sunt. Patriarchae defuncto in metropoli Pherarum sumptuosum et honorificum funus ab ea factum; ad quam cum ex monasteriis in Atho, potissimum vero e sacra Laura probatiores sanctio-

